1 διὰ — ἐπίσημον, 13 διὰ — δεξιότητα] cf. C. I. L. VIII Suppl. 24094 = Dessau 8973: Salvio Iuliano ... cui divos Hadrianus soli salarium quaesturae duplicavit propter insignem doctrinam 2 ὑπάτων, 12 ὑπατεῦσαι] cf. testim. 7. 13 3 τῶν μὲν — 5 δώδεκα] cf. Schenkl[2] p. XXXIII sqq.; v. Arnim, R. E. VI p. 128 4 τῶν δὲ — 8 ἀπελίπετο om. M, nulla lacuna indicata 5 δὲ A[2] in ras. 8 οὐδὲ] post ε videtur erasum ν A 9 Νικομηδεύς] cf. testim. 3 11 καὶ Μάρκου καὶ Ἀντωνίνου] errore Suidae vel librarii pro καὶ ⟨Ἀντωνίνου τοῦ Πίου καὶ⟩ Μάρκου τοῦ Ἀντωνίνου, cf. p. XLII, 6. 7; minus recte Schenkl[2] p. XXIII sq.

12. 13 Ἑλικώνιος] ἐν Χρονικῇ ἐπιτομῇ, cf. Suid. s. v. Ἑλικ.; Christ-Schmid, Gesch. d. gr. Lit.[6] II 2, 1924, 1034 13 συνεγράψατο — 15 Διατριβαί Suidae cod. Vatic. 881, cf. Bidez, Sitz.-Ber. d. preuß. Akad. 1912, p. 860 ἔγραψε δὲ βιβλία παμπληθῆ (omissis ὧν — Διατριβαί) ceteri 3 cf. Anab. I 12, 5 17 Νικομήδειον] cf. Steph. Byz. s. v. Νικομήδεια, πόλις Βιθυνίας ... ἐξ ἧς Ἀρριανός; Suid. s. v. Ἀρριανός (testim. 2); Syncellus p. 662, 18 ed. Bonn. (testim. 22). Fortasse ad nostrum pertinet inscriptio Ni-

FGrH 156/fr. 53 4 Simplicius, Comm. in Epict. Ench., praef. init.: *περὶ μὲν τοῦ βίου τοῦ Ἐπικτήτου καὶ τῆς αὐτοῦ τελευτῆς Ἀρριανὸς ἔγραψεν, ὁ τὰς Ἐπικτήτου Διατριβὰς ἐν πολυστίχοις συντάξας βιβλίοις· καὶ ἀπ' ἐκείνου μαθεῖν ἔστιν, ὁποῖος γέγονε τὸν βίον ὁ ἀνήρ. τὸ δὲ βιβλίον τοῦτο τὸ Ἐπικτήτου Ἐγχειρίδιον ἐπιγεγραμμένον καὶ τοῦτο αὐτὸ συνέταξεν ὁ Ἀρριανός, τὰ καιριώτατα καὶ ἀναγκαιότατα ἐν φιλοσοφίᾳ καὶ κινητικώτατα τῶν ψυχῶν ἐπιλεξάμενος ἐκ τῶν Ἐπικτήτου λόγων, ὡς αὐτὸς ἐν τῇ πρὸς Μασσαληνὸν ἐπιστολῇ ἔγραψεν ὁ Ἀρριανός, ᾧ καὶ τὸ σύνταγμα προσεφώνησεν, ὡς ἑαυτῷ μὲν φιλτάτῳ, μάλιστα δὲ τὸν Ἐπίκτητον τεθαυμακότι.*

5 Arrianus, Ind. 4, 15. 16: *ὧν* (fluviorum navigabilium qui in Istrum influunt) *τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν Ἔνον τε καὶ τὸν Σάον. Ἔνος μὲν ἐν μεθορίῳ τῆς Νωρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος κατὰ Παίονας. ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ ποταμοί, Ταυροῦνος καλέεται.*

6 Arrianus, Per. Maris Eux. 11, 5: *κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς.*

7 C. I. L. XV 244, in tegulis C. Iulii Stephani (Stephanus ab a 125—132 in tegulis occurrit, cf. Dressel ad n. 1208), et XV 552, in tegulis figlinarum Domitiae uxoris Domitiani Sulpiciani (inter a. 123 et 138, cf. Dressel p. 157):

SEVERO · ET · ARRIANO · COS

---

comediae reperta, quam ed. Chr. Papadopoulos, *Ἐφημερὶς τῶν φιλομαθῶν* 1874, p. 2778a, unde repetiverunt E. Preuner, Ath. Mitt. 46, p. 20 n. 33, J. J. E. Hondius, Supplem. Epigr. Gr. 1, p. 115 n. 446, saec. II vel III p. C.: *Ἀγαθῇ τύχῃ | κατὰ τὸ κρῖμα τῆς βουλῆς καὶ τοῦ δήμου | ΛΤ. Φλαούιον Ἀρριανὸν Π. Αἴλιος | Πολεμεανὸς Ἑρμόδωρος ‖ τὸν αὐτοῦ ἀνεψιόν*. Praenomen *Αὔ(λον)* vel *Λύ(κιον)* legendum est. Falsus videtur titulus in adnot. ad testim. 17 laudatus

4 l. 2 peculiarem de Epicteti vita et obitu librum ab Arriano scriptum esse ne ex hoc loco effeceris, cf. Schenkl[2] p. XV sq. 9 *Μασσαληνὸν*] intelligendum esse C. Prastinam Pacatum Messalinum cos. ord. a. 147 (Prosop. Imp. Rom. III p. 93, n. 686) putat Salm., cf. Schenkl[2] p. XXXVIII adn. 2 5 cf. Anab. V 7, 2—5 6 Arrianus in Gallia fuit, cf. Cyneg. cap. 3. 19 (15). 20. 21. 34, fortasse etiam in Numidia, cf. Cyn. 24 7 Arrianum consulem suffectum fuisse cum Herennio Severo (Prosop. Imp. Rom. II

Arrianus, Per. Maris Euxini 17, 3: *ἐπεὶ δὲ ἐπυθόμην* 8
Κότυν τετελευτηκέναι, τὸν βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμε-ρίου καλουμένου.

Arrianus, Per. Maris Euxini 21—23, Achillem (cum 9
Patroclo) in insula Leuce divinis honoribus coli et eum re vera heroa esse (cf. 23, 4) exponit.

C. I. G. II 2108 f = Latyschev, Inscr. antiquae Ponti 10
Euxini II 33. Inscriptio in lapide undis Bospori Cimmerici erepto apud Panticapaeum (Kertsch), nunc perdito:

. . . .
[αὐτοκρ]άτορα Καίσαρα Τραϊα[νοῦ υἱὸν
Ἁδριαν]ὸν Σεβαστόν, τὸν τοῦ [Βοσπόρου?
εὐεργέτ]ην καὶ ἴδιον κτίστην Τ[ιβέριο]ς Ἰού-
[λιος βασιλε]ὺς Ῥοιμητάλκης, φιλόκ[αισα]ρ καὶ
[φιλορώμαιος], εὐσεβής, εὐχαριστ[ήσας . . . .
. . . . *ἀν[έ]στησε[ν . . . .*
. . . . *Φ[λ . Ἀρρ?]ιανοῦ* . . . .
. . . . *ἔτους] λυ´ κ[αὶ μηνὸς] Ἀπελλαίο[υ*

Année épigraphique 1905, p. 44 n. 175, ex Actis So- 11
cietatis Odessanae a. 1904. Inscriptio apud Suchum in Russia meridionali reperta:

---

p. 138 n. 93) inter annos 121 et 124 suspicatus est Borghesi in fastis ineditis, cf. H. Doulcet, Quid Xenophonti debuerit Flavius Arrianus (Diss. Paris. 1882), p. 19 sqq., inter annos 123 et 130 Dessau, Prosop. Imp. Rom. II p. 64 n. 154

8 Cotys mortuus est anno 131/2, cf. ad p. 120, 9; eo anno igitur Arrianus iam legatus Augusti pro praetore prov. Cappadociae erat 9 Arrianum haec Periplo inseruisse in honorem Antinoi anno 130 mortui et Hadriani iussu pro deo culti putant Doulcet l. l. p. 25 sqq., Reuss, Rhein. Mus. 56, 1901, p. 375
10 subscriptio statuae, quam rex Rhoemetalces Cotyis successor Hadriano dicavit ob receptum ab eo regnum, mense Nov. a. 133 17 in lapide . . . *Α . . ΟΥ* . . . *ΦΑΔΡΙΑΝΟΥ* vel . . . *ΑΙΟΥ-Φ* . . . *ΙΑΝΟΥ* fuisse traditur *Φλαουιανοῦ* Boeckh *δι' ἐπιμελη-τοῦ Ἰουλίου Φλαβιανοῦ* Latyschev *Φλ. Ἀρριανοῦ ὑπατικοῦ* Doulcet l. l. p. 25, quod prorsus incertum 11 Ed. et supplevit Rostowzew. Supplementa omnino incerta

. . . .
[H]AD[RIAN · AVG.]
PER · FL · A[RRIANVM?]
LEG · [AVG. PR · PR ·]

FGrH 156/T 5 **12** Cassius Dio LXIX 15, 1, vol. III p. 235 Boiss. (e Xiphil. p. 251, 27—252, 1 Steph. et Exc. de legat., ed. De Boor, I p. 88 n. 17): *ὁ μὲν οὖν τῶν Ἰουδαίων πόλεμος ἐς τοῦτο ἐτελεύτησεν, ἕτερος δὲ ἐξ Ἀλανῶν (εἰσὶ δὲ Μασσαγέται) ἐκινήθη ὑπὸ Φαρασμάνου, καὶ τὴν μὲν Ἀλβανίδα καὶ τὴν Μηδίαν ἰσχυρῶς ἐλύπησε, τῆς δ' Ἀρμενίας τῆς τε Καππαδοκίας ἁψάμενος, ἔπειτα τῶν Ἀλανῶν τὰ μὲν δώροις ὑπὸ τοῦ Οὐολογαίσου πεισθέντων, τὰ δὲ καὶ Φλάουιον Ἀρριανὸν τὸν τῆς Καππαδοκίας ἄρχοντα φοβηθέντων, ἐπαύσατο.*

13 Themistius, Orat. 34, 8 (cf. 34, 20): *ἀλλὰ τὸν Ἀρειανὸν καὶ τὸν Ῥούστικον τῶν βιβλίων ἐξαναστήσαντες οὐκ εἴασαν* (sc. superiores principes) *ἄχρι τοῦ μέλανος καὶ τοῦ καλάμου φιλοσοφεῖν, οὐδὲ γράφειν μὲν ὑπὲρ ἀνδρείας, οἴκοι δὲ καθῆσθαι, οὐδὲ συντάττειν μὲν ὑπὲρ νόμων, φεύγειν δὲ τὰ κοινὰ ὑπὲρ ὧν οἱ νόμοι, οὐδὲ κρίνειν μὲν τίς ἀρίστη τῶν πολιτειῶν, πολιτείας δὲ ἐξίστασθαι πάσης. τοιγαροῦν οὐκ ἄχρι τοῦ βήματος μόνου προήγαγον τοὺς ἄνδρας, ἀλλὰ μέχρι τοῦ στρατηγίου, καὶ διέβαινον μὲν στρατηγοὶ Ῥωμαίων Πύλας Κασπίας, ἐξήλαυνον δὲ Ἀλανοὺς ἐξ Ἀρμενίας, ἔταττον δὲ Ἴβηρσιν ὅρους καὶ Ἀλβανοῖς. ἐπὶ τούτοις ἅπασι τὴν ἐπώνυμον τῶν ὑπάτων ἀρχὴν ἐκαρποῦντο, καὶ τὴν πόλιν ἥρμοζον τὴν μεγάλην καὶ προήδρευον τῆς ἀρχαίας βουλῆς.*

FGrH 156/fr. 87 **14** Ioannes Laurentius Lydus, De magistr. pop. Rom. III 53 i. f. (Parth. fr. 6): (*τὸν περὶ τῶν Κασπίων πυλῶν λόγον*) *Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς*

---

12 8 *ἐτελεύτησεν*] anno 134 9 *Φαρασμάνου*] Zydritarum rex, cf. Peripl. 11, 2 *τὴν μὲν Ἀλβανίδα καὶ τὴν Μηδίαν* Boiss. *τὴν ἀλβανίδα καὶ τὴν μημίδα* Exc. *τὴν μὲν μηδίαν* Xiph.; ad rem cf. Boiss. Herm. 25 (1890), p. 336 sq. 11. 12 *Οὐολογαίσου*] rex Armeniae, cf. Gutschm. Gesch. p. 147 **13** eadem fere, sed brevius, Themistius exponit Orat. 17, p. 215 a 15 *Ῥούστικον*] Q. Iunium Rusticum, cf. Prosop. Imp. Rom. II p. 243 n. 535

τοῖς τόποις ἐπιστάς, οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραϊανῷ τῷ χρηστῷ.

Digest. XLIX 14, 2, 1: Divus Hadrianus Flavio Arriano in haec verba rescripsit (sequitur rescriptum de instrumentis ad causam fisci pertinentibus). 15

Arrianus, Tact. 44, 3 (in fine opusculi): *ἐς τήνδε τὴν παροῦσαν βασιλείαν, ἣν Ἀδριανὸς εἰκοστὸν τοῦτ' ἔτος βασιλεύει.* 16

Inscriptiones Graecae ad res Romanas pertinentes III 111. Inscriptio Sebastopoli in Cappadocia a. 1871 reperta, ed. L. Renier, Journ. des Savants 1876, p. 442; Revue archéol. 1877, t. I p. 199; correxit Ramsay, Journ. of philol. 11, 1882, p. 154: *Αὐτοκράτορι Καίσαρι,* | *Θεοῦ Τραϊανοῦ Παρθικοῦ υἱῷ,* | *Θεοῦ Νέρουα υἱωνῷ, Τραιανῷ* | *Ἁδριανῷ Σεβ(αστῷ), ἀρχιερεῖ μεγίστῳ,* ‖ *δημαρχικῆς ἐξουσίας τὸ κα',* | *αὐτοκράτ(ορι) τὸ β', ὑπάτῳ τὸ γ', π(ατρὶ) π(ατρίδος),* | *καὶ Αἰλίῳ Καίσαρι, δημαρχικῆς* | *ἐξουσίας, ἐπὶ Φλ(αουΐου) Ἀρριανοῦ* | *πρεσβευτοῦ καὶ ἀντιστρατήγου* ‖ *τοῦ Σεβαστοῦ,* | *Σεβαστοπολειτῶν τῶν καὶ* | *Ἡρακλεοπολειτῶν* | *ἄρχοντες, βουλή, δῆμος·* | *ἔτους θλρ'* 17

Lucianus, De morte Peregrini 14: *πλὴν ἀλλ' ὁ Περεγρῖνος ἀφείθη* (sc. *ἐκ τοῦ δεσμωτηρίου*) *ὑπὸ τοῦ τότε τῆς* 18

---

16 7 *εἰκοστὸν τοῦτ' ἔτος*] a. 136/7 17 tribunicia potestas Hadriani prima et vicesima et simul Aelii Caesaris prima incidit in annum p. C. 137, qui est annus 139 aerae Sebastopolitarum. Arriano anno 137 exeunte vel ineunte 138 in Cappadocia successit L. Burbuleius Optatus Ligarianus, cf. Borghesi, Oeuvres IV p. 158. Falsus videtur titulus qui in marmore Nicomedensi inscriptus esse dicitur, editus in actis quibus titulus *Ἑλληνικὸς φιλολογικὸς σύλλογος* 2, 1864, p. 253 n. 5: *Ἀγα[θ]ῇ τύ[χ]η* | *Ἀρρ[ια]νῷ Φλα[β]ίῳ* | *τοπ[άρ]χῃ Καπ[π]α[δο]κίας* | *ὑπά[τ]ῳ [κα]ὶ ἱερ[ε]ῖ [τ]ῶν* ‖ *θεῶ[ν Δ]ήμητρ[ο]ς καὶ* | *Περ[σε]φόν[η]ς* | *[ἡ πόλις ἀνέστησεν]* | *μ[νή]μης χ[άρ]ιν.* Cf. Dessau, Prosop. Imp. Rom. II p. 64 n. 154 in. Vox *τοπάρχης* nunquam legatum Augusti pro praetore designat, cf. D. Magie, De Romanorum iuris publici sacrique vocabulis sollemnibus p. 86 sq. 18 21 *ὑπὸ — ἄρχοντος*] de Arriano sermonem esse suspicatur G. A. Harrer, Classical Philology 11, 1916, p. 338, eum enim, postquam e Cappadocia decessisset, ab Hadriano Syriae praepositum esse, nam saeculo secundo non raro illam legationem hac continuari.

Συρίας ἄρχοντος, ἀνδρὸς φιλοσοφίᾳ χαίροντος, ὃς συνεὶς τὴν ἀπόνοιαν αὐτοῦ καὶ ὅτι δέξαιτ' ἂν ἀποθανεῖν, ὡς δόξαν ἐπὶ τούτῳ ἀπολίποι, ἀφῆκεν αὐτὸν οὐδὲ τῆς κολάσεως ὑπολαβὼν ἄξιον.

FGrH 156/fr. 6a 19 Arrianus, Cyneget. 1, 4 (de se ipso): *ὁμώνυμός τε ὢν αὐτῷ* (*Ξενοφῶντι* sc.) *καὶ πόλεως τῆς αὐτῆς καὶ ἀμφὶ ταὐτὰ ἀπὸ νέου ἐσπουδακώς, κυνηγέσια καὶ στρατηγίαν καὶ σοφίαν.*

l. l. 5, 4: *εἰ δὲ ἐπί τι ἔργον πολιτικὸν ἴοιμι, ἡ δὲ* (Arriani canis sc.) *τῷ ἑταίρῳ τῷ ἐμῷ ξύνεστιν.*

20 Arrianus, Anab. III 16, 8: *νῦν κεῖνται Ἀθήνησιν ἐν Κεραμεικῷ αἱ εἰκόνες* (*Ἁρμοδίου καὶ Ἀριστογείτονος* sc.), *ᾗ ἄνιμεν ἐς πόλιν, καταντικρὺ μάλιστα τοῦ Μητρῴου, οὐ μακρὰν τῶν Εὐδανέμων τοῦ βωμοῦ· ὅστις δὲ μεμύηται ταῖν θεαῖν ἐν Ἐλευσῖνι, οἶδε τῶν Εὐδανέμων τὸν βωμὸν ἐπὶ τοῦ δαπέδου ὄντα.*

FGrH 156 T 6b 21 I. G. III 1116, in praescriptione catalogi epheborum Atheniensium: [*ἄρχοντος*] *Φλ(αουίου) Ἀρριανοῦ Παιανιέος*; in fine eiusdem tituli: *παιδοτριβοῦντος Ἀβασκάντου· ἔτος ι'.*

22 Hieronymus in versione Chronici Eusebii, ed. R. Helm vol. I, 1913, p. 203 (cf. vol. II, 1926, p. 607), sub □ anno XII° imp. Antonini Pii (149 p. Chr.): *Arrianus philosophus Nicomedensis agnoscitur et Maximus Tyrius;* idem

---

Fortasse in legatione Syriae Arrianus successit Sex. Iulio Severo, Arriano L. Burbuleius, cf. Harrer, Studies in the hist. of the Rom. prov. of Syria (1915), p. 27 sq.

19 civis igitur Atheniensis fuit Arrianus quum Cynegeticum conscriberet, et Athenis habitabat **20** Athenis igitur habitabat Arrianus quum Anabasin scriberet (cf. Anab. I 16, 7; VII 13, 5; 19, 2) et mysteriis Eleusiniis initiatus erat **21** primum annum Abascanti *παιδοτριβοῦντος διὰ βίου* fuisse 139/40 exposuit P. Graindor, Bull. de corr. hellén. 39, 1915, p. 381 sqq.; Chronologie des archontes athéniens sous l'Empire (Acad. r. de Belgique. Cl. d. Lettres. Mémoires, coll. in 4°, 2° Série, t. VIII fasc. 2, 1922), p. 145 sq., Arrianum igitur archonta fuisse a. 148/9, cf. Graindor, Chronol. p. 152 n. 110; annum 147/8 ei attribuerat Dittenberger ad I. G. III 1117, annum 146/7 v. Schoeffer, R. E. II p. 596 **22** Eusebius Arrianum memoravit sub anno quo archon fuit

habet Eusebii versio armeniaca, ed. J. Karst, 1911, p. 221, sed sub anno XI° Pii.

Georgius Syncellus p. 351 A (p. 662, 18 ed. Bonn.), in principatu Antonini Pii: *Ἀρριανὸς φιλόσοφος Νικομηδεὺς στρατηγὸς ἐγνωρίζετο.*

I. G. III 1029 in catalogo prytanum tribus Pandionidos, 23 FGrH 156/T 6c
posito *ἐπὶ ἄρχοντος Μ(άρκου) Βαλερίου Μαμερτίνου Μαραθωνίου*, inter *Παιανιεῖς* Arriani nomen probabiliter restitutum est: [*Φλ. Ἀρρ*]*ιανός*.

I. G. III 1032 in catalogo prytanum tribus Pandionidos, posito *ἐπὶ τοῦ μετὰ Τεινήιον Ποντικὸν ἄρχοντα ἐνιαυτοῦ*, inter *Παιανιεῖς* recensetur *Φλ(άουιος) Ἀρριανός*.

Lucianus, Alexander sive Pseudomantis 2: *καὶ* 24 FGrH 156/fr. 52
Ἀρριανὸς γὰρ ὁ τοῦ Ἐπικτήτου μαθητής, ἀνὴρ Ῥωμαίων ἐν τοῖς πρώτοις καὶ παιδείᾳ παρ' ὅλον τὸν βίον συγγενόμενος, ὅμοιόν τι παθὼν ἀπολογήσαιτ' ἂν καὶ ὑπὲρ ἡμῶν· Τιλλιβόρου (v. l. *Τιλλιρόβου*) *γοῦν τοῦ λῃστοῦ κἀκεῖνος βίον ἀναγράψαι ἠξίωσεν.*

Ἐφημερὶς ἀρχαιολογική, 1883, p. 141 n. 15. Inscrip- 25
tio Eleusine reperta:

Ἔκγονον ἠδὲ θύγατρα δυοῖν ὑπάτων Ἀρριανῶν,
οἳ σοφίᾳ πλοῦτον καὶ γένος ἠγλάϊσαν,
μύστιν Ἀθηναῖοι Κλημεντιανὴν παρὰ Δηοῖ
στῆσαν σωφροσύνης καὶ σοφίας ἕνεκα.

---

23 Mamertinum archonta fuisse anno 167/8, Tineum anno 171/2, exposuit Graindor, Bull. de corr. hell. 39, 1915, p. 386 sqq.; Chronol. p. 172 sq., Arrianus igitur anno 172/3 etiamtum inter vivos erat   24 15 *παρ' — συγγενόμενος*] Arrianus igitur quo tempore Lucianus Alexandrum scripsit (post annum 180 quo imp. Marcus obiit, cf. § 48, p. 254 *θεὸς Μάρκος*) mortuus erat; cave ne putes Arrianum intelligendum esse § 56, p. 260: *μόνος δὲ σὺν τῷ Ξενοφῶντι ἔτυχον ἐπιδημῶν* (Abonutichi sc. apud Alexandrum pseudoprophetam, anno 165, cf. Helm R. E. XIII p. 1727); de liberto quodam Luciani agi videtur   16. 17 *Τιλλιβόρου — βίον*] cf. p. XXXIV   25 cf. Graindor, L'historien Arrien et ses descendants, in: Marbres et textes antiques d'époque impériale (Univ. de Gand. Recueil de trav. publ. p. l. Fac. de phil. et lett., fasc. 50, 1922), p. 49 sqq.

TESTIMONIUM DE SERMONE ARRIANI[1]

26 **Photius**, Bibl. cod. 92, § 46 (in fine epitomes *τῶν μετ' Ἀλέξανδρον*), p. 72 b, 40 Bekk.: *Ἔστι μὲν οὖν ὁ ἀνὴρ οὐδενὸς τῶν ἄριστα συνταξαμένων ἱστορίας δεύτερος. ἀπαγγεῖλαί τε γὰρ καὶ μετὰ συντομίας κράτιστος, καὶ παρεκτροπαῖς ἀκαίροις οὐδὲ παρενθήκαις τὸ συνεχὲς τῆς ἱστορίας οὐδαμοῦ λυμαινόμενος, καινοπρεπὴς δὲ συνθήκῃ λόγου μᾶλλον ἢ λέξει, καὶ οὕτως ὥστε μὴ ἂν ἄλλως μήτε σαφέστερον μήτε ἐναργέστερον τὸ διήγημα δηλωθῆναι. εὐσήμῳ δὲ καὶ εὐήχῳ καὶ τῷ τῶν λέξεων ἀποκεχρημένος στρογγύλῳ, καὶ τὸ λεῖον ἔχει τῷ μεγέθει συγκιρνάμενον. καὶ ἡ καινότης τῶν λέξεων οὐχὶ εἰς τὸ πόρρω νεωτερίζεται, ἀλλ' ἔγγιστά τε καὶ εἰς τὸ ἐμφατικώτατον, ὡς σχηματισμὸν εἶναι λέξεως, ἀλλ' οὐχὶ ἐναλλαγὴν συνήθους ὀνόματος. διὸ καὶ τὸ σαφὲς συνεφέλκεται οὐκ ἐν τούτῳ μόνον,*

---

26 cf. Phot. Bibl. cod. 58, § 5 (testim. 2) i. f.: *ἰσχνὸς δὲ τὴν φράσιν ἐστὶ καὶ μιμητὴς ὡς ἀληθῶς Ξενοφῶντος*

---

1) De Arriani sermone cf. A. **Weise**, Wörterbuch zu Arrians Anabasis. Leipzig 1854.
E. **Meyer**, De Arriano Thucydideo. Diss. Rostoch. 1877.
C. **Renz**, Arrianus quatenus Xenophontis imitator sit. Diss. Rostoch. 1879.
H. **Doulcet**, Quid Xenophonti debuerit Flavius Arrianus. Diss. Paris. 1882, p. 84—93.
F. **Newie**, Ueber den Sprachgebrauch Arrians, besonders in der *Ἀνάβασις Ἀλεξάνδρου*. Progr. gymn. Stargard. 1882.
H. R. **Grundmann**, Quid in elocutione Arriani Herodoto debeatur. Diss. Lips. 1884 (= Berliner Studien II p. 177 sqq.).
A. **Boehner**, De Arriani dicendi genere. Diss. Erlang. 1885 (= Acta seminarii philol. Erlangensis IV p. 1 sqq.).
R. **Mücke**, Zu Arrians und Epiktets Sprachgebrauch. Progr. Ilfeld 1887.
F. **Bersanetti**, L' Anabasi di Arriano. Torino 1904.
A. G. **Roos**, De Arriani Indicae dialecto ionica. Mnemos. 55, 1927, p. 23 sqq.

ἀλλὰ κἀν τῇ διασκευῇ καὶ τάξει καὶ καταστάσει μάλιστα τοῦ διηγήματος· ὅπερ ἐστὶ καὶ τῆς σαφηνείας τὸ ἔντεχνον· ἡ γάρ τοι χρῆσις ἡ κατὰ τὰς εὐθείας τῶν περιόδων καὶ τοῖς ἰδιώταις πρόσεστι μάλιστα, καὶ εἰς ὑπτιότητα καὶ ταπεινότητα λίαν καταβιβάζει τὸν λόγον, ἄκρατος μάλιστα γινομένη· ὅπερ οὗτος, εἰ καὶ τοῦ σαφοῦς εἶναι δοκεῖ, οὐ προσήκατο. καὶ τῷ ἐλλείποντι δὲ τῶν τρόπων οὕτω κέχρηται, οὐ κατὰ τὰς περιοδικὰς ἐλλείψεις τοῦτο ποιῶν, ἀλλὰ κατά γε τὰς τῶν λέξεων, ὥστε μηδ' ἐλλείπειν διδόναι συναίσθησιν· καὶ εἴ τις τὸ λεῖπον ἐπιχειροίη προσθεῖναι, εἰς τὸ παρέλκον ἂν ἐπιτεῖναι δόξαι, ἀλλὰ μὴ τοῦ ἐλλιποῦς ἐξευρεῖν τὴν ἀναπλήρωσιν. ἄριστα δὲ αὐτοῦ καὶ τὸ πολυσχημάτιστον ἔχει, οὐκ ἀθρόον μεταβαλλόμενον ἀπὸ τῆς αὐτοσχηματίστου χρήσεως, ἀλλ' ἠρέμα καὶ ἐξ ἀρχῆς συμπλεκόμενον, ὡς μήτε τῷ προσκορεῖ ἀνιᾶν, μήτε τῷ ἀθρόῳ ποιεῖν ἐκταράττεσθαι. καὶ ἁπλῶς, εἴ τις κατ' αὐτὸν ἐπὶ τοὺς ἱστορικοὺς ἀναχθείη λόγους, πολλοὺς καὶ τῶν ἀρχαίων ἴδοι τῆς αὐτοῦ τάξεως ἱσταμένους ταπεινότερον.

CONSPECTUS OPERIS

ΙΝΔΙΚΗ

Τὰ ἔξω Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε ἐπὶ πο-
ταμὸν Κωφῆνα Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα Ἰνδικά,
ἐποικέουσιν, ἀλλ' οὔτε μεγάλοι τὰ σώματα, καθάπερ οἱ 2
ἐντὸς τοῦ Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν
θυμὸν οὐδὲ μέλανες ὡσαύτως τοῖς πολλοῖς Ἰνδοῖσιν.
οὗτοι πάλαι μὲν Ἀσσυρίοις ὑπήκοοι ἦσαν, ἔπει⟨τα Μή- 3
δοισιν, ἐπὶ⟩ δὲ Μήδοισι Περσέων ἤκουον, καὶ φόρους
ἀπέφερον Κύρῳ τῷ Καμβύσου ἐκ τῆς γῆς σφῶν, οὓς
ἔταξε Κῦρος. Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ 4
τῶν ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τὴν Ἰνδῶν,
τυχὸν μὲν [καὶ] Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγέ-
νοντο ἐν τοῖς πολέμοις οὕστινας πρὸς Ἰνδοὺς Διόνυσος
ἐπολέμησε, τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας 5

1—p. 2, 12 cf. Meun. p. 12 sqq. 2 sqq. cf. Mac Crindle, p. 333 sq.; Ansp. p. 14 adn. 38; Hold. Ind. p. 94 sqq. (cum tab. geographica) 6 sqq. cf. Prasek, Gesch. d. Med. u. Pers., I p. 52; Jacks., I p. 329 sqq. 9 sqq. cf. B. Graef, De Bacchi exp. Ind. (Diss. Berol. 1886), p. 1 sqq.; Preller-Robert, Gr. Myth., I[4] p. 702 sqq.; Gruppe, II p. 1516 sqq.

Titulus. *ἰνδική* A, post quam vocem alia manus ascripsit *Βιβλ. ἀνάβ*: *η*, quae lineis superductis deleta sunt; cf. Anab. V 6, 8 *ἐς τὴν Ἰνδικὴν ξυγγραφήν*; VI 16, 5 *ἐν τῇ Ἰνδικῇ ξυγγραφῇ*; Photius, Bibl. cod. 91, p. 68, b 1 Bekk. *ἡ ἐπιγραφομένη αὐτῷ ἰδίως Ἰνδική*; Steph. Byz. s. v. *Μάσσακα· Ἀρριανὸς ἐν Ἰνδικοῖς* 1 *ἔξω ⟨τοῦ⟩* Herch., cf. Boehn. p. 29, Kallenberg, Stud. üb. d. gr. Artikel II (Progr. d. Fr.-Werd. Gymn., Berl. 1891), p. 7 sq., 17 2 *Ἀσσακηνοί*] v. ad Anab. IV 23, 1 6 *ἔπει⟨τα Μήδοισιν, ἐπὶ⟩ δὲ* Reiske *ἐπειδὲ* (sic) A, sed eadem quae videtur manus *ἔπει* in *ἐπὶ* mutavit et *δὲ* linea superducta delevit; *ἐπὶ δὲ* Dübn. ex B 11 [*καὶ*] del. Herch.

τοῖς Ἕλλησι συνῴκισε, τήν τε χώρην Νυσαίην ὠνόμασεν
ἀπὸ τῆς τροφοῦ τῆς Νύσης Διόνυσος καὶ τὴν πόλιν
6 αὐτὴν Νῦσαν. καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλει, ὅτου ἐν
τῇσιν ὑπωρείῃσιν ᾤκισται ἡ Νῦσα, Μηρὸς κληίζεται ἐπὶ
7 τῇ συμφορῇ ἥτινι ἐχρήσατο εὐθὺς γενόμενος. ταῦτα μὲν
οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν, καὶ ἐξηγείσθων αὐτὰ
8 ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων· ἐν Ἀσσακηνοῖσι δὲ
Μάσσακα, πόλις μεγάλη, ἵναπερ καὶ τὸ κράτος τῆς γῆς
ἐστι τῆς Ἀσσακίης· καὶ ἄλλη πόλις Πευκελαΐτις, μεγάλη
καὶ αὐτή, οὐ μακρὰν τοῦ Ἰνδοῦ. ταῦτα μὲν ἔξω τοῦ
Ἰνδοῦ ποταμοῦ ᾤκισται πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν
2 Κωφῆνα· τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, τοῦτό μοι ἔστω
ἡ Ἰνδῶν γῆ καὶ Ἰνδοὶ οὗτοι ἔστωσαν.

ὅροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν βορέου ἀνέμου ὁ
2 Ταῦρος τὸ ὄρος. καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ
ταύτῃ, ἀλλὰ ἄρχεται μὲν ἀπὸ θαλάσσης ὁ Ταῦρος τῆς
κατὰ Παμφύλους τε καὶ Λυκίην καὶ Κίλικας παρατείνει

---

3 de situ Nysae cf. Mac Crindle p. 338 sq.; Ansp. p. 20 adn. 58; Hold., G. J. VII p. 43 sq., Ind. p. 122 sqq., cui assentitur Smith[4] p. 56 adn. 2 7 λόγιοι Ἑλλήνων] designat Eratosthenem, cf. Anab. V 3, 1—4 (= Erat. fr. I B, 24, p. 78 B.), Strab. XV 1, 7 sq., p. 688 8 cf. Mac Crindle p. 334 sq.; Ansp. p. 23 adn. 67; Hold. Ind. p. 105 sq.; Smith[4] p. 57 adn. 1 9 cf. Ansp. p. 28 adn. 82; Hold. Ind. p. 114 14—p. 3, 18 cf. Anab. V 6, 3; Strab. XV 1, 11 (= Erat. fr. III B, 6, p. 225 B.) 15 — p. 3, 7 = Erat. fr. III A, 4, p. 171 B.; cf. Anab. V 5, 2 sq. (= Erat. fr. III A, 5); Anab. V 6, 1 (= Erat. fr. III A 6); Strab. XI 8, 1 i. f.; Plin. N. H. V 98

---

2 τῆς τροφοῦ scripsi τοῦ ὄρεος A, cf. Anab. V 1, 6 Νῦσάν τε οὖν ἐκάλεσε τὴν πόλιν Διόνυσος ἐπὶ τῆς τροφοῦ τῆς Νύσης καὶ τὴν χώραν Νυσαίαν 8 Μάσσακα, πόλις Ἰνδῶν· Ἀρριανὸς ἐν Ἰνδικοῖς Steph. Byz. s. v., v. ad Anab. IV 26, 1
9 Πευκελαΐτις Herch. πευκέλα ἔτι A Πευκελαεῖτις (vel -ῆτις) Dübn., cf. Strab. XV 1, 27 p. 698 (ex eodem fonte) ἤδη δὲ πρὸς τῷ Ἰνδῷ πάλιν ἄλλη πόλις Πευκολαΐτις; v. ad Anab. IV 22, 7
12 τοῦτο] ταῦτα Herch. 15 οὐ Schm. ὁ A

τε ἔστε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν,
ἄλλο δὲ ἄλλῃ καλέεται τὸ ὄρος, τῇ μὲν Παραπάμισος, 3
τῇ δὲ Ἠμωδός, ἄλλῃ δὲ Ἴμαον κληΐζεται, καὶ τυχὸν ἄλλα
καὶ ἄλλα ἔχει οὐνόματα. Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ 4
στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον, ἄλλον τοῦτον
Καύκασον, οὐ τὸν Σκυθικόν, ὡς καὶ [τὸν] ἐπέκεινα τοῦ
Καυκάσου λόγον κατέχειν ὅτι ἦλθεν Ἀλέξανδρος. τὰ 5
πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς
ἀπείργει ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς
κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ
στόματα, κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα,
ἀλλ' ὡς τὰ τοῦ Νείλου, ὑπ' ὅτων τὸ Δέλτα ποιέεται τὸ 6
Αἰγύπτιον, ὧδέ τι καὶ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ
Ἰνδὸς ποταμός, οὐ μεῖον τοῦ Αἰγυπτίου, καὶ τοῦτο
Πάταλα τῇ Ἰνδῶν γλώσσῃ καλέεται. τὸ δὲ πρὸς νότου 7
τε ἀνέμου καὶ μεσαμβρίης αὐτὴ ἡ μεγάλη θάλασσα
ἀπείργει τὴν Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω ἡ αὐτὴ θά-
λασσα ἀπείργει. τὰ μὲν πρὸς μεσημβρίης κατὰ Πάταλά 8
τε καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε Ἀλεξάνδρου
καὶ Μακεδόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω

---

2 *Παραπάμισος* (et *Παραπαμισάδαι*) semper Arr., etiam in Anab.; cf. Lassen I[2] p. 27 adn. 4; Marq., Philol., suppl. 10 p. 75 sq. 4—7 cf. Ind. 5, 10; Anab. V 3, 3 (= Erat. fr. I B, 24, p. 78 B.); V 5, 3; Strab. XI 5, 5 8—15 = Erat. fr. III B, 14, p. 234 B.; cf. Anab. V 4, 1 (= Erat. fr. III B, 13, p. 233 B.); Strab. XV 1, 13 (= Erat. fr. III B, 12, p. 232 B.) 15 *Πάταλα*] cf. Smith[4] p. 107, adn. 2

---

1 *τε*] *δὲ* Dindorf, Thes. l. Gr. III p. 2099 C *ἔστε* ⟨*ἐπὶ*⟩ Herch., probantibus Grundm. p. 82, Kallenberg, Rhein. Mus. N. S. 74 (1925), p. 112; cf. Ind. 41, 8; Anab. IV 13, 5 6 *σκυθικικόν* A, corr. Ven. [*τὸν*] delevi, *τὰ* scripsit Vulc.; cf. Anab. V 5, 3 7 ⟨*ἐπ*⟩*ῆλθεν* Herch. Müll., qui l. 6 *τὰ ἐπέκεινα* scribunt cum Vulc. 12 *ὑπ' ὅτων* Herch. *ὑπὸ τῶν* A 13 *τι*] *τοι* Herch. *καὶ* ⟨*τὸ*⟩ Dübn. 17 *ἡ αὐτὴ* Herch. *αὐτὴ ἡ* A ⟨*αὖ*⟩ *ἡ αὐτὴ* Reiske 18 *τὰ μὲν* ⟨*δὴ*⟩ vel ⟨*οὖν*⟩ Herch., sed vox cum *μὲν* iuncta saepe asyndetice in initio sententiae ponitur, cf. Ind. 4, 8; 6, 9; 10, 8 i. f.; 26, 2; 40, 2; Tact. 32, 2; Peripl. 17, 2; 25, 4 i. f. *κατὰ* Schm. *καὶ τὰ* A 20 *τὰ*] an *τῶν*?

Ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε τὰ [δὲ] πρόσω ποταμοῦ
9 Ὑφάσιος, ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγ-
γεω καὶ ἵνα τοῦ Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμ-
3 βοθρα μεγίστη Ἰνδῶν πρὸς τῷ Γάγγῃ. ἐμοὶ δὲ Ἐρα-
τοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι γῆς
2 περιόδου πέρι ἔμελεν Ἐρατοσθένει. οὗτος ἀπὸ τοῦ ὄρεος
τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαί, παρ' αὐτὸν ⟨τὸν⟩
Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν
καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς μυρίους σταδίους καὶ τρισχι-
3 λίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν. ταυ-
τῃσὶ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ
ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ
ἴσην, ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω εἰς τὸ πέ-
λαγος, ἐς τρισχιλίους σταδίους μάλιστα ἀνατείνουσαν τὴν
ἄκρην· εἴη ἂν ὦν αὐτῷ ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς ⟨ἡ⟩
πρὸς ἕω μυρίους καὶ ἑξακισχιλίους σταδίους ἐπέχουσα.
4 τοῦτο μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει, μῆκος
δὲ τὸ ἀπ' ἑσπέρης ἐπὶ ἕω ἔστε μὲν ἐπὶ πόλιν Παλίμ-
βοθρα μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν καὶ
— εἶναι γὰρ ὁδὸν βασιληίην — τοῦτο ἐπέχειν ἐς μυ-

2 ὀλίγοι] sc. Megasthenes, cf. Anab. V 6, 2; Ind. 5, 3; Strab. II 1, 9; Müll., F. H. G. II p. 397 sqq.; Susemihl I p. 547 sqq.; Stein p. 1 sqq., 297 sqq.; Daïmachus Plat., cf. Strab. l. l.; Müll., F. H. G. II p. 440 sq.; Berg., Erat. p. 178 sq.; Schwartz, R. E. IV p. 2008; Dionysius quidam, cf. Plin. N. H. VI 58; Susemihl I p. 659   5. 6 γῆς περιόδου] cf. Berg., Erat. p. 99 sqq.; Erdk.[2] p. 406 sqq.   6 — p. 5, 5 = Erat. fr. III B, 10, p. 227 B., cf. Strab. XV 1, 11. 12 (= Erat. fr. III B, 6, p. 225 B.)   13 ἄκρην] sc. τὴν Κωλιακήν, cf. Strab. l. l.   19 sq. cf. Stein p. 17 sq.

1 [δὲ] delevi (πρόσω = ultra, cf. Ind. 4, 1; Anab. V 25, 5 ὁ Τάναϊς, τὰ πρόσω ἔτι τοῦ Τανάϊδος); τὰ δὲ (post ἐπῆλθε) del. Herch.   3. 4 an Παλίμβοθρα, πόλις? cf. Ind. 10, 5   4 ⟨τῶν⟩ Ἰνδ⟨ικ⟩ῶν Herch., qui requiri utique τῆς γῆς τῆς Ἰνδῶν vel πόλιων τῶν Ἰνδῶν existimavit   5 γῆς Schm. τῆς A   7 ⟨τὸν⟩ add. Herch.   13 εἴσω del. Herch.   15 ἄκρην G ἄκραν A[2]BFL ⟨ἡ⟩ add. Reiske   19 σχοινίοισι Herch., et ita Strab. XV 1, 11, sed cf. Schwanb. p. 27 adn. 23; Berg., Erat. p. 225 adn. 4   20 distinxit Reiske

ρίους σταδίους· τὰ δὲ ἐπέκεινα οὐκέτι ὡσαύτως ἀτρεκέα·
φήμας δὲ ὅσοι ἀνέγραψαν, ξὺν τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς 5
τὸ πέλαγος ἐς μυρίους σταδίους μάλιστα ἐπέχειν λέγου-
σιν· εἶναι δὲ ἂν ὧν τὸ μῆκος τῆς Ἰνδῶν γῆς σταδίων
μάλιστα δισμυρίων. Κτησίης δὲ ὁ Κνίδιος τὴν Ἰνδῶν 6 FGrH 688/fr. 49
γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνη- 134/fr. 6
σίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς. Νέαρχος δὲ 133/fr. 5
μηνῶν τεσσάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ πεδίου τῆς
Ἰνδῶν γῆς. Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέ- 7
ρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς ὅ τι περ οἱ ἄλλοι μῆκος FGrH 715/fr. 6b
ποιέουσι· καὶ λέγει Μεγασθένης μυρίων καὶ ἑξακισχι-
λίων σταδίων εἶναι ἵναπερ τὸ βραχύτατον αὐτοῦ. τὸ δὲ 8
ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γί-
νεται, καὶ ἐπέχει ⟨σταδίους⟩ τριηκοσίους καὶ δισχιλίους
καὶ δισμυρίους ἵναπερ τὸ στενότατον αὐτοῦ.

ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ ὅσοι οὐδὲ 9
ἐν τῇ πάσῃ Ἀσίῃ. μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰν-
δός, ὅτου καὶ ἡ γῆ ἐπώνυμος, ἄμφω τοῦ τε Νείλου τοῦ
Αἰγυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς
ταὐτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες. δοκέειν δὲ 10
ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ
Νείλου, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν
Ὑδραώτεα καὶ τὸν Ὕφασιν ἐμβάλλει ἐς τὸν Ἰνδόν, ὡς
καὶ τριάκοντα αὐτῷ στάδια τὸ πλάτος ταύτῃ εἶναι· καὶ

---

5 Ctes. fr. 59 M., fr. I 2 p. 15 Reese 6 Onesicr. fr. 11
7 Nearch. fr. 1 9 Megasth. fr. 6, cf. Lassen II[2] p. 669; haec Ctesiae, Onesicriti, Nearchi, Megasthenis de ambitu Indiae testimonia Arrianus ex Eratosthene sumpsit, cf. Strab. XV 1, 12; Meun. p. 19 sq. 16 sq. cf. Strab. XV 1, 13 in. (= Erat. fr. III B, 12 in., p. 232 B.); Meun. p. 20

---

4 δὲ ἂν ὧν scripsi δὲ ἄνω A ὧν Müll. ἂν ὧν vel δὲ ἂν Herch.
7 γῆς Casaubonus ad Strab. XV 1, 12 p. 689 ἀσίης A
8 τεσσάρων] δ' A 14 ⟨σταδίους⟩ add. Cast. 17 an τῇ ⟨ἄλλῃ⟩? 24 σταδίους Herch., quod Arr. praeter hunc locum et Peripl. 7, 2. 3 semper adhibuit, sed στάδια non raro Herodotus, semel Thuc. VII 78, 4

τυχὸν καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ
ῥέουσιν.
□ 4 ἀλλὰ οὔ μοι ἀτρεκὲς ὑπὲρ τῶν ἐπέκεινα Ὑφάσιος
ποταμοῦ ἰσχυρίσασθαι, ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος ἦλθεν
FGrH 715/fr. 9 2 Ἀλέξανδρος. αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε
Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι
ὑπερφέρειν Μεγασθένης ἀνέγραψε, καὶ ὅσοι ἄλλοι
3 μνήμην τοῦ Γάγγεω ἔχουσιν· αὐτόν τε γὰρ μέγαν ἀνίσ-
χειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς ἑωυτὸν τόν τε
□ Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσό-
ανον, πάντας πλωτούς, ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ
4 Σιττόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς, ἐπὶ
δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγό-
ρανιν καὶ Ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμινά-
σης τε μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ
5 ἔθνεος Ἰνδικοῦ τοῦ Μαδυανδινῶν ῥέων, καὶ ἐπὶ τού-
τοισιν Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύμαγις
ἐπὶ ⟨τοῖσι⟩ Παζάλαις καλουμένοισι· καὶ Ἐρέννεσις ἐν
□ 6 Μάθαις, ἔθνει Ἰνδικῷ, συμβάλλει τῷ Γάγγῃ. τού-
των λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου
7 ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. εἶναι ὦν

5—p. 8, 1 = Megasth. fr. 18   8—p. 7, 4 cf. Plin. N. H. VI 65; Schwanb. p. 35 sq.; Vivien de St. Martin, Étude s. l. géogr. gr. et lat. de l'Inde, 3e Mém. (Ac. d. inscr. et b. lettr. Mém. prés. p. div. sav. Ie Série, t. VI p. 104 sqq.); Lassen II² p. 675 sqq.   18. 19 Ἐρέννεσις ἐν Μάθαις] cf. R. Garbe, Zschr. d. D. morgenländ. Ges. 37 (1883), p. 456   21 sq. cf. Strab. XV 1, 35 i. f., p. 702

3 τῶν Ven. τὸν A   ἐπέκεινα ⟨τοῦ⟩ Herch., v. ad p. 1, 1   4 ἰσχυρίσασθαι ⟨ἔστιν⟩ Cast.   9 ἐκ] ἀπὸ Herch., cf. Anab. II 4, 7; VII 21, 1   10 καϊναν (sine acc.) A, Cainnas Plin. N. H. VI 64   Ἐραννοβόαν Vulc. ἐρρανοβόαν A hic, sed ἐραννοβόας Ind. 10, 5 (bis); Rhamnumbovam Plin. N. H. VI 65; excidit hoc nomen apud Strab. XV 1, 36   11 ἔτι] ἐπὶ Herch., cf. Anab. VII 10, 6   17 Ὀξύματις Schwanb. p. 35 adn. 31   18 ἐπὶ] ἐν Herch.   ⟨τοῖσι⟩ add. Herch.   19 ⟨δὲ⟩ ἐν Herch. coll. p. 7, 11   21 ὦν FGHL ὧν A² οὗ B

τὸ εὖρος τῷ Γάγγῃ, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στεινότατος,
ἐς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ
ἄποπτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ
ἐστι καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. τῷ δὲ Ἰνδῷ ἐς 8
ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοις, παρει-
ληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρύβαις καὶ τὸν Σαράγγην
ἐκ Κηκαίων καὶ τὸν Σύδρον ἐξ Ἀττακηνῶν ⟨ῥέοντα⟩, ἐς
Ἀκεσίνην ἐμβάλλει. Ὑδάσπης δὲ ἐν Συδράκαις ἄγων 9
ἅμα οἷ τὸν Σίναρον ἐν Ἀρίσπῃσιν ἐς τὸν Ἀκεσίνην ἐκ-
διδοῖ καὶ οὗτος. ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει 10
τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκε-
σίνην ἐκδιδοῖ. τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῇ
ἐπικλήσει ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη ὀνόματι ἐσ-
βάλλει ἐς τὸν Ἰνδόν. Κωφὴν δὲ ἐν Πευκελαΐτιδι, ἅμα 11
οἷ ἄγων Μαλάμαντόν τε καὶ Σόαστον καὶ Γαροίαν, ἐκ-
διδοῖ ἐς τὸν Ἰνδόν. καθύπερθε δὲ τουτέων Πάρεννος 12
καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν
Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων ἔρη-
μος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν. καὶ τουτέων τοὺς

5—p. 8, 1 cf. Schwanb. p. 31 sq.; Lassen II^{2} p. 673 sqq.; Smith, Journ. of the R. Asiat. Soc. 1903, p. 692 sqq.; Tom., R. E. II p. 1862 s. v. Astrybai; Kiessl., R. E. IX p. 23 s. v. Hyarotis 15 cf. Marq., Philol. suppl. 10, p. 244 sqq.

---

5 μέν ⟨γε⟩ Herch., v. ad p. 3, 18 6 Σαράγγην Ven. σαράγγιν A 7 Κηκαίων Marq. (litt.) κηκέων A; cf. Plin. N. H. VI 77 (ubi Cecaeaeque pro ceaeque scribit Marq.) Σύδρον Marq. (litt.) coll. Plin. N. H. VI 63 Sydrum νευδρον (sine acc.) A αττακηνῶν (sine spir.) A ⟨ῥέοντα⟩ addidi, cf. p. 6, 16 ἐς ⟨τὸν⟩ Herch. 8 ἐμβάλλει Vulc. ἐμβάλλ/ A ἐμβάλλουσιν vulg. Συδράκαις Marq. (litt.) οὐδράκαις A Ὀξυδράκαις vulg.; cf. Strab. XV 1, 8. 33; Plin. N. H. VI 92 9 ⟨Κου⟩σίναρον Marq. (litt.) Σίνδον Kiessl., R. E. IX p. 35 10—12 ὁ δὲ — ἐκδιδοῖ spuria censet Marq. 11 Τούταπος] Οὐίτασπος Marq. 13 ἤδη] δὴ Krüger ad Anab. VI 14, 5 16. 19 τουτέων] cf. Roos dial. p. 36 18 Ἀβισσαρέων Lassen I^{2} p. 121 adn. 3 βισσαρέων A^{2} σαβισσαρέων BFHL; cf. Ἀβισάρης rex Anab. IV 27, 7 et alibi

FGrH 715/fr. 9 13 πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν. οὔκουν
ἀπιστίαν χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω μηδὲ
συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ τοῦ Νείλου
14 τὸ ὕδωρ. ἐς μέν γε τὸν Νεῖλον οὐδένα ποταμὸν ἐκδι-
δόντα ἴσμεν, ἀλλ' ἀπ' αὐτοῦ διώρυχας τετμημένας κατὰ
15 τὴν χώρην τὴν Αἰγυπτίην· ὁ δὲ Ἴστρος ὀλίγος μὲν
ἀνίσχει ἀπὸ τῶν πηγέων, δέχεται δὲ πολλοὺς ποταμούς,
ἀλλὰ οὔτε πλήθει ἴσους τοῖς Ἰνδῶν ποταμοῖσιν, οἳ
ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγην ἐκδιδοῦσιν, πλωτοὺς δὲ
δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν
16 Ἔνον τε καὶ τὸν Σάον. Ἔνος μὲν ἐν μεθορίῳ τῆς Νω-
ρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος
κατὰ Παίονας. ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ πο-
ταμοί, Ταυροῦνος καλέεται. ὅστις δὲ καὶ ἄλλον οἶδε
ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ
πολλούς που οἶδε.

5 τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε
καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ
2 ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. ἐπεὶ καὶ ἄλλων πολλῶν
ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω
τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν
τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον, ὥστε τοὺς πάντας
ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοί,

19—p. 9, 5 = Megasth. fr. 18 22. 23 cf. Seneca apud Plin. N. H. VI 60

---

8 τὸν Νεῖλον Reiske et Herch. (qui insuper τὸ ὕδωρ delet), sed recte Cast. confert Anab. V 6, 7 ὅτῳ (sc. Gangi) οὔτε ⟨τὸ⟩ τοῦ Νείλου ὕδωρ . . . οὔτε ὁ Ἴστρος . . . ἄξιοι ξυμβαλεῖν 8 οὐδὲ Herch. (propter δὲ, l. 9) 9 δὲ] conicias τε, sed δὲ post οὔτε legitur etiam Cyn. 26, 4 10 καὶ del. Herch. 11 ενον (sine spir. et acc.) A 11. 12 νορικῶν A, corr. Dübn. 18 Ἰν-δ⟨ικ⟩ῶν Herch.; cf. Ind. 5, 2; 6, 8; 10, 5; Anab. III 29, 2; V 6, 7; 21, 4 19 ταῦτα] quae hactenus de illis tradidi: Reiske 21 ἐκδίδωσιν A, corr. Ven 22 τὸν ἔξω del. Herch.

ναυσίποροι πάντες. ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν 3
δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ⟨δὴ⟩ ὅτι
πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες·
συγγενέσθαι γὰρ Σανδροκόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ
Ἰνδῶν, καὶ Πώρου ἔτι τούτῳ μείζονι. οὗτος ὢν ὁ Μεγα- 4 FGrH 715/fr. 11b
σθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀν-
θρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους, ἀλλὰ 5
Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίας καταστρεψά-
μενον τὴν πολλήν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ
ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι, Ἰδάνθυρσον δὲ τὸν Σκύ- 6
θεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα
καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν
κρατέοντα. Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν 7
στέλλεσθαι εἰς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι
τοῖς βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπ'
Ἰνδοὺς μοῦνον. καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι 8
πολλὸς λόγος κατέχει ὡς καὶ τούτου στρατεύσαντος ἐς

---

4 sqq. cf. Anab. V 6, 2; Strab. II 1, 9, p. 70; XV 1, 53, p. 709; Schwanb. p. 21 sqq.; Lassen II² p. 668 sqq.; regnavit Chandragupta Maurya ab a. 323/2 ad a. 298, cf. Smith⁴ p. 123 sqq. 5 — p. 10, 21 = Megasth. fr. 21 5 — p. 10, 2 cf. Megasth. fr. 23 i. f. (Ind. 9, 10—12) et fr. 20 (Strab. XV 1, 6, p. 687) 15 Megasthenes haec rescripsisse videtur narrationibus Ctesiae (fr. 15, Diod. II 16 sqq.) et Nearchi (fr. 23, Arr. Anab. VI 24, 2 sq., Strab. XV 1, 5, p. 686)

---

1 ⟨τὴν⟩ πολλὴν Herch.; cf. p. 13, 3. 4 2 ⟨δὴ⟩ add. Herch. Philol. VII p. 284; cf. Grundm. p. 61 3 ἐπελθόντες] ἐπῆλθεν Herch.; cf. Cast. p. 174 4 Σανδροκόττῳ hic, ἐς ἀνδρόκοτον 9, 9 A, rectius Σανδράκοττον Anab. V 6, 2, ubi cf. adn. 5 ⟨τῶν⟩ Ἰνδῶν vulg. Πώρου ἔτι τούτῳ Schwanb. p. 22 Πώρῳ ἔτι τούτου A 9 ⟨καὶ⟩ ἔστε Herch. 10 Ἰδάνθυρσον Herch. (ex Herod. IV 76 sqq., Strab. XV 1, 6) ἰνδάθυρσον A, cf. Ἰανδύσου τοῦ Σκυθῶν βασιλέως Arr. Parth. fr. 1, 3 apud Phot. Bibl. cod. 58 i. f. 12 ἐπ⟨αν⟩ελθεῖν et τῆς Αἰγυπτίων γῆς Enth. 14 εἰς] ἐπὶ Cast., cf. Anab. I 11, 5; III 27, 4; VII 20, 1 16 Διονύσου — p. 10, 2 πολλός = Suid. s. v. πολλός (omissis p. 9, 17 sq. ὡς — καταστρ. Ἰνδούς) 16 μὲν B et Suid., om. A²FGHL

Ἰνδοὺς καὶ καταστρεψαμένου Ἰνδούς, Ἡρακλέος δὲ πέρι
9 οὐ πολλός. Διονύσου μέν γε καὶ Νῦσα πόλις μνῆμα οὐ
φαῦλον τῆς στρατηλασίης, καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ
κισσὸς ὅτι ἐν τῷ ὄρει τούτῳ φύεται, καὶ αὐτοὶ οἱ Ἰνδοὶ
ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς
μάχας, καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, κατάπερ
10 τοῦ Διονύσου τοῖσι βάκχοισιν· Ἡρακλέος δὲ οὐ πολλὰ
ὑπομνήματα. ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα
Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς
ἐγένετο ἐξελεῖν, Μακεδονικὸν δοκέει μοί τι κόμπασμα,
κατάπερ ὧν καὶ τὸν Παραπάμισον Καύκασον ἐκάλεον
Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ.
11 καί τι καὶ ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδαισι,
τοῦτο ἔφασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέως τοῦ Τιτῆνος
τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός.
12 καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένει, ὅτι δορὰς ἀμπε-
χομένους εἶδον τοὺς Σίβας, ἀπὸ τῆς Ἡρακλέους στρα-
τηλασίης ἔφασκον τοὺς ὑπολειφθέντας εἶναι τοὺς Σίβας·
καὶ γὰρ καὶ σκυτάλην φορέουσί τε οἱ Σίβαι καὶ τῇσι
βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται, καὶ τοῦτο ἐς μνήμην
13 ἀνέφερον τοῦ ῥοπάλου τοῦ Ἡρακλέους. εἰ δέ τῳ πιστὰ
ταῦτα, ἄλλος ἂν οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος ἢ

2 Διονύσου] v. ad p. 1, 9 2—21 cf. Erat. fr. I B, 24, p. 78 B (Arr. Anab. V 3, 1—4); Strab. XV 1, 8—10, p. 688; Meun. p. 22 8 Ἄορνον] cf. Anab. IV 28, 1. 2; Mac Crindle p. 335 sqq.; Hold. p. 107 sqq.; Smith[4] p. 60 adn. 1 21 sqq. cf. Anab. II 16, 1 sqq.; IV 28, 2; Herod. II 43—45

1 Ἡρακλέους Suid. 2 νύσσα A, corr. Dübn. 4 ὅτι] ὅστις Herch.; cf. Cast. p. 175 10 τι Dübn. τὸ A ⟨τοῦ⟩το Cast., del. Herch. 13 Παραπαμισάδαισι scripsi παραπαμισάδεσι A (de αι et ε in A permutatis cf. Praef. § 1; de dativo pl. in -αισι cf. Roos dial. p. 35) Παραπαμισάδῃσι Herch. et Müll. 14 ἔφασαν Herch. ἔφρασεν A 16 σιβαισιν (sine acc.) A 19 φορέουσιν (deleto τε) Herch. τῇσι Herch. coll. Anab. V 3, 4 τοῖσι A

ὁ Τύριος [οὗτος] ἢ ὁ Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν
ἄνω χώρην οὐ πόρρω τῆς Ἰνδῶν γῆς ᾠκισμένος μέγας
βασιλεύς.

ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πι- 6
στὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος πο-
ταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· (ἔστε γὰρ ἐπὶ τὸν
Ὕφασιν οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες
οὐ πάντη ἄπιστοί εἰσιν)· ἐπεὶ καὶ τόδε λέγει Μεγα- 2 FGrH
σθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ 715/fr. 10
ὄνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ διὰ
τῆς χώρης τῆς Σιλαίων, καὶ τούτων ἐπωνύμων τοῦ πο-
ταμοῦ τε καὶ τῆς κρήνης, τὸ δὲ ὕδωρ παρέχεσθαι τοι- 3
όνδε. οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, ⟨καὶ⟩ οὔτε τι
νήχεσθαι ἐπ' αὐτοῦ οὔτε τι ἐπιπλεῖν, ἀλλὰ πάντα γὰρ
ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι
τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον.

ὕεται δὲ ἡ Ἰνδῶν γῆ τοῦ θέρεος, μάλιστα μὲν τὰ ὄρεα, 4
Παραπάμισός τε καὶ ὁ Ἠμωδὸς καὶ τὸ Ἰμαϊκὸν ὄρος,
καὶ ἀπὸ τουτέων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν.
ὕεται δὲ τοῦ θέρους καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε 5
λιμνάζει τὰ πολλὰ αὐτέων. καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου
στρατιὴ ἀπὸ τοῦ Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερ-
βαλόντος τοῦ ὕδατος ἐς τὰ πεδία. ὥστε ἀπὸ τῶνδε ἔξεστι 6

8—16 = Megasth. fr. 19 9 Σίλαν] cf. Schwanb. p. 37 adn. 32; Lassen II² p. 657; Reese p. 86 adn. 1· 17—p. 12, 21 cf. Megasth. fr. 9 (Strab. XV 1, 20, p. 693); Aristob. fr. 29 et Nearch. fr. 4 apud Strab. XV 1, 17—19, p. 691 sqq.; Lassen I² p. 251 sq.; II² p. 678; Meun. p. 21 20—21 = Erat. fr. III B, 15, p. 234 B., cf. fr. III B, 12, p. 232 B. (Strab. XV 1, 13, p. 690) 23—p. 12, 4 cf. Nearch. fr. 5 (Strab. XV 1, 25, p. 696); Berg., Erat. p. 306, Erdk.² p. 130 sqq.; Cap., N. J. f. d. cl. Alt. 33, 1914, p. 317 sqq.

---

1 [οὗτος] del. Reiske et Herch. ἢ καί τις Herch. 11 Σιλαίων Reiske σιλεων (s. acc.) A² σιλέων BFL 13 ⟨καὶ⟩ add. Herch. 14 ἐπ' αὐτοῦ] ἐν αὐτῷ Herch. 17 τοῦ θέρεος Herch. τὸ θέρος A 19 τουτέων, 21 αὐτέων, cf. Roos, dial. p. 36

τεκμηριοῦσθαι καὶ τοῦ Νείλου τὸ πάθημα τοῦτο, ὅτι
εἰκὸς [εἶναι] ὕεσθαι τὰ Αἰθιόπων ὄρεα τοῦ θέρεος, καὶ
ἀπ' ἐκείνων ἐμπιπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ
7 τὰς ὄχθας ἐς τὴν γῆν τὴν Αἰγυπτίην. θολερὸς ὢν καὶ
οὗτος ῥέει ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκο-
μένης ἔρρεεν, οὔτε εἰ πρὸς τῶν ὥρῃ θέρεος πνεόντων
ἐτησίων ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ· ἄλλως τε οὐδὲ
8 χιονόβλητα εἴη ἂν τὰ Αἰθιόπων ὄρεα ὑπὸ καύματος. ὕεσθαι
δὲ κατάπερ τὰ Ἰνδῶν οὐκ ἔξω ἐστὶ τοῦ εἰκότος, ἐπεὶ
καὶ τἄλλα ⟨ἡ⟩ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης καὶ
οἱ ποταμοὶ οἱ Ἰνδοὶ ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπηίῳ τε
καὶ Αἰγυπτίῳ κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ
αὐτῶν καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος πλὴν
FGrH 134/fr. 7 ἵππου τοῦ ποταμίου, — Ὀνησίκριτος δὲ καὶ τοὺς
9 ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι — τῶν τε ἀν-
θρώπων αἱ ἰδέαι οὐ πάντῃ ἀπᾴδουσιν αἱ Ἰνδῶν τε καὶ
Αἰθιόπων. οἱ μὲν πρὸς νότου ἀνέμου Ἰνδοὶ τοῖς Αἰθίοψι
μᾶλλόν τι ἐοίκασι μέλανές τε ἰδέσθαι εἰσὶ καὶ ἡ κόμη
αὐτοῖς μέλαινα, πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως οὐδὲ
οὐλόκρανοι ὡς Αἰθίοπες. οἱ δὲ βορειότεροι τούτων κατ'
Αἰγυπτίους μάλιστα ἂν εἶεν τὰ σώματα.
7 ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ ἅπαντα λέγει

7 sq. cf. Cap. l. l., p. 338 adn. 4 10—21 = Erat. fr. III B, 15, p. 234 B. 14 Onesicr. fr. 12 (Strab. XV 1, 13, p. 690), cf. Aristob. fr. 32 (Strab. XV 1, 45, p. 706 sq.) 19 sq. cf. Herod. VII 70 22—p. 18, 10 = Megasth. fr. 23 22 sq. cf. Seneca apud Plin. N. H. VI 60; Lassen II[2] p. 693

2 εἰκὸς Herch. (in ed. priore) ἐοικὸς A (quod e dittographia ortum videtur) εἰκὸς Arr. semper [εἶναι] del. Herch., ἐστι Reiske 3 ἐμπιμπλάμενον Herch., sed cf. Tact. 16, 12; Cyn. 25, 1; Herod. I 212; IV 72; VIII 117 (ἐμπιμπλᾶσι sine acc. Ind. 10, 3 in A) 4 ὢν Raph. ὧν A 6 ἔρεεν A, corr. Vulc. 8 χιονόβλητα Reiske Herch. Müll. χιονόβαντα A 10 ⟨ἡ⟩ add. Ven. 11 αἰθιοπίω A, corr. Herch., cf. Roos dial. p. 31 12 ἔστιν Vulc. ἐς την (sine acc.) A 14 ποταμείου A, corr. Ven. 15 τε] δὲ Herch. 17 μὲν ⟨γὰρ⟩ Herch., cf. ad p. 3, 18 22 τὰ ἅπαντα Vulc. τι ἅπαντα A τὰ πάντα Herch.

Μεγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα FGrH 715/fr. 12
Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένει, τὸ δὲ
ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ
πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὐδὲ ἐπιμι-
ξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους. πάλαι μὲν 2
δὴ νομάδας εἶναι Ἰνδούς, καθάπερ Σκυθέων τοὺς οὐκ
ἀροτῆρας, οἳ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι ἄλλοτε ἄλ-
λην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόληας οἰκέοντες οὔτε
ἱερὰ θεῶν σέβοντες. οὕτω μηδὲ Ἰνδοῖσι πόληας εἶναι 3
μηδὲ ἱερὰ θεῶν δεδομημένα, ἀλλ' ἀμπίσχεσθαι μὲν δο-
ρὰς θηρίων ὅσων κατακάνοιεν, σιτέεσθαι δὲ τῶν δεν-
δρέων τὸν φλοιόν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ
Ἰνδῶν φωνῇ τάλα, καὶ φύεσθαι ἐπ' αὐτῶν, κατάπερ τῶν
φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. σιτέεσθαι 4
δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας, πρίν γε
δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. Διόνυσον 5
δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόληάς τε
οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλεσιν, οἴνου τε δο-
τῆρα Ἰνδοῖς γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπείρειν δι-
δάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα, ἢ οὐκ ἐλάσαντος 6
ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπεί-
ρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διό-
νυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά σφισιν
ἔδωκε καρποῦ τοῦ ἡμέρου. βόας τε ὑπ' ἄροτρον ζεῦξαι 7

---

5 sqq. cf. Diod. II 38, 2 sqq.; Lassen II^{2} p. 736 sqq. 6—9 cf. Bith. fr. 54 13 τάλα] cf. Lassen I^{2} p. 311 sq., II^{2} p. 682; Stein p. 71

---

1 δυεῖν A, corr. Ven. 3 sq. οὐδὲ — οὐδὲ] οὔτε — οὔτε Herch. 4 an κοὐδὲ ἐπιμιξίης? 5 ἄλληλα Herch. 7 ἐπὶ] ἐν Herch.; cf. Helb. p. 61 8. 9. 17 πόλιας Ven., fortasse recte, cf. Roos dial. p. 37 11 θηρίων Ven. θηρείους A 15 πρίν γε δὴ Herch. (quasi ex A^{2}) et Grundm. p. 61 πρὶν ε δὴ A (incertum utrum A^{2} voluerit ε delere an τ, non γ, superscripserit) 16 τῶν] τὴν Reiske et Eberh.; cf. Ind.^{2} 31, 1 24 ἄροτρον Herch. ἀροτρω (sine acc.) A; cf. Helb. p. 112

Διόνυσον πρῶτον καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι
Ἰνδῶν τοὺς πολλοὺς καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηίοισι.
8 *καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ*
μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας·
καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικήν, τὸν κόρδακα
9 *παρ' Ἕλλησι καλούμενον, καὶ κομᾶν [Ἰνδοὺς] τῷ θεῷ*
μιτρηφορέειν τε ἀναδεῖξαι καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι,
ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ
τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.
8 *ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὥς οἱ ταῦτα κεκοσμέατο,*
καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων
ἕνα τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα
τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα.
2 *καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν,*
τὸν πατέρα, τὸν δὲ παῖδα εἴκοσιν ἔτεα. καὶ τούτου
3 *παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν, καὶ τὸ ἀπὸ*
τοῦδε τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληίην,
παῖδα παρὰ πατρὸς ἐκδεχόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος,
οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας.
4 *Ἡρακλέα δέ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει,*
5 *παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. τοῦτον τὸν*
Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι, Ἰν-
δικοῦ ἔθνεος, ἵνα δύο πόληες μεγάλαι, Μέθορά τε καὶ
Κλεισόβορα· καὶ ποταμὸς Ἰωμάνης πλωτὸς διαρρεῖ τὴν

---

10 sqq. cf. Diod. II 38, 6; Lassen I² p. 609 sqq., II² p. 701; Brunnhofer, Vom Aral b. z. Gangâ, p. 194 sq. 20 sqq. cf. Diod. II 39, 1—4; Lassen I² p. 795 sqq. 24 sq. cf. Schwanb. p. 37; Lassen II² p. 676

---

6 [*Ἰνδοὺς*] delevi post *τῷ* signo ꟸ addito eadem quae videtur manus in marg. ascripsit *τῶ διου* in A 7 *καταδεῖξαι* mavult Reiske 8 sq. *ὥστε — καθίσταντο* delet Herch. tamquam e p. 10, 4 sq. nata 12 *ἕνα* del. Herch. *τῶν βακχωδεστάτων* dubitanter Cast.; cf. Kühner-Gerth I p. 28 13 *Βουδύαν* Vulc. *βουδύαν* A 16 *Πραρεύαν* vel tale quid suspicatur Lassen I² p. 610 23 *πόλιες* Bas., cf. ad p. 13, 8 24 *Ἰω-*

χώρην αὐτῶν· τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα 6
ἐφόρεε Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ FGrH 715/fr. 13
Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται. καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ — πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα —, θυγατέρα δὲ μουνογενέην.
οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην, καὶ τὴν χώρην, 7
ἵνα τε ἐγένετο καὶ ἧστινος ἐπέτρεψεν αὐτῇ ἄρχειν Ἡρακλέης, Πανδαίην ⟨καλεῖσθαι⟩ τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. καὶ τάδε μετεξέτεροι Ἰνδῶν 8
περὶ Ἡρακλέους λέγουσιν, ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν καὶ καθήραντα ὅ τι περ κακόν, καινὸν εἶδος ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμου γυναικηίου, ὅντινα 9
καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ᾽ ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι, καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες μέζονι ἔτι σπουδῇ ὠνέονται, τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεόμενον. τὸν γὰρ Ἡρακλέα, ὡς καλόν οἱ 10
ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῇ θυγατρὶ

---

7 sqq. cf. Polyaen. I 3, 4; Plin. N. H. VI 76; Lassen I² p. 797 sqq.
20 sq. cf. Lassen I² p. 288 adn. 2

μάνης scripsi ἰῶβάρης (sic) A; Iomanes Plin. N. H. VI 63. 69. 73; Διαμούνας Ptolem. VII 1, 29. 42
2 ὁμοίη ⟨ἦν⟩ dubitanter Cast. 7 τῇ χώρῃ M. Haupt, Herm. VII p. 297 (= Opuscul. III p. 594) 8 αὐτῇ Herch. αὐτὴν A 9 Πανδαίην del. Herch. ⟨καλεῖσθαι⟩ addidi, cf. Anab. VI 1, 3 11 ἵππον eadem manu corr. ex ἵππων A 12 τὰς del. Boehn. p. 41; cf. Anab. I 16, 4 i. f.; VII 12, 1 14 sq. καινὸν εἶδος — κόσμου γυναικηίου Sintenis, Herm. V p. 287 κίναιδος — κόσμον γυναικήιον A 17. 23 ἀγεινέοντες, συναγεινέειν A, corr. Ven. 22 τῆς et 23 γῆν del. Herch.

FGrH 715/fr. 14
11 τῇ ἑωυτοῦ εἶναι κόσμον. καὶ λέγει Μεγασθένης, θη-
ρεύεσθαι τὴν κόγχην αὐτοῦ δικτύοισι, νέμεσθαι δ' ἐν
τῇ θαλάσσῃ κατὰ ταὐτὸ πολλὰς κόγχας, κατάπερ τὰς
μελίσσας. καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα
12 ἢ βασίλισσαν, ὡς τῇσι μελίσσῃσι. καὶ ὅστις μὲν ἐκεῖνον
κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλ-
λειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτῶν· εἰ δὲ διαφύγοι
σφᾶς ὁ βασιλεύς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς
ἄλλους. τοὺς ἑλόντας δὲ περιορᾶν κατασαπῆναί σφισι
13 τὴν σάρκα, τῷ δὲ ὀστέῳ ἐς κόσμον χρῆσθαι. καὶ εἶναι
γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ
τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν
γῇ ὀρυσσόμενον.

9 ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ
τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεις ἐούσας ἐς
ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα
2 τὰ πλεῖστα βιώσκεσθαι. καὶ ὑπὲρ τούτου λεγόμενον
λόγον εἶναι παρὰ Ἰνδοῖσιν. Ἡρακλέα, ὀψιγόνου οἱ γε-
νομένης τῆς παιδός, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑαυτῷ
ἐοῦσαν τὴν τελευτήν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν
παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ
ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν
3 βασιλέας. ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου·
καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη
4 ἐπῆρξε, ταὐτὸν τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέος. ἐμοὶ

1 cf. Plin. N. H. IX 111   15 sqq. cf. Megasth. fr. 24 (Phlegon, Mirab. 33)

3 κατὰ ταὐτὸ Reiske κατάυτὸ A κατὰ τωὐτὸ Herch. 5 μελίσσῃσι A[2] et, ut videtur, etiam A[1] (non μελισσίῃσι), accentu paulum remoto μελίσσῃσι G μελισσίῃσι BL 6 δὲ] μὲν Herch., cf. cap. 25, 5 8 τούτοισι Herch. 9 ἑλόντας Herch. (qui etiam ἁλιεύοντας suspicatus erat) ἁλόντας A 19 ἐπεί τε] cf. Anab. V 1, 1; Grundm. p. 62 21 αὐτὸν eadem manu corr. ex αὐτοῦ A 23 ὦν αὐτὴν Vulc. ὠναυτὴν (sine acc.) A ὡραίην Vulc. ὠραῆν A 25 ὑπῆρξε Herch.

δὲ δοκεῖ, εἴπερ ὧν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός
τε ἦν ἐξεργάζεσθαι, κἂν αὐτὸν ἀποφῆναι μακροβιώτερον,
ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. ἀλλὰ γὰρ εἰ ταῦτα ὑπὲρ τῆς 5
ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστίν, ἐς ταὐτὸν φέρειν
δοκεῖ ἔμοιγε ἐς ὅ τι περ καὶ ⟨τὰ⟩ ὑπὲρ τῶν ἀνδρῶν τῆς
ἡλικίης ὅτι τεσσαρακοντούτεες ἀποθνήσκουσιν οἱ πρε-
σβύτατοι αὐτῶν. οἷς γὰρ τό τε γῆρας τοσῷδε ταχύτερον 6
ἐπέρχεται καὶ ὁ θάνατος ὁμοῦ τῷ γήρᾳ, πάντως που καὶ
ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει. ὥστε 7
τριακοντούτεες μὲν ὠμογέροντες ἄν που εἶεν αὐτοῖσιν
οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ ἔξω ἥβης νεηνί-
σκοι, ἡ δὲ ἀκροτάτη ἥβη ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα· καὶ
τῇσι γυναιξὶν ὥρη τοῦ γάμου κατὰ λόγον ἂν οὕτω ἐς
τὰ ἑπτὰ ἔτεα συμβαίνοι. καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ 8
τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον [μὲν] τῆς ἄλλης
αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψεν καὶ φθίνειν τα- FGrH 715/fr. 13
χύτερον.

ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς 9 FGrH 715/fr. 14
Σανδρόκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν, ἔτεα δὲ
δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι
τρὶς τὸ πᾶν εἰς ἐλευθερίην * * *, τὴν δὲ καὶ ἐς τριακό-

---

18 sqq. cf. Plin. N. H. VI 59; Lassen I[2] p. 609 sqq.

---

2 κἂν Herch. καὶ A 3 ὡραίῃ Vulc. ὥρα ἢ A εἰ ταῦτα Vulc. ἐνταῦθα A εἰ τὰ Herch. 5 ⟨τὰ⟩ add. Reiske ⟨τὸ⟩ add. Herch. 8 γήρᾳ Ven. γήρα A 15 [μὲν] del. Reiske Herch. τῆς ἄλλης] τῶν παρ' ἄλλοις Reiske τῶν ἄλλῃ Herch. 16 αὐτὸς scripsi, αὔτὸς A ὡυτὸς Herch. 18. 19 ἐς Σανδρόκοττον Gron. ἐς ἀνδρόκοτον A, cf. ad p. 9, 4 20 τεσσαράκοντα] τεσσαρακόσια Bunsen, Aegypt. Stelle i. d. Weltgesch. V, Abt. 4 u. 5 (1857), p. 155 adn. 44, coll. Plin. N. H. VI 59, Solin. 52, 6 21 post ἐλευθερίην quaedam excidisse animadvertit Vulc., ⟨μεταβαλέειν τὴν πολιτηΐην· καὶ ἐς ἔτεα μὲν ... τὴν πρώτην ὑπάρξαι ἐλευθερίην⟩ vel tale quid add. Gutschm., Beitr. z. Gesch. d. alt. Orients (1858), p. 65, probabiliter; numerum, qui excidisset, trecentis minorem fuisse recte effecit Bunsen l. l. e vocibus quae sequuntur: καὶ ἐς τριακόσια

10 σια, τὴν δὲ εἴκοσίν τε ἐτέων καὶ ἑκατόν. πρεσβύτερόν τε Διόνυσον Ἡρακλέος δέκα καὶ πέντε γενεῆσιν Ἰνδοὶ λέγουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμῳ, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα καὶ τἆλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίαν βασιλέων γενόμενον τὸν Κῦρον.
11 ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι [πάντων] τοῖς ὅπλοις ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρα-
12 τῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινὰ ἔξω τῆς οἰκείης σταλῆναι ἐπὶ πολέμῳ διὰ δικαιότητα.

FGrH 715/fr. 15 10 λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι καὶ τὰς
FGrH 715/fr. 17 2 ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται. πόλεων δὲ καὶ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος· ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι,
3 ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ ἂν ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιμπλᾶσι τοῦ ὕδατος τὰ πεδία.
4 ὅσαι δὲ ἐν ὑπερδεξίοις τε καὶ μετεώροις τόποισι καὶ τούτοισι ψιλοῖσιν ᾠκισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου
FGrH 715/fr. 18a 5 τε καὶ πηλοῦ ποιέεσθαι. μεγίστην δὲ πόλιν Ἰνδοῖσιν εἶναι ⟨τὴν⟩ Παλίμβοθρα καλεομένην, ἐν τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ

---

8 sqq. cf. Ind. 5, 4—8 11—p. 19, 16 = Megasth. fr. 26
23—p. 19, 11 cf. Megasth. fr. 25 (Strab. XV 1, 36, p. 702)
24 *Παλίμβοθρα*] cf. Smith[4] p. 127 sqq.; Stein p. 28 sqq.

---

3 ⟨τὴν⟩ γῆν Herch. 7 [πάντων] del. Herch. 14 καὶ om. Herch. cum k 15 ἀτρεκέως Herch. 16 ante ἀλλὰ γὰρ lacunam suspicatur Herch. 17 ἂν Herch. εἶναι A; an εἶναι ⟨ἂν⟩ coll. l. 15? 22 τούτοισι ψιλοῖσιν Herch. τούτοισιν ὑψηλοῖσιν A ταύτας k Ven. ταῦτα A 24 ⟨τὴν⟩ add. Herch. 24 Πρασίων Salmasius (cf. Gron. p. 323) γρασίων A 25 Ἐραννοβόα] cf. ad p. 6, 10

τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν·
ὁ δὲ Ἐραννοβόας τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποτα-
μῶν, μέζων δὲ τῶν ἄλλῃ καὶ οὗτος, ἀλλὰ ξυγχωρέει
αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ.
καὶ λέγει Μεγασθένης μῆκος μὲν ἐπέχειν τὴν πόλιν 6
καθ' ἑκατέρην τὴν πλευρήν, ἵναπερ μακροτάτη αὐτὴ
ἑωυτῆς ᾤκισται, ἐς ὀγδοήκοντα σταδίους, τὸ δὲ πλάτος
ἐς πεντεκαίδεκα. τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλει τὸ 7
εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πήχεων· πύρ-
γους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἔχειν τὸ τεῖχος
καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. εἶναι δὲ καὶ τόδε 8 FGrH 715/fr. 16
μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους,
οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. τοῦτο μὲν Λακεδαιμονίοι- 9
σιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. Λακεδαιμονίοις μέν
γε οἱ εἵλωτες δοῦλοί εἰσιν καὶ τὰ δούλων ἐργάζονται,
Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτι γε Ἰνδῶν τις.

νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γένεα. 11 FGrH 715/fr. 19
ἓν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν
ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι· οὔτε γάρ τι τῷ 2
σώματι ἐργάζεσθαι ἀναγκαίη σφιν προσκέαται οὔτε τι

11 sqq. cf. Diod. II 39, 5 (e Megasth.); Megasth. fr. 27, 5 et Onesicr. fr. 20 (Strab. XV 1, 54 i. f., p. 710); Lassen II² p. 718; Thom. I p. 481 sq.; Stein p. 109 sqq. 17—p. 23, 13 = Megasth. fr. 35, cf. Diod. II 40. 41 (e Megasth).; Megasth. fr. 36 (Strab. XV 1, 39—41, p. 703 sq., 46—49, p. 707); Plin. N. H. VI 66; Lassen II² p. 715 sqq.; Bevan, in Cambr. Hist. of Ind. I p. 409 sqq.; Thom., l. l. p. 477; Stein p. 119 sqq. 18 sqq. cf. Megasth. fr. 40 (Strab. XV 1, 58—60, p. 711 sqq.) et 41 (Clem. Alexandr., Stromat. I, cap. XV 72, 5); Lassen II² p. 706—715; Stein p. 278 sqq.

2 Ἰνδικῶν Herch., v. ad p. 8, 18 8 τὸ ⟨μὲν⟩ εὖρος Herch. 9 τριήκοντα BFHL τριάκοντα A² 10 ἔχειν Herch. ἐπέχειν A 14 μέν⟨τοι⟩ γε Reiske 15 δοῦλοι[β] εἰσιν[γ] οἱ εἵλωτες[α] (numeris eadem manu superscriptis) A 17 γένεα Herch. γενεὰς A 18 ἓν Herch. ἐν A 19 δόξῃ Ven. δόξα A γεραρώτατοι k Vulc. γεραρώτατον A 20 προσκέεται Dübn, sed cf. Smyth, Ionic p. 592

*ἀποφέρειν ἀφ' ὅτων πονέουσιν ἐς τὸ κοινόν. οὐδέ τι
ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖς σοφιστῇσιν, ὅτι μὴ
θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ ⟨τῶν⟩*
3 *Ἰνδῶν· καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυ-
σίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως*
4 *κεχαρισμένα τοῖς θεοῖς θύσαντας. εἰσὶ δὲ καὶ μαντικῆς
οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαν-*
5 *τεύεσθαι ὅτι μὴ σοφιστῇ ἀνδρί. μαντεύονται δὲ ὅσα
ὑπὲρ τῶν ὡρέων τοῦ ἔτεος καὶ εἴ τις ἐς τὸ κοινὸν συμ-
φορὴ καταλαμβάνει· τὰ ἴδια ⟨δὲ⟩ ἑκάστοισιν οὔ σφιν
μέλει μαντεύεσθαι, ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς
ἐς τὰ μικρότερα ἢ ὡς οὐκ ἄξιον ⟨ὂν⟩ ἐπὶ τούτοισι πο-*
6 *νέεσθαι. ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτῳ
δὲ ἄλλο μὲν κακὸν γίνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπά-
ναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν
ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ κατακέκριται.*
7 *οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος
ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος, ἐπὴν ὁ ἥλιος κατ-*
FGrH 133/fr. 6 *ἔχῃ, ἐν τοῖς λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι
μεγάλοισιν, ὧν τὴν σκιὴν* Νέαρχος *λέγει ἐς πέντε πλέ-*

□ 19 — p. 21, 3 = Nearch. fr. 11, cf. Onesicr. fr. 15, Aristob. fr. 30 (Strab. XV 1, 21, p. 694); significatur ficus Indica, cf. Lassen I^2 p. 301 sqq., II^2 p. 683; Bretzl p. 158 sqq.

---

1 *ὅτων* Müll. ex af *ὅτω* A *ὅτου* Vulc. 2 *ἀναγκαίης* Herch., cf. Herod. I 112; II 22. 35 *ἐπεῖναι*] *ἐπεῖται* Herch. 3 ⟨*τῶν*⟩ add. Vulc. 4 *καὶ* del. Herch., sed vocem particulis *καὶ* et *δὲ* cinctam habes e. g. Tact. 19, 6; Ac. 5; Cyn. 5, 2 in.; 31, 1 in.
□ 6 *θύσαντι* Herch. *θύσαντα* Cast. 8 *σοφιστῇ* Herch. *σοφῷ* A *μαντεύονται* Reiske Herch. *μαντεύουσι* A *ὅσα* del. Herch.; *ὅσα*, *ὅσον* interdum = paulum: Ind. 29, 15; tantummodo: Anab. I 27, 7, Ind. 28, 8, Peripl. 3, 1; circiter: Ind. 21, 11; Peripl. 7, 2; *ὅσοι* = pauci: Anab. I 5, 9 9 *ὡρέων* Schmied. ex k *ὡραίων* A, cf. Diod. II 40, 2 *ἐς* del. Herch. 10 *καταλαμβάνοι* Herch. ⟨*δὲ*⟩ post *ἴδια* add. Vulc., post *τὰ* add. Ven. 11 *μαντεύεσθαι* ⟨*ἢ*⟩ Vulc. 12 ⟨*ὂν*⟩ addidi, ⟨*ἐὸν*⟩ add. Herch.
13 *τρὶς* Reiske Dübn. *τρεῖς* A 16 *ἡ* del. Herch. 18 *ἐπεὰν*

θρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώ-
πους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα
τὰ δένδρεα. σιτέονται δὲ ⟨τὰ⟩ ὡραῖα καὶ τὸν φλοιὸν 8
τῶν δένδρων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον
οὐ μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων.

δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν, οὗτοι πλή- 9
θει πλεῖστοι Ἰνδῶν ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα
ἐστὶν ἀρήια οὔτε μέλει τὰ πολεμήια ἔργα, ἀλλὰ τὴν
χώρην οὗτοι ἐργάζονται, καὶ τοὺς φόρους τοῖς τε βασι-
λεῦσι καὶ τῇσι πόλεσιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέ-
ρουσι. καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσι τύχοι, 10
τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφιν ἅπτεσθαι οὐδὲ
αὐτὴν τὴν γῆν τέμνειν, ἀλλὰ οἳ μὲν πολεμοῦσι καὶ κα-
τακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν, οἳ δὲ πλησίον
αὐτῶν κατ' ἡσυχίαν ἀροῦσιν ἢ τρυγῶσιν ἢ κλαδῶσιν ἢ
θερίζουσιν.

τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε 11
καὶ βουκόλοι. καὶ οὗτοι οὔτε κατὰ πόληας οὔτε ἐν τῇσι □
κώμῃσιν οἰκέουσι νομάδες τέ εἰσι καὶ ἀνὰ τὰ ὄρεα βιο-
τεύουσι. φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι,
καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ
ἄγρια θηρία.

τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν 12

6—16 cf. Stein p. 124 sqq. 9 τοὺς φόρους] cf. Stein p. 93 sqq. 10 αὐτόνομοι] cf. Stein p. 224 sqq. 17—22 cf. Stein p. 129 sq. 20. p. 22, 1 φόρον] v. ad l. 9 23—p. 22, 6 cf. Stein p. 137 sqq.

Herch. „*ita enim Arrianus constanter in hoc libello neque* ἐπήν *ascivit in libellis quos Attica dialecto scripsit*"

8 ⟨τὰ⟩ add. Herch. 8 τὰ del. Herch. πολεμήια Nauck Philol. V p. 553 coll. Iliad. II 338 πολέμια A, cf. Roos dial. p. 31 14 τύχοι Herch. 15 ἡσυχίαν A, spiritum corr. Dübn. aut κλαδῶσιν (a κλαδᾶν) aut κλαδεύουσιν: Reiske κλαδοῦσιν A, cf. Roos dial. p. 42 adn. 1 17 οἱ ante ποιμένες del. Cast. 18 καὶ ⟨οἱ⟩ βουκόλοι Herch. 18 πόληας] v. ad p. 13, 8 19 τε] δὲ Herch. 20 καὶ del. Herch.

γένος. καὶ οὗτοι λειτουργοί εἰσι καὶ φόρον ἀποφέρου-
σιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ
ἀρήια ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοι-
νοῦ προσλαμβάνουσιν. ἐν δὲ τούτῳ τῷ γένει οἵ τε ναυ-
πηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς ποταμοὺς
πλώουσι.

12 πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί,
πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ
ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον. καὶ οὗτοι ἀσ-
3 κηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσίν· τὰ δὲ ὅπλα
ἄλλοι αὐτοῖς ποιέουσι καὶ ἵππους ἄλλοι παρέχουσι καὶ
διακονοῦσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἳ τούς τε ἵππους
αὐτοῖς θεραπεύουσι καὶ τὰ ὅπλα ἐκκαθαίρουσι καὶ τοὺς
ἐλέφαντας ἄγουσι καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιο-
4 χεύουσιν. αὐτοὶ δέ, ἔστ' ἂν μὲν πολεμεῖν δέῃ, πολεμοῦ-
σιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται· καί σφιν μισθὸς
ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται ὡς καὶ ἄλλους τρέφειν
ἀπ' αὐτοῦ εὐμαρέως.

5 ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. οὗτοι
ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ τὰς
πόληας, καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵναπερ βα-
σιλεύονται Ἰνδοί, ἢ τοῖς τέλεσιν, ἵναπερ αὐτόνομοί εἰσι.
καὶ τούτοις οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν, οὐδέ τις
Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι.

6 ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι
ὁμοῦ τῷ βασιλεῖ ἢ κατὰ πόληας ὅσαι αὐτόνομοι σὺν
7 τῇσιν ἀρχῇσι. πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι,

7—18 cf. Stein p. 148 sqq. 19—24 cf. Stein p. 169 sqq. 22.26 *αὐτόνομοι*] v. ad p. 21, 10 25 — p. 23, 5 cf. Nearch. fr. 7 (Strab. XV 1, 66, p. 716); Lassen II² p. 709; Stein p. 175 sqq.

---

5 *ὅσοι* ⟨*γε*⟩ Herch. 9 *διαχρεόμενον* Reiske *χρεόμενον* Herch. *καὶ* (ante *οὗτοι*) del. Herch. 11 *καὶ* ⟨*τοὺς*⟩ *ἵππους* Herch. 15 *δέῃ* **FH** *δεῖ* **A²BGL** 21.26 *πόληας*] v. ad p. 13, 8 25 *τοῦ κοινοῦ* Herch., sed cf. Diod. II 41, 4

σοφίῃ δὲ καὶ δικαιότητι ‹ἐκ› πάντων προκεκριμένον.
ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νο-
μάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρα-
τοφύλακες, ναύαρχοί τε καὶ ταμίαι καὶ τῶν κατὰ γεωρ-
γίην ἔργων ἐπιστάται.

γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι 8
γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ ἢ ἔμπαλιν. οὐδὲ δύο
τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν οὐδὲ τοῦτο θέμις, οὐδὲ
ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ
νομέως γενέσθαι ἢ νομέα ἐκ δημιουργικοῦ. μοῦνόν 9
σφισιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι, ὅτι
οὐ μαλθακὰ τοῖσι σοφιστῇσίν εἰσι τὰ πρήγματα ἀλλὰ
πάντων ταλαιπωρότατα.

θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία κατάπερ 13 FGrH 715/fr. 20
καὶ Ἕλληνες, ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρα οὐδέν τι
ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι
θηρίοις ἐπέοικεν. ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον 2
καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον
μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. τῆς δὲ τάφρου τὸ
εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας.
τὸν δὲ χοῦν ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ 3
τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες ἀντὶ τεί-
χεος διαχρέονται, αὐτοὶ δὲ ὑπὸ τῷ χώματι τῷ ἐπὶ τοῦ 4 □
χείλεος τοῦ ἔξω τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς ποιέον-

6—18 cf. Stein p. 221 sqq. 10 sq. cf. Lassen II[2] p. 715 adn. 2 14—p. 27, 2 = Megasth. fr. 38, cf. fr. 37 (Strab. XV 1, 42 sq., p. 704 sq.); Nearch. fr. 16 (Strab. l. l.); Lassen I[2] p. 354—367, II[2] p. 690 sq.; Kell. Tierw. I, p. 372—383; Stein p. 47 sqq. □

1 ἐκ del. Cast. 9 ἀμείβεσθαι praetulerim, ἀμείβειν ἕτερον ἐξ ἑτέρου γένεος Herch. 10.11 γίνεσθαι Herch. 17 ἐπέοικεν] cf. Anab. IV 9, 1; VII 15, 6; Lehrs, Jahrb. f. class. Philol. 127, p. 735 (= Kl. Schriften p. 327) 19 ἐναυλίσασθαι Herch. 20 ὀργύας A ὀργυίας Vulc., accentum corr. Dübn. τε] δὲ Cast. 23 ὑπὸ scripsi ἐπὶ A; cf. p. 24, 10; Strab. XV 1, 42, p. 704 ὑποκάθηνται τῷ ἐπὶ Reiske Dübn. τοῦ ἐπὶ A

ται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται, δι' ὧν φῶς τε αὐτοῖσιν εἰσέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσε-
5 *λαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χοῦν τε καὶ πόαν πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή*
6 *τινα δόλον ὀισθῶσιν. αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ⟨ποι⟩έουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες, οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκουμένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν*
7 *ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. ἐπεὰν ὦν τῷ ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῇ ὀδμῇ αἰσθόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσιν, κατὰ ταύτην ἐς*
8 *τὸ ἕρκος ὠθέονται. οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἳ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἳ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκει*
9 *ἔχονται· οἳ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ [τῶν] χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ' ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ δίψει*

---

2 *αὐτοῖσιν εἰσέρχεται* (nisi quod *ἐσέρχ.*) Herch., et ita voluit librarius codicis A, qui scripsit *αὐτοῖσσυνείσέρχεται*, sed m. pr. *υ* in *ι* correxit, *αὐτοῖς συνεισέρχεται* vulg. 6 *ὑπολιμπάνουσι* Herch. 9 *ὀισθῶσιν*] cf. Odyss. IV 453 10 *ποιέουσι* Cast. *ἐοῦσι* A *ἔχουσι* Raph. *ὑπὸ*] *ἐπὶ* Schmied. 14 *ουν* (sic), m. pr. superscripto *ὠν*, A 16 *τῆς ὀδμῆς* Herch. 24 *τὸν θυμὸν* del. Herch. [*τῶν*] del. Herch.

δουλωθῆναι. εὖτ' ἂν δέ σφισι κακῶς ἔχειν δοκέωσι, 10
τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί
τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρα-
τερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλω-
κότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι
ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρούμενοι. οἳ δὲ 11
ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖ-
σιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν, ἔπειτα
ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγαῖς σφᾶς κολάζειν
πολλαῖς, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέ-
σωσι. παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι
κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι.
τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτά- 12
σθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ
μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν
τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ
τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. εἰ γὰρ περιστρέφοιντο 13
ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ.
οὕτω μὲν ὦν ἀτρέμα ἴσχουσι καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη
ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων. ὅσοι δὲ 14
νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τού-
τους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. ἀγ⟨αγ⟩όν- 2
τες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ καλά-
μου καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν, οἳ δὲ ὑπὸ 3
ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιι-
στάμενοι οἱ Ἰνδοὶ ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ κυμβά-
λοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες κατευνά-
ζουσι. θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας, 4

22—28 cf. Ael. De nat. anim. XII 44

---

3 ἐς] ἐπὶ Herch., cf. Grundm. p. 82 κατίσταται Herch.; cf. Iliad. XIII 333, XVIII 172 3. 4 κρατερὴ A²BGL καρτερὰ FH 7. 8 τοῖσιν ἀγρίοισι Dübn. τοῖς τ' ἀγρίοισι A 19 ὦν Dübn. ἂν (s. acc.) A 20 κατὰ τὸν δεσμὸν del. Herch. 22. 23 ἀγαγόντες Cast. ἄγοντες A 28 θυμόσοφον] adiectivum neutrius

*καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ
ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἳ δὲ
καὶ ὑπερήσπισαν κειμένους, οἳ δὲ καὶ πεσόντων προε-
κινδύνευσαν, ὃ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμ-*
5 *βάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. εἶδον
δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους
ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν
σκελοῖν τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ*
6 *προβοσκίδι καλεομένῃ ἄλλου κυμβάλου· ὃ δὲ ἐν μέρει
τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκα-
τέροιν τοῖν σκελοῖν, οἳ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχό-
ρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπρο-
σθεν σκέλεα ἐν τῷ μέρει ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον,*
7 *καθότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο. βαίνεται δὲ
ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι
θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖ-
σαι ἐκπνέωσιν. κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα
μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει δὲ ἕν,
κατάπερ ἵππος, καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος*
8 *ὄγδοον. ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς
διηκόσια, πολλοὶ δὲ νόσῳ προτελευτῶσιν αὐτῶν· γήρᾳ*
9 *δὲ ἐς τόσον ἔρχονται. καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλ-
μῶν ἴαμα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας
νόσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι*

---

2 sq. cf. Ael. l. l. III 46 14 sqq cf. Diod. II 42, 1. 2 (e Megasth.) 20 sqq. cf. Onesicr. fr. 21 (Strab. XV 1, 43, p. 705) 22—p. 27, 2 cf. Ael. De nat. anim. XIII 7

---

generis praedicative positum iuxta subiectum masculini vel feminini generis etiam Ind. 15, 1; Tact. 3, 4; 27, 5; 29. 9; Cyn. 7, 3; 28, 2

7. 8 *τοῖν σκελοῖν* Ven. *τοῖς σκελοῖν* A 8 *τοῖν ἔμπροσθεν* Gron *τοῖσιν ἔμπροσθεν* A 9 *ἄλλου κυμβάλου* scripsi *ἄλλο κύμβαλον* A 10. 11 *ἑκάτερον* Reiske, cf. Xen. Anab. III 2, 36

τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπλασσόμενα· ταῦτα παρ'
Ἰνδοῖσίν ἐστιν αὐτοῖσι ἰάματα.
τοῦ δὲ ἐλέφαντος τὴν τίγριν πολλόν τι ἀλκιμωτέρην 15 FGrH 133/fr. 7
Ἰνδοὶ ἄγουσι. τίγριος δὲ δορὴν μὲν ἰδεῖν λέγει Νέαρ-
χος, αὐτὴν δὲ τίγριν οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ
ἀπηγέεσθαι, τίγριν εἶναι μέγεθος μὲν ἡλίκον τὸν μέγι-
στον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ ἄλλῳ
εἰκάσαι· τίγριν γὰρ ἐπεὰν ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπιπη- 2
δᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν
εὐπετέως. ταύτας δέ, ἅστινας καὶ ἡμεῖς ὁρέομεν καὶ 3
τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἤπερ
τοὺς ἄλλους θῶας. ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει 4
Νέαρχος μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁποῖον δή τινα FGrH
μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ, δορὰς 133/fr. 8
δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακο-
μισθείσας τὸ Μακεδονικόν. Μεγασθένης δὲ καὶ ἀτρε- 5 □
κέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει τού- FGrH 715/fr. 23 □
τους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ
χρυσοῦ ἕνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν,
ἵνα φωλεύσαιεν, κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες □

4—16 = Nearch. fr. 12; cf. Megasth. fr. 10 (Strab. XV 1, 37, p. 703); Lassen II² p. 688; Kell., Tiere p. 129 sqq., p. 380 sqq., Tierwelt I p. 61 sqq. 13 cf. Nearch. apud Strab. XV 1, 44 in., p. 705 14 μετεξέτεροι] Herod. III 102—105; cf. Schwanb. p. 71 sqq.; Lassen I² p. 1021 sq.; Kell., Tierw. I p. 184; Reese p. 69 adn. 4 16—p. 28, 4 = Megasth. fr. 39, cf. Strab. XV 1, 44, p. 706; Dio Chrysost., orat. 35, 23 sq. □

---

1 καταπλάσσομενα Bernardus in Demetrii Pepagomeni librum de podagra p. 87, M. Haupt, Herm. VII p. 297 (= Opusc. III p. 594) καταπασσόμενα A 3 τὴν Herch. τὸν A 3. 5. 6 τίγριν Vulc. τίγρην A, sed vs. 8 τίγριν A, cf. Roos dial. p. 36 sq. 3 ἀλκιμωτέραν Herch ; v. ad p. 25, 28 4 τίγριος Vulc. τίγρηος A 6 ἀπηγέεσθαι Vulc. ὑπηγέεσθαι A 10 ταύτας Schmied. ex k ταῦτα A 11 τίγριας an τίγρηας incertum in A 19 φύσι Geier σφίσι A 20 φωλεύσαιεν scripsi φωλεύσοιεν A¹BGL φωλεύοιεν Schmied. ex k φωλεύωσι Herch.; optativum

6 ὀλίγον τῆς γῆς ὀρύσσουσιν. ἐκείνους δέ — εἶναι γὰρ
ἀλωπεκέων μέζονας — πρὸς λόγον τοῦ μεγέθεος σφῶν
καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ
7 ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. ἀλλὰ Μεγα-
σθένης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι οὐδὲν τούτου
ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ
8 τῶν μυρμήκων λόγον. σιττακοὺς δὲ Νέαρχος μὲν ὡς
FGrH 133/fr. 9 δή τι θαῦμα ἀπηγέεται ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ,
καὶ ὁποῖος ὄρνις ἐστὶν ὁ σιττακός, καὶ ὅπως φωνὴν ἵει
9 ἀνθρωπίνην. ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ
ἄλλους ἐπισταμένους ᾔδεα τὸν ὄρνιθα, οὐδὲν ὡς ⟨ὑπὲρ⟩
ἀτόπου δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων
τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ' Ἰνδοῖς πίθηκοί εἰσιν,
οὐδὲ ὅπως θηρῶνται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρῶ,
10 πλήν γε δὴ ὅτι καλοί που πίθηκοί εἰσιν. καὶ ὄφιας δὲ
FGrH 133/fr. 10 λέγει Νέαρχος θηρευθῆναι αἰόλους μὲν καὶ ταχέας,
μέγαθος δέ, ὃν μὲν λέγει ἑλεῖν Πείθωνα τὸν Ἀντιγέ-
νεος, πήχεων ὡς ἑκκαίδεκα. αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ
μείζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφεας.
11 ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο

7—10 = Nearch. fr. 13, cf. Kell., Tierw. II p. 45—49 12—15 cf. Ctes. Ind. 3, p. 80 M.; Megasth. fr. 10 (Strab. XV 1, 37, p. 703) et fr. 11 (Ael., De nat. animal. XVII 39; XVI 10); Clitarch. fr. 16 (Ael. l. l. XVII 25; Strab. XV 1, 29, p. 699; Diod. XVII 90, 1—3); Kell., Tierw. I p. 9 15—p. 29, 11 = Nearch. fr. 14, cf. fr. 15 (Strab. XV 1, 45, p. 706); Onesicr. fr. 7 (Strab. XV 1, 28, p. 698; Ael. l. l. XVI 39); Aristob. fr. 32 (Strab. XV 1, 45, p. 706); Clitarch. fr. 15 (Aelian. l. l. XVII 2); Kell., Tierw. II p. 292

---

in enuntiato finali vel in enuntiato a verbo timendi pendente post tempus primarium vide etiam Anab. II 17, 2; VII 9, 9; 27, 3; Cyn. 8, 2; 12, 5; Ac. 23. 30

2 ἀλωπεκέων] cf. Roos dial. p. 36 11 ἐπισταμένους Gron. ex k πεταμένους A ᾔδεα Herch., Herm. II p. 190 ειδεα (sine spir. et acc.) A οἶδα Gron. ex k 11. 12 ⟨ὑπὲρ⟩ add. Reiske Herch.; ἄτοπον (pro ἀτόπου) Cast. 16 ταχέας] παχέας Herch. 17 Πείθωνα Dübn. πύθωνα A; cf. Berve II p. 311 n. 620

ὅστις ὑπὸ ὄφεως δηχθείη Ἰνδικοῦ· ἀλλ' αὐτοὶ γὰρ οἱ
Ἰνδοὶ ἰῶντο τοὺς πληγέντας. καὶ ἐπὶ τῷδε Νέαρχος λέγει FGrH 133/fr. 10a
⟨ὅτι⟩ συλλελεγμένους ἀμφ' αὑτὸν εἶχεν Ἀλέξανδρος
Ἰνδῶν ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ κεκήρυκτο ἀνὰ τὸ
στρατόπεδον, ὅστις δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν
βασιλέως. οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε 12
καὶ παθέων ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα
γίνεται, ὅτι αἱ ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι
μεῖζον καταλαμβάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο·
καὶ ἐκεῖνοι οὐκ ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ τι περ
ἰήσιμον.

ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέ- 16 FGrH 133/fr. 11
αρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτων μοι
ἤδη λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν
χροιήν ἐστιν ἄλλου λίνου παντός, ἢ μέλανες αὐτοὶ ἐόν-
τες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. ἔστι δὲ 2
κιθὼν λίνεος αὐτοῖς ἔστε ἐπὶ μέσην τὴν κνήμην, εἷμα
δὲ τὸ μὲν περὶ τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ δὲ περὶ
τῇσι κεφαλῇσιν εἱλιγμένον. καὶ ἐνώτια Ἰνδοὶ φορέου- 3
σιν ἐλέφαντος ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες
Ἰνδοὶ φορέουσι. τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι 4 FGrH 133/fr. 11
βάπτονται Ἰνδοί, χροιὴν δὲ ἄλλην καὶ ἄλλην ⟨βάπτον-

12—16 = Nearch. fr. 9, cf. fr. 8 (Strab. XV 1, 20, p. 693); Megasth. fr. 27, 4 (Strab. XV 1, 54, p. 709) 13 cf. Onesicr. fr. 22a (Servius ad Aen. I 653); Aristob. fr. 30 (Strab. XV 1, 21 i. f., p. 694); Theophr., Hist. Plant. IV 4, 8; 7, 7; Lassen I² p. 295—298; Bretzl p. 136—139 14 λέλεκται] nondum de his arboribus egit Arrianus; fefellit eum memoria, nisi gossypium arboreum, de quo hic auctore Nearcho agit, confudit cum fico Indica, de qua eodem auctore egit cap. 11, 7 21—p. 30, 4 = Nearch. fr. 10, cf. Onesicr. fr. 18 (Strab. XV 1, 30, p. 699); Lassen II² p. 729

---

3 ⟨ὅτι⟩ add. Reiske Herch. αὑτὸν scripsi αὐτὸν A ἑωυτὸν Herch. 6 βασιλέως Ven. βασιλ̓ A βασιλέος Dübn., cf. Roos dial. p. 37 12 ἐσθῆτι Ven. ἱεσθῆτι A 17 λίνεος Vulc. λιναῖος A 21 εἰνδοὶ A, corr. Ven. 22 δὲ] δὴ Dübn., del. Herch., ego ⟨βάπτονται⟩ addidi

ται⟩, οἳ μὲν ὡς λευκοὺς φαίνεσθαι οἵους λευκοτάτους, οἳ δὲ κυανέους, τοῖς δὲ φοινικέους εἶναι, τοῖς δὲ καὶ
5 *πορφυρέους, ἄλλοις πρασοειδέας· καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι οὐκ ἠμελημένοι Ἰνδῶν. ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περιττῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ μέζονας φαίνεσθαι.*
6 *ὁπλίσιος δὲ τῆς Ἰνδῶν οὐκ ὡυτὸς εἷς τρόπος ἀλλ' οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσι, ἰσόμηκες τῷ φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι,*
7 *τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες· ὁ γὰρ ὀιστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς οὔτε*
8 *θώρηξ οὔτε ⟨εἴ⟩ τι ⟨τὸ κάρτα⟩ καρτερὸν ἐγένετο. ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόιναι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν*
9 *ἀποδέουσαι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. μάχαιραν δὲ πάντες φορέουσι, πλατείην δὲ καὶ τὸ μῆκος οὐ μείω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ αὐτοῖσιν ἡ μάχη — τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίνεται — ἀμφοῖν τοῖν χεροῖν καταφέρουσιν ἐς*
10 *τὴν πληγήν, τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. οἱ δὲ ἱππέες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, οἷα τὰ σαύνια ἀκόντια, καὶ πέλτην [τὴν] μικροτέρην τῶν πεζῶν. οἱ*

---

8 — p. 31, 11 cf. Nearch. fr. 7 (Strab. XV 1, 66, p. 717)

---

2 *τοῖς* (prius) scripsi *τοὺς* A *τοῖσι* Herch. 3 *πορφυρέους* Vulc. e cod. Stephani *πυρφορέους* A *ἄλλοις ⟨δὲ⟩* Herch. 8 *ὡυτὸς* Herch. *ὠϋτὸς* A 11 *ἐπιβάντες οὕτω ⟨δὴ⟩* Cast. 15 *⟨εἴ⟩* add. Ven. *⟨τὸ κάρτα⟩* addidi *καρτερώτερον* pro *καρτερὸν* Herch. 19 *πλατείην τε* Reiske *μείω* Reiske (qui aut hoc legendum aut *οὐ* delendum censuit) et Eberh. *μέζω* A 23 *καρτερ⟨ωτέρ⟩ην* Cast. *γίνεσθαι* Eberh. 24 *σαύνια* Casaub. ad Strab. ed. a. 1620, comment. p. 250 D *δαύνια* A 25 *[τὴν]* del. Reiske (Schmied. ex k)

δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐδὲ χαλινοῦνται
τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμ-
φερέως, ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ 11
ἔχουσι δέρμα ὠμοβόινον ῥαπτὸν περιηρτημένον, καὶ ἐν
τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω
ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα
ἐστίν. ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχου-
σιν, οἷόν περ ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν
οἱ ῥυτῆρες· ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς 12
κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτη-
μένα, κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.
τὰ δὲ σώματα ἰσχνοί τέ εἰσιν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ 17
κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. ὀχή-
ματα δὲ τοῖς μὲν πολλοῖς Ἰνδῶν κάμηλοί εἰσιν καὶ ἵπποι
καὶ ὄνοι, τοῖς δὲ εὐδαίμοσιν ἐλέφαντες. βασιλικὸν γὰρ 2
ὄχημα ἐλέφας παρ' Ἰνδοῖς ἐστι, δεύτερον δὲ τιμῇ ἐπὶ
τούτῳ τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι. τὸ δὲ ἐφ'
ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον. αἱ γυναῖκες δὲ αὐτοῖσιν, 3
ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι
διαμάρτοιεν, ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῷ
δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι τὸ ἐπὶ ἐλέφαντι μι-
γῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξὶν ἀξίην τὸ
κάλλος φανῆναι ἐλέφαντος. γαμέουσι δὲ οὔτε τι διδόντες 4
οὔτε λαμβάνοντες, ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας
οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς καθιστᾶσιν ἐκλέ-
ξασθαι τῷ νικήσαντι πάλην ἢ πὺξ ἢ δρόμον ἢ κατ'
ἄλλην τινὰ ἀνδρείαν προκριθέντι. σιτοφάγοι δὲ καὶ 5

15—23 cf. Nearch. fr. 16 (Strab. XV 1, 43 i. f., p. 705); Stein p. 58 sqq. 23—27 cf. Nearch. fr. 7 (Strab. XV 1, 66, p. 717); Stein p. 64 sqq.



3 *τοῦ ἵππου* del. Herch. 10. 11 *ἠρτημένα* k Ven. *ἀρτημένα* A 16 ⟨*ὁ*⟩ *ἐλέφας* Ven. 27 *ἀνδρείαν* scripsi *ἀνδρίαν* A *ἀνδρηίην* Herch., cf. Roos dial. p. 31

ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι
δὲ τὰ θήρεια κρέα σιτέονται.
6 ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνω-
ριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε,
7 ἀνεγραψάτην, ἐπεὶ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς συγ-
γραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ
παρεκομίσθη Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος·
ταῦτα δὲ ἐκβολή μοι ἔστω τοῦ λόγου.
18 Ἀλέξανδρος γάρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτι-
κὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι
τε Φοινίκων καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν
τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπη-
ρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος ὅσοι τῶν θα-
2 λασσίων ἔργων δαήμονες. ἦσαν δὲ καὶ νησιῶται ἄνδρες
οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ οἷς ταῦτα ἔμελε, καὶ Ἴωνες
3 καὶ Ἑλλησπόντιοι. τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν ἐκ
Μακεδόνων μὲν Ἡφαιστίων τε Ἀμύντορος καὶ Λεόννατος
ὁ Εὔνου καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους καὶ Ἀσκληπιό-
δωρος ὁ Τιμάνδρου καὶ Ἄρχων ὁ Κλεινίου καὶ Δημό-
νικος ὁ Ἀθηναίου καὶ Ἀρχίας ὁ Ἀναξιδότου καὶ Ὀφέλλας
Σειληνοῦ καὶ Τιμάνθης Παντιάδου. οὗτοι μὲν Πελ-
4 λαῖοι· ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· [ἐκ Κρήτης] Νέαρ-
χος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παράπλῳ ἀνέγραψε, καὶ
Λαομέδων Λαρίχου, καὶ Ἀνδροσθένης Καλλιστράτου·
5 ἐκ δὲ Ὀρεστίδος Κράτερός τε ὁ Ἀλεξάνδρου καὶ Περ-

9 sq. cf. Anab. VI 1, 1 10 sq. cf. Anab. VI 1, 6 i. f.

7 ἀνεκομίσθη Reiske περιεκομίσθη Herch. 16 αὐτοῖσιν Herch. coll. p. 34, 2 17 ⟨ὁ⟩ Ἀμύντορος Herch., qui praeterea ubicunque in hoc capite nomen patris casu genitivo cum filii nomine iunctum est, articulum ὁ addidit 18 ὁ Εὔνου] ὁ Ἀντέου Blanc. (v. ad Anab. III 5, 5) ὁ ⟨... καὶ Ἀσκληπιόδωρος ὁ⟩ Εὐν⟨ίκ⟩ου Jac. (litt.); cf. Berve II p. 88 n. 167 20 Ὀφέλας Herch.; cf. Hoffm. p. 199 22 [ἐκ Κρήτης] del. Schmied. coll. p. 34, 3 sq. 24 Λαομέδων Schmied. λαμπεδων (sine acc.) A; cf. Hoffm. p. 118 adn. 2; Berve II p. 231 n. 464 25 δὲ ⟨τῆς⟩ Herch.

*δίκκας ὁ Ὀρόντεω· Ἐορδαῖοι δὲ Πτολεμαῖός τε ὁ Λάγου
καὶ Ἀριστόνους ὁ Πεισαίου. ἐκ Πύδνης δὲ Μήτρων τε ὁ
Ἐπιχάρμου καὶ Νικαρχίδης ὁ Σίμου. ἐπὶ δὲ Ἄτταλός τε* 6
*ὁ Ἀνδρομένεος Τυμφαῖος καὶ Πευκέστας Ἀλεξάνδρου
Μιεζεὺς καὶ Πείθων Κρατεύα Ἀλκομενεὺς καὶ Λεόν-
νατος Ἀντιπάτρου Αἰγαῖος καὶ Πάνταυχος Νικολάου
Ἀλωρίτης καὶ Μυλλέας Ζωΐλου Βεροιαῖος. οὗτοι μὲν οἱ
σύμπαντες Μακεδόνες· Ἑλλήνων δὲ Μήδιος μὲν Ὀξυ-* 7
*θέμιδος Λαρισαῖος, Εὐμένης δὲ Ἱερωνύμου ἐκ Καρδίης,
Κριτόβουλος δὲ Πλάτωνος Κῷος, καὶ Θόας Μηνοδώρου
καὶ Μαίανδρος Μανδρογένεος Μάγνητες, Ἄνδρων δὲ* 8
*Καβήλεω Τήιος. Κυπρίων δὲ Νικοκλέης Πασικράτεος
Σόλιος καὶ Νιθάφων Πνυταγόρεω Σαλαμίνιος. ἦν δὲ
δὴ καὶ Πέρσης αὐτῷ τριήραρχος, Βαγώας ὁ Φαρνούχεος.
τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν Ὀνησί-* 9

---

1 *Ὀρόντεω* Herch. *ὀρώντεω* A; cf. Hoffm. p. 153 *δὲ* Herch. *τε* A 2 *Πεισαίου* Blanc. coll. Anab. VI 28, 4 *νεισαίου* A; cf. Hoffm. p. 136 i. f. *δὲ* Herch. *τε* A 4 *Ἀνδρομένεος Τυμφαῖος* Herch. *ἀνδρομενέω στυμφαῖος* A; cf. Roos dial. p. 37 i. f. 5 *Μιεζεὺς* Blanc. *μιοζεος* (sine acc.) A *Μιεζαῖος* Palm. p. 240; cf. Steph. Byz. s. v. *Μίεζα· τὸ ἐθνικὸν Μιεζεὺς καὶ Μιεζαῖος* *Ἀλκομενεὺς* Blanc. *ἀλκομένεος* A *Ἀλαλκομενεὺς* Palm. l. l.; cf. *Ἀλαλκομεναί (ἐπὶ τῷ Ἐρίγωνι, Δευριόπων πόλις)* Strab. VII 7, 9, p. 327 (bis), sed *Ἀλκομεναί (τῆς Ἰλλυρίας πόλις, ὁ πολίτης Ἀλκομενεύς)* Steph. Byz. s. v. 7 *Ἀλωρίτης* Blanc. et Palm. l. l. *ἀλαρίτης* A *Μυλλέας*] fortasse *Μυλλένας* scribendum esse monet Wilhelm, Wiener Studien 34, 1912, p. 427; cf. Hoffm. p. 198 sq. *Βεροιαῖος* Blanc. *βεροιέως* A 8. 9 *Ὀξυθέμιδος* Herch. *ὀξυνθέμιδος* A; cf. Dittenberger, Syll. I[3] n. 343
9 *Λαρισαῖος* Müll. ex Ra *δαρεισαῖος* A *Λαρισσαῖος* iam Blanc.
10 *Μηνοδώρου*] *Μανδροδώρου* Anab. VI 23, 2; cf. Berve II p. 181 adn. 1 11. 12 *δὲ Καβήλεω* Bas. *δεκαβήλεω* A; cf. *Ἄγγωνι Καβάλλα Τηΐῳ* in inscriptione Ephesi reperta, Jahresh. d. österr. arch. Inst. 16, 1913, p. 236. 242; de nominibus propriis a litteris *κα* incipientibus cf. Vollgraff, Med. d. Kon. Ak. v. wet., Afd. Letterk., 61, Serie A, No. 7 (1926) 13 *Νιθάφων*] *Νικοκρέων* Müll. coll. Plut. Alex. 29; cf. Berve II p. 279 n. 568 et p. 280 n. 572 14 *Φαρνούχεος* scripsi *φαρνουχέως* A *Φαρνούχεω* Herch.; cf. Roos dial. p. 37 i. f.

κριτος Ἀστυπαλαιεύς, γραμματεὺς δὲ τοῦ στόλου παντὸς
10 Εὐαγόρας Εὐκλέωνος Κορίνθιος. ναύαρχος δὲ αὐτοῖσιν
ἐπεστάθη Νέαρχος Ἀνδροτίμου, τὸ γένος μὲν Κρὴς ὁ
11 Νέαρχος, ᾤκει δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι. ὡς
δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖς θεοῖσιν ὅσοι
τε πάτριοι ἢ μαντευτοὶ αὐτῷ καὶ Ποσειδῶνι καὶ Ἀμφι-
τρίτῃ καὶ Νηρηίσι καὶ αὐτῷ τῷ Ὠκεανῷ, καὶ τῷ Ὑδάσπῃ
ποταμῷ, ἀπ' ὅτου ὡρμᾶτο, καὶ τῷ Ἀκεσίνῃ, ἐς ὅντινα
ἐκδιδοῖ ὁ Ὑδάσπης, καὶ τῷ Ἰνδῷ, ἐς ὅντινα ἄμφω ἐκδι-
12 δοῦσιν· ἀγῶνές τε αὐτῷ μουσικοὶ καὶ γυμνικοὶ ἐποιεῦντο,
καὶ ἱερεῖα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο.
19 ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγήν, Κράτερον
μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἰέναι σὺν στρατιῇ [πεζῇ]
ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα ⟨δὲ⟩
Ἡφαιστίων αὐτῷ παρεπορεύετο σὺν ἄλλῃ στρατιῇ πλεί-
ονι ἔτι τῆς Κρατέρῳ συντεταγμένης. καὶ τοὺς ἐλέφαν-
τας Ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διακοσίους. αὐτὸς
2 δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἷ ἦγε καὶ τοὺς
τοξότας πάντας καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομέ-
3 νους, τοὺς πάντας ἐς ὀκτακισχιλίους. τοῖσι μὲν δὴ ἀμφὶ
Κράτερον καὶ Ἡφαιστίωνα ἐτέτακτο ἵνα προπορευθέντες
4 ὑπομένοιεν τὸν στόλον. Φίλιππον δέ, ὃς αὐτῷ σατράπης
τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς
5 ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ καὶ τοῦτον· ἤδη γὰρ
καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο σὺν οἷς ἀπὸ
θαλάσσης τε αὐτὸς ἀνήγαγε καὶ αὖθις οἱ ἐπὶ συλλογὴν
αὐτῷ στρατιᾶς πεμφθέντες ἧκον ἔχοντες, παντοῖα ἔθνεα

4—9 cf. Anab. VI 3, 1. 2   12—20 cf. Anab. VI 2, 2   22—24 cf. Anab. VI 2, 3

---

8 sq. τὸ γένος — Στρυμόνι del. Jac. (litt.)   8 ἀπ' ὅτου Herch. ἀπό του A   9 ἐκδιδοῖ ὁ Krüger ad Anab. VI 3, 2 ἐκδιδοίη A   13 ἐπιέναι Herch.   [πεζῇ] del. Vulc.   14 ⟨δὲ⟩ add. Ven.   15 προεπορεύετο Herch.   20 ἐς ⟨μυρίους καὶ⟩ ὀκτακισχιλίους Ansp. p. 92 adn. 289   26 συλλογῇ Herch., cf. Anab. VII 20, 7; Helb. p. 69

βαρβαρικὰ ἅμα οἱ ἄγοντι καὶ πᾶσαν ἰδέην ὡπλισμένα.
αὐτὸς δὲ ἄρας ταῖς ναυσὶ κατέπλει κατὰ τὸν Ὑδάσπεα 6
ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβο-
λάς. νῆες δὲ αἱ σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε 7
μακραὶ καὶ ὅσα στρογγύλα πλοῖα καὶ ἄλλαι ἱππαγωγοὶ
καὶ σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι. ὅπως μὲν δὴ κατὰ 8
τοὺς ποταμοὺς κατέπλευσεν αὐτῷ ὁ στόλος, καὶ ὅσα ἐν
τῷ παράπλῳ ἔθνεα κατεστρέψατο, καὶ ὅπως διὰ κινδύνου
αὐτὸς ἐν Μαλλοῖς ἦκε, καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλ-
λοῖς, καὶ Πευκέστας τε καὶ Λεόννατος ὅπως ὑπερήσπισαν
αὐτὸν πεσόντα, πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ
ἄλλῃ τῇ Ἀττικῇ ξυγγραφῇ. ὁ δὲ λόγος ὅδε τοῦ παρά- 9
πλου μοι ἀφήγησίς ἐστιν, ὃν Νέαρχος σὺν τῷ στόλῳ
παρέπλευσεν ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς
κατὰ τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον
τὸν Περσικόν, ἣν δὴ Ἐρυθρὴν θάλασσαν μετεξέτεροι
καλέουσι.

Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος. πό- 20 FGrH 133/fr. 1
θον μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν
τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν, ὀκνέειν δὲ αὐτὸν 2
τοῦ τε πλόου τὸ μῆκος καὶ μή τινι ἄρα χώρῃ ἐρήμῳ
ἐγκύρσαντες ἢ ὅρμων ἀπόρῳ ἢ οὐ ξυμμέτρως ἐχούσῃ
τῶν ὡραίων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος, καὶ οὐ
φαύλη κηλὶς αὕτη τοῖς ἔργοισιν αὐτοῦ τοῖσι μεγάλοισιν □

---

4 cf. Ptolem. fr. 19 a (Anab. VI 2, 4); Diod. XVII 95, 5; Curt. IX 3, 22; Epit. Mett. p. 107, 23 12 *ξυγγραφῇ*] Anab. VI 3—20 18—p. 37, 3 = Nearch. fr. 18

---

4 ⟨*χίλιαι καὶ*⟩ *ὀκτακόσιαι* Schmied. coll. Anab. VI 2, 4 extr. 5 *ἄλλαι ἱππαγωγοὶ* Herch. *ἄλλα ἱππαγωγὰ* A 9 *Μαλλοῖς* (bis) Ven. *μαλοῖς* A, sed *μαλλοῖς* 4, 10; v. ad Anab. V 22, 3 20 *ὀκνέειν* Vulc. *ἐκνέειν* A 22 *ἐγκύρσας* Herch. *ὅρμων* Reiske Dübn. *ὅρμῳ* A 23 *ὡρέων* Herch. coll. p. 29, 8 23—p. 36, 3 Suid. s. v. *φαύλη κηλίς· ἐδεδίει μὴ διαφθαρῇ ὁ στόλος Ἀλεξάνδρου καὶ οὐ—ἐργάζεσθαι* 24 *ἔργοις* Suid. □

ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην αὐτῷ ἀφανίσῃ· ἀλλὰ
ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην τοῦ καινόν τι αἰεὶ
3 καὶ ἄτοπον ἐργάζεσθαι. ἀπόρως δὲ ἔχειν ὅντινα οὐκ
ἀδύνατόν τε ἐς τὰ ἐπινοούμενα ἐπιλέξαιτο καὶ ἅμα τῶν
ἐν νηὶ ἀνδρῶν, ὡς καὶ [τῶν] τοιοῦτον στόλον στελλο-
μένων, ἀφελεῖν τὸ δεῖμα τοῦ δὴ ἠμελημένως αὐτοὺς ἐς
4 προὖπτον κίνδυνον ἐκπέμπεσθαι. λέγει δὴ ὁ Νέαρχος
ἑωυτῷ ξυνοῦσθαι τὸν Ἀλέξανδρον ὅντινα προχειρίσηται
ἐξηγέεσθαι τοῦ στόλου. ὡς δὲ ἄλλου καὶ ἄλλου ἐς μνή-
μην ἰόντα τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ
οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυμόν, τοὺς δὲ
ὡς πόθῳ τῆς οἰκηίης κατεχομένους, τοῖς δὲ ἄλλο καὶ
5 ἄλλο ἐπικαλέοντα, τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν ὅτι
"ὦ βασιλεῦ, ἐγώ τοι ὑποδέκομαι ἐξηγήσεσθαι τοῦ στό-
λου, καὶ εἰ τὰ ἀπὸ τοῦ θείου ξυνεπιλαμβάνοι, περιάξω
τοι σῴας τὰς νέας καὶ τοὺς ἀνθρώπους ἔστε ἐπὶ τὴν
Περσίδα γῆν, εἰ δὴ πλωτός τέ ἐστιν ὁ ταύτῃ πόντος καὶ
6 τὸ ἔργον οὐκ ἄπορον γνώμῃ ἀνθρωπηίῃ." Ἀλέξανδρον
δὲ λόγῳ μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε ταλαιπωρίην
καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑαυτοῦ φίλων ἐμβάλλειν,
αὐτὸν δὲ ταύτῃ δὴ καὶ μᾶλλον οὐκ ἀνιέναι ἀλλὰ λιπαρεῖν.
7 οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν
προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου
8 παντός. καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅ τι περ
ἐπὶ τῷ παράπλῳ τῷδε ἐτάσσετο καὶ τὰς ὑπηρεσίας ἵλεω

1 εὐτυχίαν Suid. ἀφανίσῃ Herch. e duobus cod. apographis ἀφανίσοι A et Suid. ἀλλ' Suid. 2 ἐπιθυμίαν Suid. ἀεὶ Suid. 5 sq. ὡς καὶ — ἀφελεῖν] ὅκως — ἀφελεῖ Herch.; cf. Reiske p. 142 5 [τῶν] delevi 14 ἐξηγήσεσθαι Herch. ἐξ-ηγήσασθαι A 15 θείου Herch. θεοῦ A; cf. Anab. III 3, 6 συνεπιλαμβάνοι⟨το⟩ Herch.; cf. Ind. 23, 5; Anab. I 25, 1; III 3, 6; VI 3, 3 extr. ξυνεπιλάβοι Cast. 18 ἀνθρωπηίῃ scripsi ἀνθρωπίῃ A ἀνθρωπίνῃ Vulc.; cf. Roos dial. p. 31 19 λόγῳ] ἁπλῶς, ὅλως, τέως, aliaque coniecit Herch. λογισάμενον (pro λόγῳ μὲν) Enth. 21 δὴ] ἤδη Reiske; cf. Anab. V 13, 2 23 προθυμίην BL προθυμίαν A^{2}FH

ἔχειν τὴν γνώμην, ὅτι δὴ Νέαρχόν γε οὔποτε ἂν Ἀλέ-
ξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ μή σφι
σωθήσεσθαι ἔμελλεν. λαμπρότης τε πολλὴ τῇ παρασκευῇ 9
ἐποῦσα καὶ κόσμος τῶν νεῶν καὶ σπουδαὶ τῶν τριηράρ-
χων ἀμφὶ τὰς ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρε-
πέες καὶ τοὺς πάντ' ἤδη πάλαι κατοκνέοντας ἐς ῥώμην
ἅμα καὶ ἐλπίδας χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου
ἐπηρκότα ἦν. πολὺ δὲ δὴ συνεπιλαβέσθαι ἐς εὐθυμίην 10
τῇ στρατιῇ τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ
τοῦ Ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόν-
τον σφάγιά τε τῷ Ποσειδῶνι ἐντεμεῖν καὶ ὅσοι ἄλλοι
θεοὶ θαλάσσιοι, καὶ δῶρα μεγαλοπρεπέα τῇ θαλάσσῃ
χαρίσασθαι. τῇ τε ἄλλῃ τῇ Ἀλεξάνδρου παραλόγῳ εὐτυ- 11
χίῃ πεποιθότας οὐδὲν ὅ τι οὐ τολμητόν τε ἐκείνῳ καὶ
ἑρκτὸν ἡγέεσθαι.

ὡς δὲ τὰ ἐτήσια πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος 21
τὴν ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα
ἐπὶ τὴν γῆν καὶ ταύτῃ ἄπορον τὸν πλοῦν ποιέοντα, τότε
δὴ ὡρμῶντο ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου, εἰκάδι

---

8 sqq. cf. Anab. VI 18, 2—20, 4 11 cf. Anab. VI 19, 5 cap. 21 sqq. Nearchi navigationem explanaverunt W. Vincent, The voyage of Nearch. (Lond. 1797); J. W. Mac Crindle, The comm. and navigation of the Erythr. Sea (Calcuttae 1879, inest versio anglica partis secundae Arriani Indicae); Tomaschek, Die Küstenf. Nearchs (Sitzber. d. Wien. Akad. d. Wiss., phil.-hist. Kl., vol. 121 (1890); cf. etiam Hold. p. 153—161 16 cf. Nearch. fr. 19 (Strab. XV 2, 5, p. 721); Anab. VI 21, 1—3; Onesicr. fr. 26 (Plin., N. H. VI 96—100); Tom. p. 4 sqq.; Hold. p. 153 sqq.
19 *Κηφισοδώρου*] errat Arrianus; naves solvit Nearchus non archonte Cephisodoro (323/2), sed archonte Anticle (325/4), cf. Droys. I[2], 2, p. 350 sqq. *εἰκάδι τοῦ Βοηδρομιῶνος μηνός*] exeunte mense Septembri a. 325, cf. Beloch, Griech. Gesch. III[2], 2, p. 306 sq.

---

3 *ἔμελλεν* Herch. *ἔμελλον* A 6 *πάντ' ἤδη* scripsi *πάντη δὴ* A *πάνυ ἤδη* Reiske *πάντη ἤδη* Cast. *ῥώμην*] *ὁρμὴν* Herch. 15 *ερκτὸν* (sine spir.) A *ἐπικτὸν* Herch. *ἡγεέσθαι* Herch. *ἐξηγέεσθαι* A 19 *ὡρμῶντο* scripsi *ὥρμηντο* A

τοῦ Βοηδρομιῶνος μηνὸς καθότι Ἀθηναῖοι ἄγουσιν, ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον ⟨μηνὸς Ὑπερβερεταίου, ἔτος⟩ τὸ ἑνδέκατον βασιλεύοντος Ἀλεξάνδρου.
2 *θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιέει καὶ οὗτος γυμνικόν. ἄραντες δὲ ἀπὸ τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρῃ κατὰ τὸν Ἰνδὸν ποταμὸν ὁρμίζονται πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας· Στοῦρα δὲ ὄνομα ἦν τῷ χώρῳ· στάδιοι ἀπὸ*
3 *τοῦ ναυστάθμου ἐς ἑκατόν. τῇ τρίτῃ δὲ ἄραντες ἔπλεον ἔστε ἐπὶ διώρυχα ἄλλην σταδίους τριάκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα· ἀνήει γὰρ ἡ θάλασσα ἐς αὐτήν, μάλιστα μὲν ἐν τῇσι πλημμυρίῃσιν, ὑπέμενε δὲ καὶ ἐν τῇ⟨σιν⟩ ἀμπώτεσι τὸ ὕδωρ μεμιγμένον τῷ πο-*
4 *ταμῷ· Καύμανα δὲ οὔνομα ἦν τῷ χώρῳ. ἐνθένδε εἴκοσι σταδίους καταπλώσαντες ἐς Κορέεστιν ὁρμίζονται ἔτι*
5 *κατὰ τὸν ποταμόν. ἐνθένδε ὁρμηθέντες ἔπλεον οὐκ ἐπὶ πολλόν· ἕρμα γὰρ ἐφάνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ τοῦ Ἰνδοῦ καὶ τὰ κύματα ἐρρόχθει πρὸς τῇ ἠιόνι,*
6 *καὶ ἡ ἠιὼν αὕτη τρηχεῖα ἦν. ἀλλὰ ἵναπερ μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας, ἐπειδὴ ἡ πλήμμυρα ἐπῆλθεν ἡ*
7 *ἐκ τοῦ πόντου. ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν ὁρμίζονται ἐς Κρώκαλα νῆσον ἀμμώδεα καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέραν. προσοικέει δὲ ταύτῃ*

---

2 mentionem mensis Macedonici intercidisse intellexit Usserius, De Maced. et Asian. anno solari (ed. Genev. a. 1722, p. 97), ⟨*μηνὸς Ὑπερβερεταίου*⟩ inserui auctore Niese, Gesch. d. gr. u. mak. Staat. s. d. Schl. b. Chaer. I, p. 152 adn. 2; ⟨*ἔτος*⟩ add. Herch. 6 *τῇ* ⟨*μὲν*⟩ Herch. 8 *στουρα* (sine acc.) A 12 *πλημμυρίησιν* A *πλημμύρῃσιν* vel *πλημμυρίσι* Dübn., fortasse recte, cf. *πλημμύρα* (sic A) Ind. 21, 6; 39, 8 *πλημμυρίς* 37, 6; 39, 8 13 *τῇσιν* Gron. (e codicis k *τοῖσιν*) *τῇ* A²FGHL *τῆσιν* B 13. 14 *ποταμῷ*] *ποτίμῳ* Reiske 14 *οὔνομα* A²B *ὄνομα* FGH, om. L 19 *αὕτη*] an *αὐτή*?

ἔθνος Ἰνδικόν, οἱ Ἀράβιες καλεόμενοι, ὧν καὶ ἐν τῇ 8 □
μέζονι ξυγγραφῇ μνήμην ἔσχον, καὶ ὅτι εἰσὶν ἐπώνυμοι
ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων ἐκδιδοῖ □
ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην καὶ τὴν
Ὠρειτέων. ἐκ δὲ Κρωκάλων ἐν δεξιᾷ μὲν ἔχοντες ὄρος 9
τὸ καλεόμενον αὐτοῖσιν Εἶρον, ἐν ἀριστερᾷ δὲ νῆσον
ἀλιτενέα ἔπλεον· ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠιόνι
κόλπον στεινὸν ποιέει. διεκπλεύσαντες δὲ ταύτην ὁρμί- 10
ζονται ἐν λιμένι εὐόρμῳ. ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ
λιμήν, Νεάρχῳ ἔδοξεν ἐπονομάζειν αὐτὸν Ἀλεξάνδρου
λιμένα. νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος ὅσον 11
σταδίους δύο ἀπέχουσα· Βίβακτα ὄνομα τῇ νήσῳ, ὁ δὲ
χῶρος ἅπας Σάγγαδα. ἡ δὲ νῆσος καὶ τὸν λιμένα, προ-
κειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ ἐποίεεν. ἐνταῦθα 12
πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ συνεχέα, καὶ
Νέαρχος δείσας τῶν βαρβάρων μή τινες συνταχθέντες FGrH
ἐφ' ἁρπαγὴν τοῦ στρατοπέδου τράποιατο, ἐκτειχίζει τὸν 133/fr. 1
χῶρον λιθίνῳ τείχει. τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ 13
μονῇ ἐγένοντο. καὶ λέγει ὅτι μύας τε ἐθήρων τοὺς θα-
λασσίους οἱ στρατιῶται, καὶ ὄστρεια δὲ καὶ τοὺς σωλῆ-
νας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῇδε

1 cf. Nearch. fr. 20 (Strab. XV 2, 1, p. 720); Tom. p. 11 sq. □ Ἀράβιες] v. ad Anab. VI 21, 4 2 ξυγγραφῇ] Anab. VI 21, 4 3 Ἀράβιος] v. ad Anab. VI 21, 3 11—p. 40, 2 cf. Philostrat. Vita Apollonii Tyan. III 53 i. f. ex Orthagorae, quem laudat l. l., Ἰνδῶν λόγων (cf. Strab. XVI 3, 5, p. 766; Aelian. Hist. animal. XVI 35; XVII 6), ut videtur (e Nearcho secundum Ed. Meyer, Hermes vol. 52, 1917, p. 377 = Kl. Schr. II p. 139, sed nomina geographica a Philostrato data a Nearcheis, quae in Arriano habes, nimium discrepant); Βίβλος Philostr. pro Βίβακτα 18—p. 40, 2 = Nearch. fr. 21

1 καλεόμενοι Vulc. καλεούμενοι A 6 αὐτοῖσιν del. Herch. 10 ἐπονομάζει Schmied. ex k (non post λιμήν, sed post ἔδοξεν interpungens) 13 Σάγγαδα ⟨ἐκαλέετο⟩ Herch. 20 ὄστρεια scripsi ὄστρια A, etiam Ind. 29, 14; 39, 5 ὄστρεα Vulc.; cf. Athen. III p. 92 e. f.

τῇ ἡμετέρῃ θαλάσσῃ συμβαλέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν
ἐπίνετο.

22 *ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἳ ἀνήγοντο. καὶ πε-*
ραιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς αἰ-
γιαλῷ ψαμμώδεϊ· νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη.
2 *ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν· Δόμαι*
οὔνομα τῇ νήσῳ. ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, ἀλλὰ
προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους ἐπι-
3 *τυγχάνουσιν ὕδατι καλῷ. τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐ-*
τοῖς ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριακοσίους,
καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ
4 *αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους. ἐνθένδε πλώσαντες ὁρ-*
μίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ. καὶ διεκπλώσαντες
σκοπέλους δύο, οὕτω τι ἀλλήλοις πελάζοντας, ὥστε τοὺς
ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πε-
τρέων, καθορμίζονται ἐν Μοροντοβάροις, σταδίους διελ-
5 *θόντες ἐς τριακοσίους· ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος*
καὶ βαθὺς καὶ ἄκλυστος, ὁ δὲ ἔσπλους ἐς αὐτὸν στεινός.
τοῦτον τῇ γλώσσῃ τῇ ἐπιχωρίῃ Γυναικῶν λιμένα ἐκά-
6 *λεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. ὡς*
δὲ διὰ τῶν σκοπέλων διεξέπλεον, κύμασι τε μεγάλοις
ἐνέκυρσαν καὶ τῇ θαλάσσῃ ῥοώδει. ἀλλὰ ἐκπεριπλῶσαι
7 *γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον ἐφαίνετο. ἐς δὲ*
τὴν ὑστεραίην ἔπλεον νῆσον ἐν ἀριστερᾷ ἔχοντες πρὸ
τοῦ πελάγεος οὕτω τι τῷ αἰγιαλῷ συναφέα ὥστε εἰ-
κάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ
τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου.
καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ δασέα,
8 *καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. ὑπὸ δὲ τὴν ἕω ἔπλεον*

---

28 sq. cf. Bretzl p. 33

---

18 *διεκπλώσαντες* Schmied. *δὴ ἐκπλώσαντες* A 24 *ἐν ἀρι-στερᾷ* scripsi *ἐς ἀριστερὰ* A *ἐν ἀριστερῇ* Herch.

ἔξω τῆς νήσου κατὰ ῥηχίην στενήν· ἔτι γὰρ ἡ ἀνάπωτις
κατεῖχε. πλώσαντες δὲ ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους
ὁρμίζονται ἐν τῷ στόματι τοῦ Ἀράβιος ποταμοῦ· καὶ
λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι, ὕδωρ δὲ οὐκ
ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι
τῷ πόντῳ ἦσαν. ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω 9
προχωρήσαντες λάκκῳ ἐπιτυγχάνουσι, καὶ ἔνθεν ὑδρευ-
σάμενοι ὀπίσω ἀπενόστησαν. νῆσος δὲ ἐπὶ τῷ λιμένι 10
ὑψηλὴ καὶ ἔρημος, καὶ περὶ ταύτην ὀστρείων τε καὶ
ἰχθύων παντοδαπῶν θήρα. μέχρι μὲν τοῦδε Ἀράβιες,
ἔσχατοι Ἰνδῶν ταύτῃ ᾠκισμένοι, τὰ δὲ ἀπὸ τοῦδε
Ὠρεῖται ἐπεῖχον.

ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν τοῦ Ἀράβιος παρέ- 23
πλεον τῶν Ὠρειτέων τὴν χώρην. καὶ ὁρμίζονται ἐν Πα-
γάλοισι, πλώσαντες σταδίους ἐς διακοσίους, πρὸς ῥηχίῃ.
ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπήβολος ἦν ὁ χῶρος. τὰ μὲν οὖν
πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν, οἱ δὲ ἐφ' ὕδωρ
ἐκβάντες ὑδρεύοντο. τῇ δ' ὑστεραίῃ ἀναχθέντες ἅμα 2
ἡμέρῃ καὶ πλώσαντες σταδίους ἐς τριάκοντα καὶ τετρα-
κοσίους κατάγονται ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται
πρὸς αἰγιαλῷ ἐρήμῳ. καὶ ἐνταῦθα ῥηχίη τραχείη ἦν, καὶ
ἐπὶ τῷδε μετεώρους τὰς νέας ὡρμίσαντο. κατὰ τοῦτον 3
τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόν-
του, καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῷ πλόῳ,
καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σῴζονται ἀπονηξάμενοι,
ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο. ἀμφὶ δὲ μέσας 4

13—15 cf. Philostr. Vita Apoll. Tyan. III 54 in., ubi *Πηγάδες* pro *Πάγαλα* 13—p. 45, 20 cf. Tom. p. 17 sqq.

---

1 ῥηχίην, 15 ῥηχίῃ, 21 ῥηχίη Dübn. ῥηχείην, ῥηχείῃ, ῥηχείη A, cf. Roos dial. p. 29 9 ὀστρείων FGH ὀστρίων A²BL ὀστρέων Vulc., cf. ad p. 39, 20 16 ἐπήβολος Reiske ἐπίβολος A 19 τριάκοντα καὶ del. Conr. Arn. Schmid (in versione germanica Indicae p. 58) et Müll., coll. cap. 25, 8

νύκτας ἀναχθέντες πλέουσιν ἔστε ἐπὶ Κώκαλα, ⟨ἃ⟩ τοῦ
αἰγιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε σταδίους διακοσίους·
καὶ αἱ μὲν νῆες σαλεύουσαι ὥρμεον, τὰ πληρώματα δὲ
ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν
τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ ἀναπαύσασθαι ἐπό-
θεον· στρατόπεδον δὲ περιεβάλετο τῶν βαρβάρων τῆς
5 *φυλακῆς ἕνεκα. ἐν τούτῳ τῷ χώρῳ Λεόννατος, ὅτῳ τὰ*
Ὠρειτῶν ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ
Ὠρείτας τε καὶ ὅσοι Ὠρείταις συνεπέλαβον τοῦ ἔργου.
καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάν-
τας· τῶν δὲ σὺν Λεοννάτῳ ἱππεῖς μὲν ἀποθνήσκουσι πεν-
τεκαίδεκα, τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολ-
6 *λοφάνης ὁ Γαδρωσίων σατράπης. ταῦτα μὲν δὴ ἐν τῇ*
ἄλλῃ ξυγγραφῇ ἀναγέγραπται, καὶ ὅπως Λεόννατος ἐπὶ
τῷδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσῷ στεφάνῳ
7 *ἐν Μακεδόσιν. ἐνταῦθα σῖτος ἦν νενημένος κατὰ πρόσ-*
ταγμα Ἀλεξάνδρου ἐς ἐπισιτισμὸν τῷ στρατῷ, καὶ ἐμ-
8 *βάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. καὶ τῶν*
νεῶν ὅσαι πεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε
ἐπεσκεύασαν, καὶ τῶν ναυτέων ὅσοι ἐν τῷ ἔργῳ βλα-
κεύειν ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν Λεον-
νάτῳ ἔδωκεν, αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτῳ στρα-
τιωτῶν συμπληροῖ τὸ ναυτικόν.
24 *ἐνθένδε ὁρμηθέντες ἔπλεον ἀκραεί, καὶ διελθόντες*
σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῷ χει-
2 *μάρρῳ· Τόμηρος ὄνομα ἦν τῷ ποταμῷ. καὶ λίμνη ἦν*
ἐπὶ ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ, τὰ δὲ βράχεα τὰ πρὸς

---

13 aliter de Apollophane Anab. VI 27, 1 14 *ἀναγέγραπται*] tangit tantum haec Anab. VI 22, 3; VII 5, 5 26 *Τόμηρος*] cf. Tom. p. 21

---

1 ⟨ἃ⟩ add. Reiske Schmied. 9 *συνεπελάβον⟨το⟩* vulg., cf. ad p. 36, 15 16 *νενημένος* Dobree ad Aristoph. Nub. 1205 (1203) secundum Hercherum (sedem illius emendationis et Eberh. et ego frustra quaesivimus) *νενεμημένος* A 27 — p. 43, 1 *τὰ*

τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς.
καὶ οὗτοι ὡς προσπλέοντας εἶδον, ἐθάμβησάν τε καὶ
παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν ἐτάχθησαν ὡς
ἀπομαχούμενοι πρὸς τοὺς ἐκβαίνοντας. λόγχας δὲ ἐφό- 3
ρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας· ἀκωκὴ δὲ οὐκ ἐπῆν
σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτῇσι πεπυρακτωμένον ταὐτὸ
ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι. καὶ τούτους Νέαρ- 4
χος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους κατεῖδε,
τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλους, ὡς τὰ
τοξεύματα ἐς τὴν γῆν ἀπ' αὐτῶν ἐξικνεῖσθαι· αἱ γὰρ
τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι ἀγχέμαχοι μέν,
ἄφοβοι δὲ ἐς τὸ ἐσακοντίζεσθαι ἦσαν. αὐτὸς δὲ τῶν στρα- 5
τιωτῶν ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα ὡπλι-
σμένοι τοῦ τε νεῖν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι
κελεύει ἀπὸ ξυνθήματος. πρόσταγμα δέ σφισιν ἦν, ὅπως 6
τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσμένειν τὸν πα-
ραστάτην οἱ ἐσόμενον, μηδὲ ⟨ἐμ⟩βάλλειν πρόσθεν ἐς
τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν
φάλαγγα, τότε ⟨δὲ⟩ δρόμῳ ἤδη ἰέναι ἐπαλαλάξαντας.
ἅμα δὲ ἐρρίπτουν ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι ἐκ 7
τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως, καὶ ἵσταντο
ἐν κόσμῳ, καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι δρόμῳ

δὲ βράχη (sic) — πνιγηραῖς: Suid. s. v. πνιγηρά βραχέα A, corr. Vulc. τὰ (alterum) om. Suid.

1 ἐπῴκεον Suid. ἐπώικεον A 4 λόγχας — 6 sq. ταὐτὸ ἐποίησεν: Suid. s. v. ἀκωκή 4. 5 ἐφόρεον] εἶχον Suid. 5 παχείας Suid. μέγεθος ὡς om. Suid. οὐχ ὑπῆν Suid. 6 αὐτῇσι A αὐταῖς Suid. αὐτοῖσι Ven. 7 ἐποίησεν Suid. 8 ὡς Vulc. εῶς (sic) A 11 παχέαι φαινόμεναι del. Herch. ἀγχαίμαχοι A, corr. Ven. 13 ὅσοι κουφότατοι — 15 συνθήματος: Suid. s. v. νεῖν 14 τοῦ τε] καὶ τοῦ Suid. δὲ om. Suid. 15 συνθήματος Suid. πρόσταγμα σφίσιν — 17 ἐσόμενον: Suid. s. v. παραστατεῖν 17 ἐμβάλλειν Schmied. βάλλειν A ἐς Schmied. πρὸς A 19 ⟨δὲ⟩ add. Vulc., ⟨δὴ⟩ Cast. ἰέναι] ἐπιέναι Herch. ⟨ἐπ' αὐτοὺς⟩ ἰέναι Cast. 20 ἐρίπτουν A, corr. Ven. 22 φάλαγγα — p. 44, 1 Ἐνυαλίῳ: Suid. s. v. ἐνυάλιος

ἐπήεσαν αὐτοί τε ἀλαλάζοντες τῷ Ἐνυαλίῳ καὶ οἱ ἐπὶ
τῶν νεῶν ξυνεπήχεον, τοξεύματά τε καὶ ἀπὸ μηχανῶν
8 βέλεα ἐφέροντο ἐς τοὺς βαρβάρους. οἳ δὲ τήν τε λαμ-
πρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ τῆς ἐφόδου τὴν
ὀξύτητα καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων
βελῶν βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι ἄνθρωποι, οὐδὲ
ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι. καὶ οἱ μὲν αὐτοῦ
9 φεύγοντες ἀποθνήσκουσιν, οἳ δὲ καὶ ἁλίσκονται· ἔστι
δὲ οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. ἦσαν δὲ οἱ ἁλόντες τά
τε ἄλλα σώματα δασέες καὶ τὰς κεφαλάς, καὶ τοὺς ὄνυ-
χας θηριώδεες· τοῖς γὰρ δὴ ὄνυξιν ὅσα σιδήρῳ διαχρᾶ-
σθαι ἐλέγοντο καὶ τοὺς ἰχθύας τούτοισι παρασχίζοντες
κατεργάζεσθαι καὶ τῶν ξύλων ὅσα μαλακώτερα. τὰ δὲ
ἄλλα τοῖς λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον· σίδηρος γὰρ
αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον δέρματα θήρεια,
οἳ δὲ καὶ ἰχθύων τῶν μεγάλων [τε] τὰ παχέα.

25 ἐνταῦθα νεωλκοῦσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι
αὐτῶν ἐπισκευάζουσι. τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο, καὶ
πλώσαντες σταδίους ἐς τριακοσίους ἀφικνέονται ἐς χῶ-
ρον, ὅς δὴ ἔσχατος ἦν τῆς Ὠρειτῶν γῆς· Μάλανα τῷ
2 χώρῳ ὄνομα. Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέου-
σιν, ἐσταλμένοι μὲν κατάπερ Ἰνδοί εἰσι, καὶ τὰ ἐς πό-
λεμον ὡσαύτως παραρτέονται· γλῶσσα δὲ ἄλλη αὐτοῖσι
3 καὶ ἄλλα νόμαια. μῆκος τοῦ παράπλου παρὰ μὲν χώρην
τὴν Ἀραβίων ἐς χιλίους μάλιστα σταδίους, ἔνθενπερ

---

9 sqq. cf. Hold. p. 157 11 sqq. cf. Clitarch. fr. 21 a (Plin. N. H. VII 30) 16 cf. Philostr. Vita Apoll. Tyan. III 55 in. διφθέρας δὲ τούτους ἐνῆφθαι μεγίστων ἰχθύων 24 cf. Nearch. fr. 20 (Strab. XV 2, 1, p. 720); Berger, Erat. p. 249 sqq.

---

1 αὐτοί τε om. Suid. 2 ξυνεπήχεον (nisi quod συνεπ. scribit) Herch. ξυνεπηχέοντες A 7 αὐτοῦ] αὐτῶν Cast. 8 καὶ ⟨ζῶντες⟩ Herch. 10 σώματα del. Herch. 13 ὅσα Ven. ὅσω A 16 [τε] del. Vulc. 18 τῇ] cf. Kallenberg, Rhein. Mus. N. S. 69 (1914), p. 668 i. f. 24 νόμεα A, corr. Vulc.

ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτῶν γῆν ἑξακόσιοι καὶ
χίλιοι. παραπλεόντων δὲ τὴν Ἰνδῶν γῆν (τὸ ἐντεῦθεν 4
γὰρ οὐκέτι Ἰνδοί εἰσι) λέγει Νέαρχος ὅτι αἱ σκιαὶ
αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· ἀλλὰ ὅπου μὲν ἐπὶ πολὺ τοῦ 5
πόντου ὡς πρὸς μεσημβρίαν προχωρήσειαν, αἳ δὲ καὶ
αὐταὶ [αἱ σκιαὶ] πρὸς μεσημβρίην τετραμμέναι ἐφαίνοντο·
ὁπότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπέχοι ὁ ἥλιος, ἤδη δὲ
καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι. τῶν τε ἀστέρων 6
ὅσους πρόσθεν μετεώρους κατεώρων, οἳ μὲν ἀφανέες
πάντῃ ἦσαν, οἳ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαίνοντο, καταδύ-
νοντές τε καὶ αὐτίκα ἀνατέλλοντες οἱ πάλαι ἀειφανέες.
καὶ ταῦτα οὐκ ἀπεικότα δοκέει μοι ἀναγράψαι Νέαρχος· 7
ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπεὰν τροπὰς ἄγῃ θέ-
ρεος ὥρῃ ὁ ἥλιος, φρέαρ ἀποδεδειγμένον ἐστί, καὶ τοῦτο
ἄσκιον ἐν μεσημβρίῃ φαίνεται· ἐν Μερόῃ δὲ πάντα
ἄσκια τῇ αὐτῇ ὥρῃ. εἰκὸς ὦν καὶ ἐν Ἰνδοῖσιν, ἅτε πρὸς 8
μεσαμβρίην ᾠκισμένοισι, τὰ αὐτὰ δὴ πάθεα ἐπέχειν, καὶ
μάλιστα δὴ κατὰ τὸν πόντον τὸν Ἰνδικόν, ὅσῳ μᾶλλον
αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσαμβρίην κέκλιται. ταῦτα
μὲν δὴ ὧδε ἐχέτω.

ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖ- 26
χον, ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ
Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ
σύμπαντα τῆς συμπάσης στρατηλασίης. ταῦτά μοι ἐν τῇ
μέζονι συγγραφῇ ἀναγέγραπται. κάτω δὲ Γαδρωσίων 2

9—11 = Nearch. fr. 22; cf. Berger, Erat. p. 182   10—11 cf. Philostr. Vita Apoll. Tyan. III 53 in.   13 cf. Berger, Erat. p. 122 sqq.   25 συγγραφῇ] Anab. VI 22—27   FGrH 133/fr. 1

4 ὅπου] ὁκότε Herch.   6 αὐταὶ Vulc. αὗται A   [αἱ σκιαὶ] del. Herch.   7 δὲ (alterum) del. Herch.   11 αὐτίκα] αὖτις Enth. ἀειφανέες ⟨ἐόντες⟩ Schmied. ex k   14 ὥρῃ Vulc. ὥρης A   17 μεσαμβρίην Vulc. (nisi quod μεσημβρ. scribit) μεσαμβρίῃ A^{2}FH μεσημβρίῃ BGL   ᾠκισμένοισι Dübn. ὠκισμένοι εἰ A ᾠκισμένοις iam Vulc.   24 συμπάσης] πάσης Cast.

*παρὰ τὴν θάλασσαν αὐτὴν οἱ Ἰχθυοφάγοι καλεόμενοι
οἰκοῦσι· παρὰ τούτων τὴν γῆν ἔπλεον. τῇ μὲν πρώτῃ
ἡμέρῃ περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες καταί-
ρουσιν εἰς Βαγίσαρα· στάδιοι τοῦ παράπλου ἑξακόσιοι.*
3 *λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, ἀπέ-
χουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους, καὶ οἱ πρόσοι-*
4 *κοι αὐτῆς Πασιρέες. ἐς δὲ τὴν ὑστεραίαν πρωΐτερον τῆς
ὥρης ἀναχθέντες περιπλέουσιν ἄκρην ἐπὶ πολύ τε ἀνέ-
χουσαν ἐς τὸν πόντον καὶ αὐτὴν ὑψηλὴν καὶ κρημνώ-*
5 *δεα. φρέατα δὲ ὀρύξαντες, ὕδωρ [οὐκ] ὀλίγον καὶ πο-
νηρὸν ἀρυσάμενοι ταύτῃ μὲν τῇ ἡμέρᾳ ἐπὶ ἀγκυρέων*
6 *ὥρμεον, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν· ἐς δὲ τὴν
ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες
διακοσίους. ἐνθένδε ἕωθεν πλεύσαντες σταδίους ἑξακο-
σίους ἐν Καλίμοισιν ὁρμίζονται. κώμη πρὸς τῷ αἰγιαλῷ,
φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι πεφύκεσαν, καὶ βάλανοι
ἐπ' αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν στα-
δίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη ὄνομα.*
7 *ἐνταῦθα ξένια Νεάρχῳ προσφέρουσιν οἱ κωμῆται πρό-
βατα καὶ ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι
ἦν ἰχθυώδεα, ἴσα τοῖς τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι
καὶ αὐτὰ ἰχθύων σιτέεται· πόα γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ.*

---

1 *Ἰχθυοφάγοι*] cf. Tom. p. 22 sqq. 18 *Καρνίνη*] cf. Tom. p. 24 20—22 cf. Philostr. Vita Apoll. Tyan. III 55

---

2 *μὲν* <*δή*> Herch., cf. ad p. 3, 18 8 *τὴν* del. Krüger ad Anab. V 23, 5, probante Boehn. p. 45; cf. Kallenberg, Rhein. Mus. N. S. 69 (1914), p. 676 5 *πασιρα* (sine acc.) A 7 *πασιρεες* (sine acc.) A *πρωιαίτερον* Dübn. (e codicis B lectione *πρωιέτερον*); cf. Kühner-Blass I p. 561 adn. 6 9 *αὐτὴν*] *ταύτην* Herch., cf. Ind. 1, 8; 26, 7 i. f.; Per. 16, 3; Tact. 4, 6; Ac. 2 10 [*οὐκ*] del. Reiske et Schmied. (qui etiam *οὐκ ὀλίγον ἀλλὰ* proposuit) *οὐκ ὀλίγον καί*<*περ*> Geier *καὶ ὀλίγον καὶ* Dübn. *οὐ πολλὸν καὶ* Müll. 12 *ὥρμεον* Herch. *ὥρμων* A, cf. Roos dial. p. 41 *ῥηχίη* Vulc. *ῥηχείη* A, cf. ad p. 41, 1 21 *ἴσα τοῖς* Dübn. *ὡς τοῖς* A *ὡς τὰ* Vulc. 22 *ἰχθύας* Vulc., probante Herchero, Philol. 7, p. 295 adn.; cf. Kühner-Gerth I p. 355

ἀλλὰ τῇ ὑστεραίῃ πλεύσαντες ἐς σταδίους διακοσίους 8
ὁρμίζονται πρὸς αἰγιαλῷ καὶ κώμῃ ἀπὸ θαλάσσης ἐς
σταδίους τριάκοντα ἀπεχούσῃ· ἡ μὲν κώμη Κύσα ἐκα-
λέετο, Καρβὶς δὲ τῷ αἰγιαλῷ ὄνομα ἦν. ἐνταῦθα 9
πλοίοις ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων εἶναι πλοῖα
οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν, ἀλλ'
ἔφυγον γὰρ καθορμιζομένας κατιδόντες τὰς νέας. σῖτός
τε αὐτόθι οὐκ ἐνῆν, καὶ ἐπιλελοίπει τὴν στρατιὴν ὁ
πολλός· ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω δὴ
ἀπέπλεον. καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον πεν- 10
τήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον,
κατάγονται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ αὐτόθι ἦν, καὶ
ἁλιέες ᾤκεον· Μόσαρνα ὄνομα ἦν τῷ λιμένι.

ἐνθένδε καὶ ἡγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι 27 FGrH 133 fr. 1
συνέπλωσεν αὐτοῖσιν, Ὑδράκης ὄνομα, Γαδρώσιος·
ὑπέστη δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμα-
νίης. τὸ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν
τι† ὀνομαζόμενα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν. ἐκ 2
δὲ Μοσάρνων νυκτὸς ἐπάραντες πλώουσι σταδίους ἑπτα-
κοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἐνθένδε
ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές τε
πολλοὶ ἐνῆσαν καὶ κῆπος, καὶ ἐν τῷ κήπῳ μύρριναι ἐπε-

---

8 *Κύσα*] cf. Tom. p. 27 14—17 = Nearch. fr. 24 20—p. 48, 3 cf. Philostr. Vita Apoll. Tyan. III 56 in., ubi *Βάλαρα* pro *Βάρνα* 21 *Βάρνα*] cf. Tom. p. 29

---

5 *πλοίοις* A²FH *πλοίοισιν* BGL *εἶναι* del. Herch. 8 *ἐπιλελοίπει* Ellendt ad Anab. V 12, 1 *ὑπολελείποι* A *ὑπολελοίπει* Gron. 13 ⟨*ἐνθαῦτα*⟩ *ᾤκεον* Herch. ⟨*ἐπ*⟩*ῴκεον* Cast. coll. Ind. 27, 2 i. f.; 38, 5 i. f. *μόσαρνα* hic, sed vs. 19 *μοσαρνων* sine acc. A 14 *καὶ ἡγεμὼν*] *κατηγεμὼν* Herch. 17 *τὸ* A²BGL *τὰ* FH et Vulc.; cf. Ind. 36, 4 18 *ὀνομαζόμενα* corruptum *εὐλιμενώτερα* vel *συνοικεόμενα* Herch. *εὔορμα* vel *ὁμαλὰ* Eberh. *πλοϊμώτερα* Enth. *ὁρμίζεσθαι παρεχόμενα* Cast. *ὅρμον παρεχόμενα* Vitelli apud Cast. p. 188 adn. 19 *ἄραντες* Herch., cf. Ind. 38, 6

φύκεσαν καὶ ἄλλα ἄνθεα, ἀφ' ὅτων στεφανώματα τοῖσι
κωμήτῃσιν ἐπλέκοντο· ἐνταῦθα πρῶτον δένδρεά τε εἶδον
ἥμερα, καὶ ἀνθρώπους οὐ πάντῃ θηριώδεας ἐποικέοντας.
3 ἐνθένδε ἐς διακοσίους σταδίους περιπλώσαντες καταί-
ρουσιν ἐς Δενδρόβοσα, καὶ αἱ νέες ἐπ' ἀγκυρέων ἐσά-
4 λευσαν. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα
λιμένα ἀπίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκ-
5 πλώσαντες· ἐνταῦθα ἁλιέες τε ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν
ἦν μικρὰ καὶ πονηρά· καὶ ταῖς κώπαις οὐ κατὰ σκαλμὸν
ἤρεσσον ὡς ὁ Ἑλλήνων νόμος, ἀλλ' ὥσπερ ἐν † ποταμῷ
τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκά-
πτοντες τὴν γῆν. ὕδωρ δὲ πολύ τε ἦν ἐν τῷ λιμένι καὶ
6 καθαρόν. περὶ δὲ πρώτην φυλακὴν ἄραντες καταίρουσιν
ἐς Κύιζα, ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες, ἵνα
αἰγιαλός τε ἔρημος ἦν καὶ ῥαχίη. αὐτόθι ὢν ἐπ' ἀγκυ-
7 ρέων ὅρμεον, κατὰ ναῦν τε ἐδειπνοποιέοντο. ἐνθένδε
διεκπλώσαντες σταδίους πεντακοσίους ἀπίκοντο ἔς τινα
πόλιν μικρήν, οἰκεομένην ἐπὶ γηλόφου οὐ πόρρω τοῦ
8 αἰγιαλοῦ. καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν
χώρην εἰκός, λέγει πρὸς Ἀρχίην, ὃς ἦν Ἀναξιδότου μὲν
παῖς, Πελλαῖος, συνέπλει δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ ὢν
Μακεδόνων — πρὸς τοῦτον λέγει ὅτι καταληπτέον σφίσιν
9 εἴη τὸ χωρίον· ἑκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ
στρατιῇ σιτία, βίῃ τε οὐχ οἷόν τε εἶναι ἐξαιρέειν, πο-

6 *Κώφαντα λιμένα*] cf. Tom. p. 31 14 *Κύιζα*] cf. Tom. p. 32 18 *πόλιν μικρήν*] cf. Tom. p. 34

1 *τοῖσι* Dübn. e **Baf** *τῆσι* **A** *τῆσι κωμήτισιν* Reiske *τῆσι κόμησιν* Schmied. 3 *ἐποικέοντας* Reiske Dübn. *ἐπωκέοντας* **A** 10 *ὥσπερ ἐν ποταμῷ* del. Herch. *ὥσπερ ἐν* ⟨*τάφρῳ τῷ*⟩ (vel ⟨*χώματι τῷ*⟩) *ποταμῷ* Reiske *ποταμῷ* corruptum videtur 11 *ἀναβάλλοντες* Herch. 15 *αὐτόθι* Eberh. *αὐτοὶ* **A** *αὐτοῦ* vel *ταύτῃ* Herch. 16 *ναῦν*] *νέας* Schmied. 19 *ὁ δὲ Νέαρχος* — 23 *χωρίον*: Suid. s. v. *ἐπιφρασθείς* 20 *χώραν* Suid. *Ἀρχίδαν* (sic) Suid. 20—22 *ὃς ἦν* — *λέγει ὅτι* om. Suid. 22 *καταληπτέα* Suid. 24 *οἷόν τε* Ven. *οἷόν τα* **A**

λιορκίης δὲ καὶ τριβῆς δεήσειν, σφᾶς δὲ ἐπιλελοιπέναι
τὰ σιτία. ὅτι δὲ ἡ γῆ σιτοφόρος, τῇ καλάμῃ τεκμηριοῦ-
σθαι, ἥντινα οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεώρων βαθέην.
ταῦτα ἐπεί σφισιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει 10
παραρτέεσθαι ὡς ἐς πλόον, καὶ ὁ Ἀρχίης αὐτῷ ἐξήρτυε
τὰ ἐς τὸν πλόον· αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὼς
ἐπὶ θέαν δῆθεν τῆς πόλιος ἤει.

προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως ξένια ἔφε- 28
ρον ἐκ τῆς πόλιος θύννους τε ἐν κριβάνοισιν ὀπτούς
— οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι
ἐν αὐτοῖσιν ὤφθησαν οὐκ ὠμοφαγέοντες — καὶ πέμ-
ματα ὀλίγα καὶ βαλάνους τῶν φοινίκων. ὃ δὲ ταῦτα μὲν 2
ἀσμένως δέκεσθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν·
οἳ δὲ εἴων παρελθεῖν. ὡς δὲ εἴσω πυλῶν παρῆλθε, δύο 3
μὲν τῶν τοξοτῶν κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ
μετὰ δύο ἄλλων καὶ τοῦ ἑρμηνέως ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ
ἀνελθὼν ἐσήμηνε τοῖς ἀμφὶ τὸν Ἀρχίην ὅπως συνέκειτο.
συνέκειτο γὰρ τὸν μὲν σημῆναι, τὸν δὲ συμβαλόντα ποι-
έειν τὸ τεταγμένον. ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες 4
ἐπώκελλόν τε κατὰ τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῇ
ἐς τὴν θάλασσαν, οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖς γινο-
μένοις ἐπὶ τὰ ὅπλα ἔθεον. ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχῳ 5
ἐκήρυσσε σῖτον διδόναι τῇ στρατιῇ, εἰ σώαν ἐθέλουσιν
ἔχειν τὴν πόλιν· οἳ δὲ ἠρνοῦντο εἶναι σφίσι, καὶ ἅμα

---

8 *οἱ δὲ ξένια — 12 φοινίκων*: Suid. s. v. *πέμματα* et partim (usque ad *ὀπτούς*, vs. 9) s. v. *κρίβανος*   9 *ἐκ τῆς πόλιος* et *τε* om. Suid. utroque loco   *ἐν κριβάνοισιν ὀπτούς* A et Suid. s. v. *κρίβανον*, *ἐν κριβάνοις ὠπτημένους* Suid. s. v. *πέμματα*   10 sq. *οὗτοι — ὠμοφαγέοντες* om. Suid.   *πρῶτοι ἐν* Reiske *πρώτοισιν* A *πρῶτοι* Raph.   12 *τῶν* om. Suid., probante Herch.   13 *ἄσμενος* Herch.   18 *συνέκειτο γὰρ — 19 τεταγμένον*: Suid. s. v. *συμβαλόντα*   *συνέκειτο γὰρ τὸν μὲν* Suid.   *τὸν μὲν* (omisso *συνέκειτο γὰρ*) A   *τὸν μὲν ⟨ὣν⟩* Vulc.   23 *δοῦναι* Herch.   *εἰ σώαν* Vulc.   *εἴσω ἂν* A   *ἐθελ*[ω] (i. e. *ἐθέλωσιν*) A corr. Dübn.

προσέβαλλον τῷ τείχει. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ το-
ξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες.
6 ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδρα-
ποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὲ δὴ ἐδέοντο
τοῦ Νεάρχου τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα
7 ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. Νέαρχος δὲ τὸν
μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας καὶ τὸ κατ'
αὐτὰς τεῖχος, αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν
8 σῖτον εἰ ἀδόλως δεικνύουσιν. οἳ δὲ τὸ μὲν ἀπὸ τῶν
ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδεί-
κνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας· καὶ γὰρ καὶ ἐτύγ-
χανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν
9 ὅσα ὄψῳ διαχρεόμενοι. ὡς δὲ τὰ ὄντα ἐπεδείκνυον, οὕτω
δὴ ἐκ τῶν παρόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμί-
ζονται πρὸς ἄκρην, ἥντινα οἱ ἐπιχώριοι ἱρὴν Ἡλίου
ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγεια.

29 ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι στα-
δίους ἐς χιλίους ἐς Τάλμενα λιμένα εὔορμον. ἐνθένδε
ἐς Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακοσίους,
ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι, καὶ φοίνικες
ἄγριοι ἐπεφύκεσαν. τούτων τοὺς ἐγκεφάλους κόπτοντες
2 ἐσιτέοντο· σῖτος γὰρ ἐπελελοίπει τὴν στρατιήν. καὶ
κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλεον τήν τε ἡμέρην καὶ
3 τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. Νέ-
αρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπο-
λίποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῷδε μετεώρους ἔσχε
□ 4 τὰς νέας ἐπ' ἀγκυρέων. ἐνθένδε ἀναχθέντες ἐς Κανάτην
ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα

16. 18 *Βάγεια*, *Τάλμενα*] cf. Tom. p. 34 19 *Κανασίδα*] cf. Tom. p. 36 27 *Κανάτην*] cf. Tom. p. 38

4 *δὲ* del. Herch., probante Grundm. p. 22 adn. et p. 25
6 *ἀπαγαγεῖν* Herch. 15 *ἄκρῃ* Herch., cf. p. 64, 25; Herod. VI 97, 1
18 *ἐς Τεῖσα λιμένα* Tom. p. 34 e Ptolem. VI 8, p. 414, 7 W

διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐνταῦθα καὶ διώ-
ρυχες βραχεῖαι. ἐνθένδε σταδίους ὀκτακοσίους πλώσαν- 5
τες ἐν Ταοῖσιν ὁρμίζονται, κῶμαι δὲ μικραὶ καὶ πονηραὶ
ἐπῆσαν. καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία, αὐτοὶ
δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοι-
νίκων. καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελήφθησαν κατα-
κόψαντες, ἀπὸ τούτων τὰ κρέα ἐσιτέοντο. ὑπὸ δὲ τὴν 6
ἕω ἀναχθέντες σταδίους τριακοσίους πλώουσι, καὶ καθ-
ορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι
ᾤκεον. ἐνθένδε ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην οὐδέν 7
τι ἐλινύοντες ἔπλεον, ἀλλὰ διελθόντες γὰρ σταδίους
χιλίους τε καὶ ἑκατὸν ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυο-
φάγων, πολλὰ κακὰ ταύτῃ παθόντες ἀπορίῃ τῶν ἀναγ-
καίων. ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ — ῥηχίη γὰρ ἦν 8
ἐπὶ πολλὸν ἀνέχουσα —, ἀλλὰ μετέωροι ἐπ᾽ ἀγκυρέων·
μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγῳ
πλεῦνες στάδιοι μύριοι.

οὗτοι οἱ Ἰχθυοφάγοι σιτέονται, κατ᾽ ὅ τι περ καὶ 9
κληίζονται, ἰχθύας, ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς
ἰχθύας — ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται
καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων —, τὸ
πολὺ δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. οἳ δὲ δίκτυα ἐπὶ 10
τῷδε πεποίηνται, μέγαθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ
αὐτῶν. πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων,
στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον. ἐπεὰν δὲ ἡ θά- 11
λασσα ὑπονοστήσῃ καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ
γῆ ὑπολείπεται, ἐρήμη τὸ πολύ ἐστιν ἰχθύων· ἔνθα δὲ

---

17 μύριοι] cf. Tom. p. 39   18 sqq. cf. Strab. XV 2, 2, p. 720

---

1 ἐνταῦθα Herch. ἐν αὐτῷ A   3 ταοισιν (sine acc.) A   4 ἐνῆσαν Herch. οἰκία Dübn. οἰκεῖα A   6 ἐγκατελήφθησαν Herch. ἐγκατελείφθησαν A   14 ῥηχίη A²FGHL ῥηχείη B   17 στάδιοι Vulc. σταδίους A στάδιοι ⟨καὶ⟩ Dübn., inverso ordine στάδιοι ὀλίγῳ πλεῦνες ⟨ἢ⟩ μύριοι Herch.; cf. Kühner-Gerth II p. 311   26 καὶ γῆ ὑπολειφθῇ del. Herch.

*βαθέα ἐστίν, ὑπολείπεταί τι τοῦ ὕδατος καὶ ἐν τῷδε
κάρτα πολλοὶ ἰχθύες, οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἳ
δὲ καὶ μέζονες· τούτοις περιβάλλοντες τὰ δίκτυα αἱ-
12 ρέουσι. σιτέονται δὲ ὠμοὺς μέν, ὅπως ἀνειρύουσιν ἐκ
τοῦ ὕδατος, τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς
τε καὶ σκληροτέρους ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν
ἀφαυανθῶσι, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται
καὶ ἄρτους, οἳ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσ-
13 σουσι. καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς
σιτέονται· ἡ γὰρ χώρη ἔρημος λειμώνων οὐδὲ ποίην
14 φέρει. θηρεύουσι δὲ καὶ καράβους πολλαχῇ καὶ ὄστρεια
καὶ τὰ κογχύλια· ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ
15 χώρῃ· ἀπὸ τούτων ἔλαιον ποιέουσιν. οἳ μὲν δὴ αὐτῶν
ἐρήμους τόπους οἰκέουσιν ἄδενδρόν τε τὴν χώρην καὶ
ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ
πᾶσα δίαιτα πεποίηται· ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον
τῆς χώρης, καὶ τούτῳ κατάπερ ὄψῳ χρῶνται πρὸς τοὺς
□ 16 ἰχθύας· ὁ γὰρ σῖτος αὐτοῖσίν εἰσιν οἱ ἰχθύες. οἰκία δὲ
πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν ὅσα κήτεα ἐκ-
βάλλει ἡ θάλασσα τούτων τὰ ὀστᾶ ἐπιλεγόμενοι ⟨καὶ⟩
τούτοισιν ἀντὶ ξύλων χρεόμενοι, καὶ θύρας τὰ ὀστέα
ὅσα πλατέα αὐτῶν ἁλίσκεται ἀπὸ τούτων ποιέονται·
τοῖσι δὲ πολλοῖς καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθῶν τῶν
ἰχθύων τὰ οἰκία ποιέεται.*

---

11 *ὄστρεια* scripsi *ὄστρια* A *ὄστρεα* Vulc.; v. ad p. 39, 20
12 *τὰ* del. Herch. 13 aut ante *ἀπὸ τούτων* quaedam excidisse aut *ἀπὸ θύννων* legendum esse censet Schmied., sed recte Reiske p. 143: *ἀπὸ τούτων*, *sc. e piscibus, ostreis et conchyliis atque sale faciunt oleum, hoc est muriam, garum* *οἳ* Müll. *οἱ* A
16 *ποιέεται* Vulc., cf. p. 51, 20. 23; p. 52, 19 *σπείρουσιν* ⟨*ὀλίγον*⟩ *ὅσον* Reiske; v. ad p. 20, 8 17 *τούτῳ*] *τῷ σίτῳ* vel *τῷ ἀλεύρῳ* vel *τοῖσιν ἄρτοισιν* Herch. *καὶ τούτῳ* — 18 *ἰχθύας* del. Eberh.
18 *οἱ* del. Schmied. cum k; cf. Herod. VII 142, Kühner-Gerth I p. 592 adn. 4 20 ⟨*καὶ*⟩ add. Schmied. ex k 22 *ἁλίσκεται ἀπὸ τούτων* del. Herch.

Κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ 30
ἰχθύες πολὺ μέζονες ἢ ἐν τῇδε τῇ εἴσω. καὶ λέγει Νέ- 2 FGrH 133/fr. 1, fr. 1b
αρχος, ὁπότε ἀπὸ Κυΐζων παρέπλεον, ὑπὸ τὴν ἕω ὀφ-
θῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης οἷά περ
ἐκ πρηστήρων βίᾳ ἀναφερόμενον, ἐκπλαγέντας δὲ σφᾶς 3
πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου ὅ τι εἴη καὶ
ἀπ' ὅτου τὸ πάθημα· τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα
ταῦτα φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω
τὸ ὕδωρ. καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν
τὰ ἐρετμὰ ἐκπεσεῖν, αὐτὸς δὲ ἐπιὼν παρακαλεῖν τε καὶ 4
θαρσύνειν, καὶ κατ' οὕστινας παραπλέων ἐγένετο, ἐς
μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυμαχίῃ τὰς
νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ πυκνήν τε καὶ
ξὺν κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι. οὕτως ἀνα- 5
θαρσήσαντας ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος. ὡς δὲ
ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν ὅσον
αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι, τὰς δὲ σάλ-
πιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς
ἐπὶ μήκιστον κατασχεῖν. οὕτω δὴ ὁρώμενα ἤδη κατὰ τὰς 6
πρῴρας τῶν νεῶν τὰ κήτεα ἐς βυθὸν δῦναι ἐκπλαγέντα,
καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνα-
σχεῖν καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα.
ἔνθεν κρότον τε ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ γενέσθαι 7
τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον τῆς τε τόλμης

---

2 — p. 55, 16 = Nearch. fr. 25; cf. Strab. XV 2, 12 sq., p. 725 sq.; Onesicr. fr. 30 (Ael. De nat. animal. XVII 6); Diod. XVII 106, 6 sq.; Curt. X 1, 12 □

---

3 *κυϊζων* (sine acc.) A, sed *κύιζα* p. 48, 14 7 *ἀπ' ὅτου* Herch. *ἀπό του* A *ἀπὸ τοῦ* Gron. 8 *ταῦτα* del. Herch.; cf. Ind. 34, 2; 35. 1. 6; Anab. III 7, 7 10 *ἐρετμὰ* FH *ερέτιμα* (sine spir.) A² *ἐρέτιμα* B *ἀρέτιμα* L 11 *ἐγίνετο* Vulc. 13 *ῥοθίῳ*] *ὀρθίῳ* (sc. *τῆς σάλπιγγος*) Herch.; cf. Anab. VI 3, 3; Strab. XV 2, 12 i. f., p. 725 14. 15 *ἀναθαρσήσαντες* A, corr. Vulc. 18 *κτύπον* <*τὸν*> Herch.; cf. Anab. VI 3, 3 in. 21 *ἀναδύντας* A, corr. Vulc. 23 *κρότον* Jac. (litt.) *κρότῳ* A *κρότους* Vulc.

8 καὶ τῆς σοφίης. τούτων μετεξέτερα τῶν κητέων ἐποκέλ-
λειν πολλαχοῦ τῆς χώρης, ἐπειδὰν ἀνάπωτις κατάσχῃ, ἐν
τοῖσι βράχεσιν ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ χειμώνων σκλη-
ρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι, καὶ οὕτω δὴ καὐτὰ ση-
πόμενα ἀπόλλυσθαί τε καὶ τὰς σάρκας αὐτοῖσι περι-
ρρεούσας ὑπολείπειν τὰ ὀστέα χρῆσθαι τοῖσιν ἀνθρώποι-
9 σιν ἐς τὰ οἰκία. εἶναι ὧν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν
ὀστέα δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα, τὰ δὲ μι-
κρότερα στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ
εἶναι τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ
πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος.

31 εὖτε δὲ παρέπλεον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον
ἀκούουσι περὶ νήσου τινός, ἣ κεῖται μὲν ἀπέχουσα τῆς
ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ ἐστιν οἰκη-
2 τόρων. ταύτην ἱρὴν Ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι
καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν
ἐθέλειν ἐς αὐτήν· ὅστις δ' ἂν ἀπειρίῃ προσχῇ, γίνεσθαι
3 ἀφανέα. ἀλλὰ λέγει Νέαρχος κέρκουρόν σφι ἕνα πλή-
ρωμα ἔχοντα Αἰγυπτίων οὐ πόρρω τῆς νήσου ταύτης
γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ
πλόου ἰσχυρίζεσθαι ὅτι ἄρα κατάραντες ὑπ' ἀγνοίης εἰς
4 τὴν νῆσον γένοιντο ἀφανέες. Νέαρχος δὲ πέμπει κύκλῳ
περὶ τὴν νῆσον τριηκόντορον, κελεύσας μὴ κατασχεῖν μὲν
ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοῖς ἀνθρώποις ὡς μάλιστα ἐν
χρῷ παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας καὶ
5 ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα. ὡς δὲ οὐδένα ὑπα-

---

12 sqq. cf. Nearch. apud Strab. XV 2, 13, p. 726; Onesicr. fr. 26 (Plin. N. H. VI 97); Curt. X 1, 14 sq.; Philostr. Vita Apoll. Tyan. III 56 i. f. (ubi Σέληρα pro Νόσαλα); Tom. p. 24 sqq.; Hold. Gates p. 160; The Indian borderland p. 206 sq.

---

4. 5 δὴ καὐτὰ σηπόμενα Vulc. δηκαυτασηπόμενα A δὴ κατασηπόμενα Schmied. ex k; cf. Smyth, Ionic § 307 5 an τε delendum? 7 ὧν Vulc. ὡν (sic) A 17 προσσχῇ Müll.; cf. Poppo ad Thuc. III 1, p. 148; Exc. post Gregor. Cor. ed. Schaefer p. 680, 21 24 τοῖς ἀνθρώποις Reiske Herch. τοὺς ἀνθρώπους A

κούειν, τότε δὲ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον καὶ
κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλον-
τας, καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα
τὸν περὶ τῆς νήσου λόγον. ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον 6
ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον
ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα οὐ λέγεσθαι
τῆς Νηρηίδος. ταύτῃ δὲ ὅστις πελάσειε τῇ νήσῳ, τούτῳ
συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου ποιέου-
σαν ἐμβάλλειν ἐς τὸν πόντον. Ἥλιον δὲ ἀχθεσθέντα τῇ 7
Νηρηίδι κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου·
τὴν δὲ ὁμολογεῖν μὲν ὅτι ἐξοικισθήσεται, δεῖσθαι δέ οἱ
τὸ πάθημα ⟨παυθῆναι⟩. καὶ τὸν Ἥλιον ὑποδέξασθαι,
τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας [ἂν] ἰχθύας ἐξ ἀνθρώ- 8
πων πεποιήκει κατελεήσαντα ἀνθρώπους αὖθις ἐξ ἰχθύων
ποιῆσαι, καὶ ἀπὸ τούτων τῶν Ἰχθυοφάγων τὸ γένος καὶ
εἰς Ἀλέξανδρον κατελθεῖν. καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγ- 9
χει Νέαρχος, οὐκ ἐπαινῶ αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ
σοφίης, οὔτε κάρτα χαλεπὰ ἐξελεγχθῆναι ἐόντα, ταλαί-
πωρόν τε ὂν γιγνώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγό-
μενον ἐξελέγχειν ὄντας ψευδέας.

ὑπὲρ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι 32
γῆν πονηρὴν καὶ ψαμμώδεα, ἔνθεν καὶ τὰ πολλὰ κακὰ
ἡ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθεν καὶ αὐτὸς Ἀλέξανδρος,
ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. ὡς δὲ ἐς τὴν 2
Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατός,
ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ' ἀγ-
κυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ πέλαγος

24 ἀπήγηται] Anab. VI 22—27

1 τότε δὴ Herch., probante Grundm. p. 22 adn. 1 et p. 25
2 ἀναγκάσαι Herch. 4 περὶ τῆς νήσου Cast. περὶ τῇ νήσῳ A; cf. Helb. p. 118 sq. 7 τῇ νήσῳ del. Herch. 10 νηρεΐδι A, corr. Vulc. 12 ⟨παυθῆναι⟩ add. Dübn., *adimeretur* Facius in versione 13 [ἂν] del. Herch. 14 πεποιήκει scripsi πεποίηκεν A ἐπεποιήκει Herch. 21 ὑπὲρ ⟨δὲ⟩ Herch.

3 τρηχείη. ἐνθένδε οὐκέτι ὡσαύτως πρὸς ἡλίου δυομένου
ἔπλωον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου
4 οὕτω μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον, καὶ οὕτω
ἡ Καρμανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν Ὠρειτῶν
εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ καὶ ποιώδης μᾶλ-
5 λόν τι καὶ ἔνυδρος. ὁρμίζονται δὲ ἐν Βάδει χώρῳ τῆς
Καρμανίης οἰκουμένῳ, δένδρεά τε πολλὰ ἥμερα πεφυ-
κότα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθάς, καὶ σι-
6 τοφόρῳ. ἐνθένδε ὁρμηθέντες καὶ διεκπλώσαντες στα-
δίους ὀκτακοσίους πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ, καὶ
καθορῶσιν ἄκρην μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ
πέλαγος· ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης.
7 καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλε-
γον τὴν ἀνίσχουσαν ταύτην ἄκρην, καλέεσθαι ⟨δὲ⟩ Μά-
κετα· ἔνθεν τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς
8 Ἀσσυρίους ἀγινέεσθαι. καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου,
ἵναπερ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταν-
τικρὺ ἀφεώρων ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος
— ἐμοί τε δοκεῖ καὶ Νεάρχῳ ὡσαύτως ἐδόκεεν — ἐς τὸ
9 εἴσω ἀναχεῖται, ὅπερ εἰκὸς ἡ Ἐρυθρὴ θάλασσα. ταύτην
τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ'
αὐτὴν πλέειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλα-
10 στρέοντας ταλαιπωρέεσθαι. Νέαρχος δὲ ὑποκρίνεται
νήπιον εἶναι Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ' ὅτῳ ἐστάλη

---

6 *Βάδει*, 14. 15 *Μάκετα*] cf. Tom. p. 41   20—p. 57, 15] cf. Nearch. fr. 28 (Anab. VII 20, 9 sq.)

---

1 *ὡσαύτως οὐκέτι* A, invertit Herch.   3 utrumque *οὕτω* del. Herch.   6 *εὔυδρος* Herch., sed *ἔνυδρος* Xen. Cyrop. III 2, 11 et v. l. apud Herod. IV 47   *βαδει* (sine acc.) A   7. 8 *πεφυκότα* del. Herch.   14 *ἀνέχουσαν* Herch.; cf. Anab. VI 19, 5; Boehn. p. 15   *ἄκραν* (η supra) A   an *ἄκρην ⟨εἶναι⟩*?   ⟨*δὲ*⟩ add. Vulc.   14. 15 *μακετα* (sine acc.) A   16 *ἀγειν έεσθαι* A, corr. Schmied.   18 *ἀφεώρων* Vulc.   *ἐφεώρων* A   *ἀνέχουσαν* Vulc.   *ἀνέχουσιν* A   22. 23 *ἐλαστρέοντας* scripsi   *ἐλαστρεύοντας* A   *ἐλαστρεῦντας* Herch., cf. Roos dial. p. 41

πρὸς Ἀλεξάνδρου ὁ στόλος. οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ 11
διασωθῆναι πάντα αὐτῷ τὸν στρατόν, ἐπὶ τῷδε ἄρα ἐκ-
πέμψαι τὰς νέας, ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ
τὸν παράπλουν κατασκέψασθαι καὶ ὅρμους καὶ νησῖδας,
καὶ ὅστις κόλπος ἐσέχοι ἐκπεριπλῶσαι τοῦτον, καὶ πό-
λιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ καὶ εἴ
τις ἐρήμη. σφᾶς ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς 12
τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρως
ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλῳ ἔχοντας. δεδιέναι
τε, ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ
ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ φλογώδει ἐγκύρσειαν. ταῦτα 13
ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν
τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ
τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κατ-
έχει καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.

ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇ γῇ 33
προσεχέες, καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν
ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα ὄνομα τῷ αἰγιαλῷ.
καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλεύσαντες στα- 2
δίους ἑκατὸν ὁρμίζονται κατὰ ποταμὸν Ἄναμιν· ὁ δὲ
χῶρος Ἁρμόζεια ἐκαλέετο. δαψιλέα δὲ ἤδη καὶ πάμφορα
⟨τὰ⟩ ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐ πεφύκεσαν. ἐνταῦθα ἐκ- 3
βαίνουσί τε ἐκ τῶν νεῶν καὶ ἀπὸ τῶν πολλῶν πόνων
ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν
θάλασσαν πεπονθότες ἦσαν καὶ πρὸς τῇ γῇ τῶν Ἰχθυο-
φάγων, τήν τε ἐρημίην τῆς χώρης καὶ τοὺς ἀνθρώπους
ὅπως θηριώδεες καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι.
καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, 4
ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου.

---

20 *Ἄναμιν*, 21 *Ἁρμόζεια*] cf. Tom. p. 42 sq.

---

17 *ἐν*] *ἐπ'* Cast., cf. Ind. 39, 7 18 *ὄνομα* Vulc. *ὀνομα̃* A *ὀνόματι* apographa 21 *δαψιλέα* Herch. *φίλια* A 22 ⟨*τὰ*⟩ add. Herch.

5 ἐνταῦθα ἄνθρωπός σφισιν ὤφθη χλαμύδα τε φορῶν
Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ
φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες δα-
κρῦσαι ἔλεγον· οὕτω τι παράλογόν σφισι φανῆναι ἐκ
τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλ-
6 λάδος δὲ φωνῆς ἀκοῦσαι. ἐπηρώτων τε ὁπόθεν ἥκοι καὶ
ὅστις ὤν· ὃ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάνδρου
ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατό-
7 πεδον καὶ αὐτὸν Ἀλέξανδρον. τοῦτον τὸν ἄνθρωπον
βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον·
καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν
ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσ-
8 σης. τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νε-
άρχῳ, καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην
9 ποιέεται, ὅπως ἀναβήσεται πρὸς βασιλέα. τότε μὲν δὴ
ἐπὶ τὰς νέας ἀπῆλθον· ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἐνεώλ-
κεεν, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτῶν κατὰ τὸν πλοῦν
πεπονήκεσαν, καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπε-
10 σθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν. χάρακά τε ὦν περι-
βάλλεται διπλοῦν περὶ τῷ ναυστάθμῳ, καὶ τεῖχος γήϊνον
καὶ τάφρον βαθείην, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξά-
μενος ἔστε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυ-
σμέναι ἦσαν.

34 ἐν ᾧ δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρ-
χος πεπυσμένος ὅπως ἐν μεγάλῃ φροντίδι ἔχοι Ἀλέξαν-
δρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἀγαθὸν ἐξ
Ἀλεξάνδρου ἂν ἔγνω πείσεσθαι, εἰ πρῶτός οἱ ἀπαγγεί-
λειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τὸν Νέαρχον ὅτι οὐ
2 πολλῷ ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βασιλέος. οὕτω
δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρῳ ὅτι
Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ

---

16 ἀπῆλθεν Herch. 20 περὶ Cast. ἐπὶ A, del. Herch. 27 ἂν del. Herch. 28 τὸν Νέαρχον Herch. τοῦ Νεάρχου A; an τοῦ Νεάρχου ⟨καὶ⟩? 29 βασιλ^{ε} A

καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος ἀλλὰ ἐχάρη γε
κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ· ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης 3
ἐγίνετο, καὶ ξυντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον
οὐκέτι πιστὰ τὰ ἐξηγγελμένα ἐφαίνετο, πεμπόμενοί τε 4
ἄλλοι ἐπ' ἄλλοισιν ὡς ἐπὶ κομιδῇ τοῦ Νεάρχου οἳ μέν
τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες καὶ οὐδενὶ ἐγκύρ-
σαντες κενοὶ ἐπανήεσαν, οἳ δὲ καὶ πορρωτέρω ἐλθόντες
καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν Νέαρχον οὐδὲ αὐτοὶ
ἐπανήεσαν, ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς 5
κενά τε ἀγγείλαντα καὶ λυπηρότερά οἱ τὰ πρήγματα
ποιήσαντα τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει
Ἀλέξανδρος, αὐτὸς δὲ τῇ τε ὄψει καὶ τῇ γνώμῃ δῆλος
ἦν μεγάλῳ ἄχει βεβλημένος. ἐν τούτῳ δὲ τῶν τινες κατὰ 6
ζήτησιν τοῦ Νεάρχου ἐσταλμένων ἵππους τε ἐπὶ κομιδῇ
αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες ἐντυγχάνουσι κατὰ τὴν
ὁδὸν αὐτῷ τε Νεάρχῳ καὶ τῷ Ἀρχίῃ καὶ πέντε ἢ ἓξ ἅμα
αὐτοῖσιν· μετὰ τοσούτων γὰρ ἀνήει. καὶ ἐντυχόντες οὔτε 7
αὐτὸν ἐγνώρισαν οὔτε τὸν Ἀρχίην — οὕτω τοι κάρτα
ἀλλοῖοι ἐφάνησαν, κομόωντές τε καὶ ῥυπόωντες καὶ με-
στοὶ ἅλμης καὶ ῥικνοὶ τὰ σώματα καὶ ὠχροὶ ὑπὸ ἀγρυ-
πνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης — ἀλλὰ ἐρομένοις 8
γὰρ αὐτοῖς ἵναπερ εἴη Ἀλέξανδρος, ὑποκρινάμενοι τὸν
χῶρον οἳ δὲ παρήλαυνον. Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει 9
πρὸς Νέαρχον "ὦ Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι'
ἐρημίας ἐλαύνειν τὴν αὐτὴν ἡμῖν ὁδὸν οὐκ ἐπ' ἄλλῳ τινὶ
συντίθημι [ἢ] ὅτι μὴ κατὰ ζήτησιν τὴν ἡμετέρην ἀπε-
σταλμένους. ὅτι δὲ οὐ γιγνώσκουσιν ἡμέας, οὐκ ἐν 10
θώματι ποιέομαι· οὕτω γάρ τι ἔχομεν κακῶς ὡς ἄγνω-
στοι εἶναι. φράσωμεν αὐτοῖσιν οἵτινές εἰμεν, καὶ αὐτοὺς

15 αὐτῶν] αὐτοῦ Herch. 18 τοι] τι Ven. 26 vel ἢ vel ὅτι μὴ redundare observavit Raph. ἢ del. Herch., probante Grundm. p. 61 28 ὡς] ὥστε Herch.; cf. Ind. 39, 5; Peripl. 3, 4; 5, 2; 9, 2; 10, 3; Tact. 11, 4; 17, 1; 34, 1 29 αὐτοὺς Herch. τοὺς A

11 ἐρώμεθα καθότι ταύτῃ ἐλαύνουσιν.” ἔδοξε τῷ Νεάρχῳ
ἐναίσιμα λέγειν· καὶ ἤροντο ὅποι ἐλαύνουσιν· οἳ δὲ
ὑποκρίνονται ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ τοῦ στρα-
12 τοῦ τοῦ ναυτικοῦ. ὃ δέ “οὗτος” ἔφη “ἐγώ εἰμι Νέαρ-
χος, καὶ Ἀρχίας οὗτος. ἀλλ' ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ
ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρῳ ἀπηγησόμεθα.”

35 ἀναλαβόντες ⟨ὢν⟩ αὐτοὺς ἐπὶ τὰς ἀπήνας ὀπίσω
ἤλαυνον. καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελή-
σαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ
ὅτι “οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε
ἄλλοι κομίζονται παρὰ σέ,” ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς
2 οὐδὲν εἶχον ὑποκρίνασθαι. τοῦτο ἐκεῖνο συνθεὶς Ἀλέ-
ξανδρος, τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρα-
τιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ Νε-
άρχου τε καὶ τοῦ Ἀρχίου τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον
3 ἐλύπει αὐτὸν ἀπολομένη ἡ στρατιὴ πᾶσα. οὔπω πάντα
ταῦτα εἴρητο, καὶ ὁ Νέαρχός τε καὶ ὁ Ἀρχίης προσῆ-
γον. τοὺς δὲ μόγις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος,
ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους καθεώρα,
ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς
4 στρατιῆς τῆς ναυτικῆς ἐγίνετο. ὃ δὲ τὴν δεξιὰν τῷ
Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν
ἑταίρων τε καὶ τῶν ὑπασπιστῶν, πολλὸν ἐπὶ χρόνον
5 ἐδάκρυεν· ὀψὲ δὲ ἀνενεγκὼν “ἀλλὰ ὅτι σύγε ἡμῖν ἐπαν-
ήκεις σῶος” ἔφη “καὶ Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς
ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ
6 στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν;” ὃ δὲ ὑπολαβὼν
“ὦ βασιλεῦ,” ἔφη “καὶ αἵ νέες τοι σῷαί εἰσι καὶ ὁ
στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίας αὐτῶν

16 sqq. cf. Anab. VI 28, 5. 6

1 ταύτῃ Ven. ταῦτη A ταύτην Schmied. ex k 7 ⟨ὢν⟩ add. Vulc. ⟨δὲ⟩ add. k 10 τοι BFH τι A²L 17 ταῦτα del. Herch. 18 μόλις Herch., cf. Anab. IV 9, 5; VII 25, 5 29 οὗτοι] v. ad p. 53, 8

ἥκομεν.” ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέξανδρος, καθότι ἀνέλ- 7
πιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο, καὶ ὅπου
ὁρμέουσιν αἱ νέες ἀνηρώτα. ὃ δὲ “αὗται” ἔφη “ἐν τῷ
στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευά-
ζονται.” Ἀλέξανδρος δὲ τόν τε Δία τὸν Ἑλλήνων καὶ 8
τὸν Ἄμμωνα τὸν Λιβύων ἐπόμνυσιν, ἦ μὴν μειζόνως
ἐπί τῇδε τῇ ἀγγελίῃ χαίρειν ἢ ὅτι τὴν Ἀσίην πᾶσαν
ἐκτημένος ἔρχεται. καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπί τῇ ἀπω-
λείῃ τῆς στρατιῆς ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ
εὐτυχίῃ.

ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέξαν- 36
δρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρόντα κατιδὼν
τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γόνατα, καὶ 2
“οὗτός τοι” ἔφη “ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλεξάνδρῳ
ὅτι σῷοι ἥκετε· ὁρᾷς ὅπως διάκειμαι.” οὕτω δὴ δεῖται
Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται.
Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ Σωτῆρι 3
καὶ Ἡρακλεῖ καὶ Ἀπόλλωνι Ἀλεξικάκῳ καὶ Ποσειδῶνί
τε καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί, καὶ ἀγῶνα ἐποίεε
γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε· καὶ
Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε ταινίῃσί τε καὶ ἄνθεσι
πρὸς τῆς στρατιῆς βαλλόμενος. ὡς δὲ ταῦτά οἱ τέλος 4
εἶχε, λέγει πρὸς Νέαρχον “ἐγώ σε, ὦ Νέαρχε, οὐκέτι
θέλω τὸ πρόσω οὔτ᾽ οὖν κινδυνεύειν οὔτε ταλαιπωρέε-
σθαι, ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται τὸ ἀπὸ
τοῦδε ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα.” Νέαρχος δὲ 5
ὑπολαβὼν λέγει “ὦ βασιλεῦ, ἐγὼ μέν τοι πάντα πείθε-
σθαι ἐθέλω τε καὶ ἀναγκαίη μοί ἐστιν. ἀλλὰ εἰ δή τι

---

5 τὸν Ἑλλήνων] τὸν prima quae videtur manus corr. ex τῶν A 6 ἐπόμνυσιν Dübn. ἐπομνύειν A ἐπομνύει Reiske μειζόνως Reiske μεῖζον ὡς A μεζόνως Herch. 8 ἔρχεται] ἔχει Herch. ⟨ἐπαν⟩έρχεται Cast. 9 ἀντίρροπον ⟨ἂν⟩ Eberh. 24 οὖν κινδυνεύειν] ἀνακινδυνεύειν Geier 26 an καταστήσῃ? cf. p. 62, 2.3 et v. Kühner-Gerth II p. 449 adn. 4 27 μέν τοι Herch. μέντοι A

καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσῃς ὧδε, ἀλλά
με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστε σοι
6 σῴας καταστήσω ἐς Σοῦσα τὰς νέας, μηδὲ τὰ μὲν χα-
λεπὰ αὐτοῦ τε καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ
ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέους ἤδη ἑτοίμου ἐχόμενα,
7 ταῦτα δὲ ἀφαιρεθέντα ἄλλῳ ἐς χεῖρας διδόσθω." ἔτι
λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσωμο-
λόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτόν, στρατιὴν δοὺς
8 ἐς παραπομπὴν ὡς διὰ φιλίας ἰόντι ὀλίγην. τῷ δὲ οὐδὲ
τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο, ἀλλὰ
συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι τὰ ἐρυμνὰ τῆς
χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης
αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου, ὁ δὲ
νεωστὶ καθεστηκὼς Τληπόλεμος οὔπω βέβαιον τὸ κράτος
9 εἶχε. καὶ δὶς ὧν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ
ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ᾔεσαν,
καὶ οὕτως οὐδέν τι ἐλινύσαντες μόλις καὶ χαλεπῶς ἐπὶ
θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει Νέαρχος Διὶ
Σωτῆρι καὶ ἀγῶνα ποιεῖ γυμνικόν.

37 ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνή-
γοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχείην
ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκουμένῃ,
πλώσαντες σταδίους τριηκοσίους ἔνθενπερ ὡρμήθησαν.
2 καὶ ἡ μὲν ἐρήμη νῆσος Ὀργάνα ἐκαλέετο, ἐς ἣν δὲ ὁρ-
μίσθησαν Ὀάρακτα, ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν καὶ
φοίνικες, καὶ σιτοφόρος ⟨ἦν⟩· τὸ δὲ μῆκος [ἦν] τῆς νή-

18 sq. cf. Anab. VI 27, 1   21 sqq. cf. Nearch. fr. 29 (= Strab. XVI 3, 5–7, p. 766 sq.); Mela III 79 i. f.; Curt. X 1, 14; Plin. N. H. VI 153; Dionys. Perieg. 606 sq.; Berger, Erat. p. 276 sq.; Tom. p. 45 sqq.

2 ἔστ' ⟨ἂν⟩ Herch.   4 αὐτοῦ del. Herch.   21 δὲ Vulc. δὴ A   ἐρῆμον (η supra ο) A (m. pr.)   24. 25 ὡρμίσθησαν Herch. ὡρμήθησαν A   26 vocem ἦν post σιτοφόρος add., post μῆκος del. Herch.

σου στάδιοι ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου Μα-
ζήνης συνέπλει αὐτοῖσι μέχρι Σούσων ἐθελοντὴς ἡγε-
μὼν τοῦ πλόου. ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτου 3
δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον·
ὄνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι, ἀπ' ὅτου καὶ τὴν ἐπω-
νυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι Ἐρυθρὴν καλέεσθαι.
ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλεον· καὶ τῆς νήσου 4
αὐτῆς παραπλώσαντες ὅσον διακοσίους σταδίους ὁρμί-
ζονται ἐν αὐτῇ αὖθις, καὶ καθορῶσιν ἄλλην νῆσον, ἀπέ-
χουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα στα-
δίους. Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι καὶ ἄβατος. ὑπὸ 5
δὲ τὴν ἕω ἀνήγοντο, καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις
οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν
τῷ ξηρῷ ἐσχέθησαν, αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι
τὰς ῥηχίας ἐς τὰ βάθεα ἀπεσώθησαν. αἱ δὲ ἐποκείλασαι 6
τῆς πλημμυρίδος ἐπιγενομένης αὖθις ἐξέπλωσάν τε καὶ
δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς στόλος. ὁρμίζονται 7
δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριακο-
σίους σταδίους, πλώσαντες τετρακοσίους. ἐντεῦθεν ὑπὸ 8
τὴν ἕω ἔπλεον, νῆσον ἐρήμην ἐν ἀριστερᾷ παραμείβον-
τες· ὄνομα δὲ τῇ νήσῳ Πύλωρα. καὶ ὁρμίζον⟨ται⟩ πρὸς
†Ἰδωδώνῃ, πολιχνίῳ σμικρῷ καὶ πάντων ἀπόρῳ ὅτι μὴ
ὕδατος καὶ ἰχθύων· ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ' ἀναγ-
καίης ἦσαν, ὅτι πονηρὰν γῆν νέμονται. ἐνθένδε ὑδρευ- 9
σάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην ἀνατείνουσαν
ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριακοσίους. ἔνθεν 10
ἐς Καταίην, νῆσον ἐρήμην, ἀλιτενέα· αὕτη ἱερὴ Ἑρμέω

3—6 cf. Parth. fr. *71 21 — p. 64, 4 cf. Tom. p. 51 sqq.

6 Ἐρυθρὴν καλέεσθαι del. Herch. 7 ἐκ τῆς νήσου del. Herch.; cf. p. 64, 9/10 10 ταύτης ⟨ἐς⟩ Cast. 15 ante ἀπεσώθησαν litteras δι prior manus expunxit in A 21 ὁρμίζονται Ven. ὁρμίζον A 21. 22 προσιδωδώνῃ A; nomen aliunde ignotum varie in apographis tentatum; πρὸς Σισιδώνῃ inde a Schmiedero ex k in editiones irrepsit 24 ἦσαν del. Cast. εἰσὶν Herch.

καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριηκόσιοι.
11 *ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα*
καὶ αἶγες ἱρὰ τῷ Ἑρμῇ καὶ τῇ Ἀφροδίτῃ, καὶ ταῦτα
ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης.
38 *μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι*
ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην
στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ
Πέρσαι, ὅτι καὶ ὅμοροι εἰσι Πέρσῃσι, καὶ τὰ ἐς τὸν πό-
2 *λεμον ὡσαύτως κοσμέονται. ἐνθένδε ἄραντες ἐκ τῆς*
νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλεον, καὶ κατά-
γονται ἐς Ἴλαν χῶρον, ἵνα λιμὴν πρὸς νήσου σμικρῆς
καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος, ὁ δὲ
3 *πλόος στάδιοι τετρακόσιοι. ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην*
νῆσον πλεύσαντες ὁρμίζονται οἰκουμένην, ἵνα καὶ μαρ-
FGrH 133/fr. 1f *γαρίτην θηρᾶσθαι λέγει Νέαρχος κατάπερ ἐν τῇ Ἰν-*
δῶν θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώ-
σαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν.
4 *ἐνθένδε πρὸς ὄρει ὁρμίζονται ὑψηλῷ — Ὦχος ὄνομα τῷ*
5 *ὄρει — ἐν λιμένι εὐόρμῳ, καὶ ἁλιέες αὐτοῦ ᾤκεον. καὶ*
ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ πεντή-
κοντα ὁρμίζονται ἐν Ἀποστάνοισι· καὶ πλοῖα πολλὰ αὐ-
τόθι ὥρμεε, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης στα-
6 *δίους ἑξήκοντα. νυκτὸς δὲ ἐπάραντες ἔνθεν ἐσπλώουσιν*
ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι. στάδιοι τοῦ
πλόου τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείην. ταύτῃ

---

6 sq. cf. Nearch. fr. 27 (Plin., N. H. VI 107); Strab. XV 2, 1 i. f., p. 720; Berger, Erat. p. 241 adn. 3; p. 249 sqq. 7 sq. cf. Nearch. fr. 26 (Strab. XV 2, 14 i. f., p. 727) 9—p. 65, 7 cf. Tom. p. 54 sqq. 13—16 = Nearch. fr. 30; cf. Androsth. fr. 1 et Chares fr. 12 apud Athen. III p. 93 B. C; Philostr., Vita Apoll. Tyan. III 57

---

9 *ἐκ* — 10 *ἱρῆς* del. Herch.; cf. p. 63, 7 11 *χῶρον* ⟨*οἰκεόμενον*⟩ vel ⟨*εὔορμον*⟩ (vel tale quid) Eberh. coll. p. 56, 6. 7; p. 65, 3 sq., 19 23 *ἄραντες* Herch.; cf. p. 47, 19 25 *ὑπωρείῃ* Herch.; v. ad p. 50, 15

φοίνικές τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα
ἐν τῇ Ἑλλάδι γῇ φύεται. ἔνθεν ἄραντες ἐς Γώγανα 7
παραπλέουσι σταδίους μάλιστα ἐς ἑξακοσίους ἐς χώρην
οἰκουμένην· ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου
— ὄνομα δὲ Ἀρεών — ἐν τῇσιν ἐκβολῇσιν. ἐνταῦθα
χαλεπῶς ὁρμίζονται· στεινὸς γὰρ ἦν ὁ ἔσπλους κατὰ τὸ
στόμα, ὅτι βράχεα τὰ κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε.
καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, 8
διεκπλώσαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς ὄνομα
τῷ ποταμῷ ἦν· οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται,
καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα βράχεα τε
ἦσαν καὶ ῥηχίαι καὶ τενάγεα. ἐνταῦθα σῖτον καταλαμ- 9
βάνουσι πολὺν ξυγκεκομισμένον κατὰ πρόσταξιν βασι-
λέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι· ἐνταῦθα ἔμειναν
ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι, καὶ τὰς νεῦς ἀνειρυ-
σάμενοι, ὅσαι μὲν πεπονήκεσαν ἐπεσκεύαζον, τὰς δὲ
ἄλλας ἐθεράπευον.

ἐνθένδε ὁρμηθέντες εἰς Ἱέρατιν πόλιν ἀφίκοντο, ἐς 39
χῶρον οἰκούμενον. ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι
ὁ πλόος· ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ
ἐμβεβλημένῃ ἐς θάλασσαν, ᾗ ὄνομα ἦν Ἡράτεμις. ἅμα 2
δὲ ἡλίῳ ἀνίσχοντι παραπλέουσιν ἐς ποταμὸν χειμάρρουν,
ὄνομα Πάδαργον, ὁ δὲ χῶρος χερρόνησος ἅπας. καὶ ἐν
αὐτῷ κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα παντοῖα ἐφύετο·
ὄνομα τῷ χώρῳ Μεσαμβρίη. ἐκ Μεσαμβρίης δὲ ὁρμη- 3
θέντες καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διακο-
σίους ἐς Ταόκην ὁρμίζονται ἐπὶ ποταμῷ Γράνιδι. καὶ
ἀπὸ τούτου ἐς τὸ ἄνω ⟨τὰ⟩ Περσῶν βασίλεια ἦν, ἀπέ-

8—25 cf. Tom. p. 58 sqq. 25 — p. 66, 22 cf. Tom. p. 63 sqq.

4 τοῦ ante et post ποταμοῦ del. Herch.; cf. vs. 20 5 δέ ⟨οἱ⟩ Vulc.; cf. Herch. Philol. 7, p. 294 adn. 21; Boehn. p. 25 ἀρεὼν A²BFL, sed fieri potest ut εὐρεὼν A habuerit 21 Ἡράτεμις] Φράτεμις Tom. p. 63 coll. Plin. N. H. VI 99: Phristimus 27 γράνιδι A²FL τράνιδι B, cf. flumen Granis Plin. N. H. VI 99 28 ⟨τὰ⟩ add. Herch.

χοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διακο-
FGrH 133/fr. 1, fr. 27, fr. 28 4 σίους. κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέαρχος
ὀφθῆναι κῆτος ἐκβεβλημένον ἐς τὴν ἠιόνα, καὶ τοῦτο
προσπλώσαντάς τινας τῶν ναυτῶν ἐκμετρῆσαι καὶ φάναι
5 εἶναι πήχεων πεντήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολι-
δωτόν, οὕτω τι ἐς βάθος ἧκον ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν,
ὄστρειά τε καὶ λοπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυ-
κότα. καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ
τῷ κήτει, καὶ τῶν ἐν τῇ ἔσω θαλάσσῃ μείζονας τοὺς δελ-
6 φῖνας. ἐνθένδε ὁρμηθέντες κατάγονται ἐς Ῥώγονιν πο-
ταμὸν χειμάρρουν ἐν λιμένι εὐόρμῳ· μῆκος τοῦ παρά-
7 πλου στάδιοι διακόσιοι. ἐνθένδε τετρακοσίους σταδίους
διεκπλώσαντες αὐλίζονται ἐν ποταμῷ χειμάρρῳ· Βρίζανα
τῷ ποταμῷ ὄνομα. ἐνταῦθα χαλεπῶς ὡρμίσαντο, ὅτι
ῥηχίη ἦν καὶ βράχεα, καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖ-
8 χον. ἀλλ' ὅτε ἡ πλήμμυρα ἐπήει, τότε ὡρμίσαντο· ὑπο-
νοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηρῷ ὑπελείφθησαν αἱ
νῆες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε,
9 τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· ὄνομα δὲ
FGrH 133/fr. 1 τῷ ποταμῷ Ἄροσις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει
Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς τὸν
ἔξω πόντον.

2—10 = Nearch. fr. 31; cf. fr. 29 i. f. (Strab. XVI 3, 7 i. f., p. 767)   20—22 = Nearch. fr. 32

---

6 ὡς] ὥστε Herch., v. ad p. 59, 28   7 ὄστρεια scripsi ὄστρια A ὄστρεα Vulc.; v. ad p. 39, 20   9. 10 τοὺς δελφῖνας, quod ante vocem τῶν habet A, post μείζονας transposuit Herch. ex usu Arrianeo   13 ἐν] ἐπὶ Cast.; cf. p. 57, 17   17 ξηροῦ Herch. coll. Anab. VI 19, 1; 22, 6; cf. Ind. 42, 7; Tact. 2, 2; Helb. p. 61   20 ἄροσις FGHL ἄργις A² ut videtur, sed ita ut etiam ἄροις legere possis ἄρις B; cf. Zarotis Plin. N. H. VI 99 ex Iuba Ὀρόατις Strab. XV 3, 1, p. 727 Oratis Plin. N. H. VI 111. 136 ὀρωῦσιος (gen.) cod. Marciani, Peripl. Maris Exteri I 20 (Geogr. Gr. Min. I p. 529) ὀρατίου vel ὀρατίου I 22 sqq. (l. l. p. 530) ὀροάτιος vel ὀροατίδος codices Ptolem. VI 3, p. 395,

μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τούτων Σού- 40
σιοι. Σουσίων δὲ ἔθνος αὐτόνομον κατύπερθε προσοι-
κέει· Οὔξιοι καλοῦνται, ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ
ἄλλῃ συγγραφῇ ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παράπλου
τῆς Περσίδος χώρης στάδιοι τετρακόσιοι καὶ τετρακισ-
χίλιοι. τὴν δὲ Περσίδα γῆν τρίχα νενεμῆσθαι τῶν 2
ὡρέων λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῇ Ἐρυθρῇ
θαλάσσῃ οἰκεόμενον ἀμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ
καύματος, τὸ δὲ ἐπὶ τῷδε ὡς πρὸς ἄρκτον τε καὶ βο- 3
ρέην ἄνεμον ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων, καὶ
τὴν χώρην ποιώδεά τε εἶναι καὶ λειμῶνας ὑδρηλούς, καὶ
ἄμπελον πολλὴν φέρειν καὶ ὅσοι ἄλλοι καρποὶ πλὴν
ἐλαίης, παραδείσοις τε παντοίοισι τεθηλέναι καὶ ποτα- 4
μοῖσι καθαροῖσι διαρρέεσθαι καὶ λίμνῃσι, καὶ ὄρνισιν
ὁκόσοισιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα
ἵπποισί τε ἀγαθὴν εἶναι καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι
νέμεσθαι, καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθηρον. τὴν 5
δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων χειμερίην τε καὶ νιφε-
τώδεα ***, ὥστε πρέσβεις τινὰς ἐκ τοῦ Εὐξείνου πόν-
του λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας ἐν- FGrH
τυχεῖν κατ' ὁδὸν ἰόντι τῆς Περσίδος καὶ θῶμα γενέσθαι 133 fr. 1
Ἀλεξάνδρῳ καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύ-

---

3. 4 ἐν τῇ ἄλλῃ συγγραφῇ] non de Uxiis Arrianus hoc dixit ubi de iis egit Anab. III 17, sed de eorum finitimis Cossaeis VII 15, 2   17—22 = Nearch. fr. 33

15; 396, 2; VI 4, p. 397, 16 W. Oroates Amm. Marcell. XXIII 6, 26   μέγιστος ⟨δὲ⟩ Herch.

1 τοῦδε Ven. τῶδε A   τούτων] τούτου Herch. τοῦδε Eberh. 2 δὲ BFGHL τὸ δὲ A²   6 τρίχα scripsi coll. Anab. IV 24, 9; Herod. IV 67 τριχᾶ vel τριχὰ A¹BFGHL   9 τὸ] τὰ Herch.   ἐπὶ τῷδε ὡς Reiske ἐπιτελέως A ἐπὶ τῇδε (vel τῷδε) ὡς Müll. ἀπὸ τοῦδε ὡς Herch.   17 πολλαχῇ ⟨εἶναι⟩ Herch. 19 lacunae signa posui νιφετώδεα ⟨εἶναι⟩ Herch., aliquanto plura excidisse suspicatus est Geier ⟨καὶ οὕτω τι Σκυθῶν τῇ χώρῃ προσεχέα⟩ add. Cast., optime quod ad sensum pertinet

6 τητα. Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι λέλεκταί
μοι, κατάπερ Μάρδοι μὲν Πέρσαισι προσεχέες οἰκέουσι,
7 λῃσταὶ καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισι. καὶ ταῦτα
πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος ὥρῃ
ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγον.
8 καὶ πόληας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι ἀλλὰ
ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαί-
νοντες μὴ κακὰ ἀλλήλους ἐργάσονται. ἐνθένδε τὴν Σου-
9 σίων γῆν παρήμειβεν ὁ στρατός. καὶ ταῦτα οὐκέτι ὡσαύ-
τως ἀτρεκέως λέγει Νέαρχος ὅτι ἔστιν οἱ ἐκφράσαι,
πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου·
10 τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν καὶ ῥη-
χίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐσέχουσαν καὶ ταύτῃ
σφαλερὴν ἐγκαθορμίζεσθαι· πελαγίοισιν ὦν σφίσι τὴν
11 κομιδὴν τὸ πολὺ γίνεσθαι. ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ
ποταμοῦ τῶν ἐκβολέων, ἵναπερ ηὐλίσθησαν ἐπὶ τοῖσιν
οὔροισι τῆς Περσίδος, ὕδωρ δὲ ἐμβαλέσθαι καὶ πέντε
ἡμερέων· οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ καθηγεμόνες
τοῦ πλόου.

41 σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται
ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ᾗ οὔνομα Κατάδερβις·
καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔ-

1—3 cf. Nearch. fr. 34 (Strab. XI 13, 6, p. 524) 1. 2 λέλεκταί μοι] Ind. 40, 1; cf. Anab. III 17, 1 3 sqq. cf. Anab. VII 15, 3 8—19 cf. Nearch. fr. 35 (Strab. XV 3, 5, p. 729); Nearch. apud Strab. XV 3, 11 i. f., p. 732 15—22 cf. Tom. p. 71 sqq.

---

1 ὅτι Ven. οὔτι A 2 πέρσαισι A^{2}B πέρσεσι L πέρσαις F πέρσῃσι G, cf. Roos dial. p. 35 3. 4 πάντα ταῦτα Herch. 6 πόλιας Vulc., cf. Roos dial. p. 37 8 ἐργάσονται Herch. ἐργάσωνται A 10 ἐκφράσαι Schmied. ex k φράσαι A in initio lineae, sed ante hanc vocem duae litterae evanuisse et vestigia litterae ε superesse videntur 13 ἐσέχουσαν A^{2}FGL ἐπέχουσαν B, cf. p. 71, 16 13 ταύτῃ Reiske Herch. ταύτην A 15 γενέσθαι Gron., cf. Kühner-Gerth I p. 193 adn. 4 17 ἐμβαλέσθαι G ἐμβάλλεσθαι A^{2}BFHL

νομα. ἐνθένδε ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βράχεα 2
ἐκομίζοντο ἐπὶ μιᾶς νεώς· πασσάλοις δὲ ἔνθεν καὶ ἔν-
θεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βράχεα, κατάπερ ἐν τῷ
μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης
ἀποδέδεικται σημεῖα τοῖσι ναυτιλλομένοισι τοῦ μὴ ἐπο-
κέλλειν ἐν τοῖσι βράχεσι τὰς νέας. ἀλλὰ τὰ μὲν κατὰ 3
Λευκάδα ψαμμώδεα ὄντα καὶ τοῖσιν ἐποκείλασι ταχεῖαν
τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ πηλός ἐστιν ἐφ' ἑκά-
τερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης, ὥστε οὐδεμιᾷ
μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. οἵ τε γὰρ κοντοὶ 4
κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοὶ οὐδέν τι ἐπωφέλουν,
ἀνθρώπῳ τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεό-
μενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ τοῦ πηλοῦ ἔστε
ἐπὶ τὰ στήθεα. οὕτω δὴ χαλεπῶς διεκπλώσαντες στα- 5
δίους ἑξακοσίους κατὰ ναῦν ἕκαστοι ὁρμισθέντες ἐνταῦ-
θα δείπνου ἐμνήσθησαν. τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα 6
ἔπλεον καὶ τὴν ἐφεξῆς ἡμέρην ἔστε ἐπὶ βουλυτόν· καὶ
ἦλθον σταδίους ἐνακοσίους, καὶ καθωρμίσθησαν ἐπὶ
τοῦ στόματος τοῦ Εὐφράτου πρὸς κώμῃ τινὶ τῆς Βαβυ-
λωνίης χώρης — ὄνομα δὲ αὐτῇ Διρίδωτις —, ἵνα λι- 7
βανωτόν τε ἀπὸ τῆς Γερραίης γῆς οἱ ἔμποροι ἀγινέουσι
καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει. ἀπὸ 8
δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἔστε Βαβυλῶνα πλοῦν
λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τρια-
κοσίους.

ἐνταῦθα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλ- 42

1—25 cf. Tom. p. 74 sqq. 22—25 cf. Nearch. fr. 35 i. f. (Strab. XV 3, 5, p. 729) 26 — p. 71, 10 cf. Tom. p. 80 sqq.

4 ἰσθμῷ] πορθμῷ Reiske 7 καὶ del. Reiske Schmied. 12 ἀνθρώποις Herch. 19 τῷ στόματι Schmied. ex k, cf. Helb. p. 57 21 Γερραίης Müll. (qui etiam ἐμπορικῆς coni.) ἐμπορίης A Ὁμηριτῶν Reiske περαίης Dübn. πέριξ Herch.; cf. Strab. XVI 3, 3, p. 766 ἀγεινέουσι A, corr. Vulc. 23 ἔστε ⟨ἐπὶ⟩ Herch.; v. ad p. 3, 1 πλοῦν del. Herch.; an ⟨τὸν⟩ πλοῦν? sed cf. p. 7 90, 9

*λεσθαι. ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν
Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμῖξαι Ἀλεξάν-*
2 *δρῳ. ἔπλεον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερᾷ τὴν γῆν τὴν
Σουσίδα ἔχοντες, καὶ παραπλέουσι λίμνην, ἐς ἣν ὁ Τί-*
3 *γρης ἐσβάλλει ποταμός, ὃς ῥέων ἐξ Ἀρμενίης παρὰ πό-
λιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέ-
σην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ γῆν Με-*
4 *σοποταμίην ἐπὶ τῷδε κληίζεσθαι ποιέει. ἀπὸ δὲ τῆς
λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλους στάδιοι ἑξακόσιοι,
ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν· αὕτη
δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους. μῆκος τοῦ
παράπλου τῆς Σουσίων γῆς ἔστε ἐπὶ ⟨τὸ⟩ στόμα τοῦ*
5 *Πασιτίγριδος ποταμοῦ στάδιοι δισχίλιοι. ἐνθένδε κατὰ
τὸν Πασιτίγριν ἄνω ἀνέπλεον διὰ χώρης οἰκουμένης
καὶ εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ὡς πεντή-
κοντα καὶ ἑκατὸν αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕσ-
τινας ἐστάλκει Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς*
6 *εἴη. αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε,*
7 *καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. ὡς δὲ
προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὖθις
ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμί-
ζονται, ἐφ' ᾗ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέ-*

8—13 cf. Nearch. fr. 35 i. f. (Strab. XV 3, 5, p. 729)

---

2 *Πασιτίγριν* Dübn. *πασιτίγρην* A; v. ad Anab. III 17, 1 4. 5 *τίγρης* an *τίγρις* scriptum sit in A incertum 7 *ἑωυτοῦ* A[2]L *ἑαυτοῦ* BFH 7 sq. *γῆν* scripsi *ἣν* A voces *ἣν — κληίζεσθαι* in parenthesi posuit et *ἀπείργει* pro *ποιέει* scripsit Herch. *ποταμοῦ ⟨χώρ⟩ην Μεσοποταμίην ἐπὶ τῷδε κληίζεσθαι ποιέει* vel *ποταμοῦ, ἣν Μεσοποταμίην ἐπὶ τῷδε κληίζεσθαι ποιέει, ⟨ἀπείργει⟩* Cast. 9 *ἀνάπλους* del. Herch.; cf. Strab. XV 3, 5 p. 729 (e Nearcho) *διὰ δὲ τῆς λίμνης ἐπὶ τὸ στόμα τοῦ Τίγριος τὸν ἀνάπλουν εἶναι σταδίων ἑξακοσίων* 12 ⟨*τὸ*⟩ add. Herch. 14 *ἄνω* del. Herch. 16 *αὐτοῦ* del. Herch. 20 *ἤδη* (post *ἔπλεον*) del. Herch. 22 *ᾗ*] *ἧς* Herch.; v. ad p. 66, 17

ξανδρος ἐς Σοῦσα. ἐνταῦθα ἀνεμίχθη ὁ στρατός, καὶ 8
θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ
τῶν ἀνθρώπων τῇ σωτηρίῃ, καὶ ἀγῶνες ἐποιέοντο·
καὶ Νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε
καὶ ταινίῃσιν ἐβάλλετο. ἔνθα καὶ χρυσέῳ στεφάνῳ στεφα- 9
νοῦνται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεόννατος, Νέ-
αρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ, Λεόννατος δὲ
ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείταις
προσοικέοντας βαρβάρους. οὕτω μὲν ἀπεσώθη Ἀλεξάν- 10
δρῳ ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.

τὰ δὲ ἐν δεξιᾷ τῆς Ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βα- 43
βυλωνίην Ἀραβίη ἡ πολλή ἐστι, καὶ ταύτης τὰ μὲν κατ-
ήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ
τὴν Παλαιστίνην Συρίην, πρὸς δυομένου δὲ ἡλίου ὡς
ἐπὶ τὴν εἴσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέ-
ουσι. κατὰ δὲ Αἴγυπτον εἰσέχων ἐκ τῆς μεγάλης θαλάσ- 2
σης κόλπος δῆλον ποιέει ὅτι ἕνεκά γε τοῦ σύρρουν εἶναι
τὴν ἔξω θάλασσαν περίπλους ἂν ἦν ἐκ Βαβυλῶνος ἐς
τὸν κόλπον τοῦτον ⟨τὸν⟩ ἐπέχοντα ὡς ἐπ' Αἴγυπτον.
ἀλλὰ γὰρ οὔ τις παρέπλωσε ταύτῃ οὐδαμῶν ἀνθρώπων 3
ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κο-
μιζόμενοι. ἀλλὰ οἱ ἀπ' Αἰγύπτου γὰρ ἐς Σοῦσα ἀποσω- 4
θέντες τῆς στρατιῆς τῆς Καμβύσεω καὶ οἱ παρὰ Πτολε-

5—9 cf. Anab. VII 5, 4—6 11 sqq. cf. Berg., Erat. p. 93 sq. 20—22 de Eratosthenis, qui Arabiam iussu Darei Hystaspis circumnavigatam esse (cf. Reese p. 39 sq.) ignorasse videtur, non de Arriani aetate hoc valet 22 sq. hunc locum cum reliquorum historicorum de Cambyse eiusque exercitu ex Aegypto redeunte narrationibus non componi posse adnotat Schmied. 23 sqq. cf. Tarn, Classical Review 40, 1926, p. 13

---

1 ἀνεμίγη Herch. 4 ὅποι] ὅκου Herch. 5 ταινίῃσιν Ven. ταινίοισιν A 5. 6 στεφανοῦνται Vulc. στεφανοῦται A 12 τὰ μὲν ⟨πρὸς βορέην ἄνεμον⟩ Reiske 14 παλαιστήνην A, corr. Ven. 16 Αἴγυπτον] νότον Reiske 19 ⟨τὸν⟩ add. Reiske ἐπέχοντα A^2 (et ni fallor A^1) F ἐσέχοντα (vel ἐσέχον) BGHL 22 ἀπ' G ἐπ' A^2BFH

μαίου τοῦ Λάγου παρὰ Σέλευκον τὸν Νικάτορα στα-
5 λέντες ἐς Βαβυλῶνα διὰ τῆς Ἀραβίης χώρης ἰσθμόν τινα διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ ταῖς πάσαις ἄνυδρον καὶ ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες ὕδωρ τε σφιν ἐπὶ τῶν καμήλων φέροντες καὶ νυκτοπορέοντες· τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ
6 καῦμα ἀδύνατοι ἦσαν. τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς χώρης, ἥντινα ἰσθμὸν ἀπεφαίνομεν ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν Ἐρυθρὰν θάλασσαν, οἰκεόμενα εἶναι, ὁπότε τὰ πρὸς ἄρκτον μᾶλλον
7 αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ' Αἴγυπτον ὁρμηθέντες ἄνθρωποι ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα παραπλώσαντες τῆς Ἀραβίης ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω
8 ἀπενόστησαν. ἐκ Βαβυλῶνός τε οὕστινας ἔστειλεν Ἀλέξανδρος ὡς ἐπὶ μήκιστον πλέοντας ἐν δεξιᾷ τῆς Ἐρυθρῆς θαλάσσης γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νήσους μέν τινας κατεσκέψαντο ἐν τῷ παράπλῳ κειμένας,
9 καί που καὶ τῆς ἠπείρου τῆς Ἀραβίης προσέσχον, τὴν δὲ ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβα-
10 λὼν ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ⟨τὰ⟩ ταύτῃ, ὑπ'

---

17 sqq. οὕστινας ἔστειλεν Ἀλέξανδρος] Archias Pellaeus, Androsthenes Thasius, Hiero Solensis, cf. Anab. VII 20, 7—9 21 sqq. cf. Ind. 32, 6 sqq., Anab. l. l.

---

3 ἡμέρῃσιν BG ἡμέρυσι A² ἡμέραις FH 6 τῆς γὰρ ἡμέρης Cast., sed cf. Anab. IV 21, 4 8 ἀπεφαίνομεν Herch. ἀποφαίνομεν A 11 ἐπέχοντα Cast. 13 ⟨τοῦ⟩ ἐλθεῖν Herch., sed infinitivus ab ὁρμηθέντες pendet 17 τε] δὲ Herch. 19 ⟨τοῦ⟩ γνῶναι Herch., sed infinitivus ab ἔστειλεν pendet 25 ⟨τὰ⟩ add. Reiske

*Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλω-
τά τε καὶ βαδιστὰ ἐόντα. καὶ Ἄννων δὲ ὁ Λίβυς ἐκ Καρ-* 11
*χηδόνος ὁρμηθεὶς ὑπὲρ μὲν Ἡρακλείας στήλας ἐξέπλω-
σεν ἐς τὸν ἔξω πόντον, ἐν ἀριστερᾷ τὴν Λιβύην γῆν
ἔχων, καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ
ἐγένετο τὰς πάσας πέντε καὶ τριάκοντα ἡμέρας· ὡς δὲ* 12
*δὴ ἐς μεσημβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν
ἐνετύγχανεν ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι
καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. ἀλλ' ἡ* 13
*Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖς ἐρημοτέροις πεπολισμένη
ποιώδης τέ ἐστι καὶ μαλθακὴ καὶ εὔυδρος καὶ ἄλσεα καὶ
λειμῶνες, καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμφορός
⟨ἐστι⟩ ἔστε ἐπὶ τοῦ σιλφίου τὰς ἐκφύσεις· ὑπὲρ δὲ τὸ
σίλφιον τὰ ἄνω αὐτῆς ἔρημα καὶ ψαμμώδεα.*
οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς 14
ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.

---

2 Hannonis Periplum vide in Mülleri Geographis Graecis Minoribus, Vol. I, p. 1—14; cf. Daebritz, R. E. VII p. 2360 sqq., s. v. Hanno 26 5 *πρὸς ἀνίσχοντα ἥλιον*] cf. Müller, Geogr. Gr. Min. I, Praef. p. XXVIII § 41; Berg., Erdk. p. 399 sq.
6 *πέντε καὶ τριάκοντα ἡμέρας*] cf. Müller, l. l. p. XXV § 37
7 sqq. *πολλῇσιν ἀμηχανίῃσιν κτλ.*] cf. Hanno § 15 sqq.

---

1 *πολυπραγμοσύνη|ς*] in hac voce desinit codicis A ultimum folium superstes *ἐξελήλεγκτο* kFGH *ἐξελήλεκτο* BL 2 *ἐόντα* kGL *ὄντα* B *εἶναι* FH 4 *ἔξω*, quod post *ἐξέπλωσεν* habent libri, transposuit Herch. 6 *τριάκοντα* kFGH *τριήκοντα* B 7 *ἐξετράπετο* FGH *ἐξετρέπετο* kBL *ἀμηχανίησιν* G *ἀμηχανῇσιν* kBL *ἀμηχανίαις* FH 10 *πεπολισμένη* kBGH *τε πολισμένη* FL 11 *καὶ μαλθακὴ* del. Herch. 11. 12 *καὶ ἄλσεα καὶ λειμῶνες* del. Herch., sed cf. Ind. 40, 3 13 ⟨*ἐστι*⟩ addidi

Τοῦ Ἀρριανοῦ Κυνηγετικοῦ κεφάλαια.

α Προοίμιον, ἐν ᾧ καὶ τὰ Ξενοφῶντι παραλειφθέντα εἰπεῖν Ἀρριανὸς ἐπαγγέλλεται.

β Ὅτι Ξενοφῶν οὐκ ᾔδει τὰς Κελτικὰς κύνας οὐδὲ τὰς ταύταις ὁμοίας.

γ Περὶ Κελτικῶν κυνῶν, καὶ οἷαι τὴν ἰδέαν αὗται.

δ Περὶ σημείων, ἀφ' ὧν δεῖ τὰς ταχείας τεκμαίρεσθαι κύνας καὶ τὸ ἐναντίον.

ε Περὶ τῆς τοῦ συγγραφέως κυνός, ὁποία ποτ' ἦν.

ς Περὶ χρωμάτων, καὶ ὡς ἂν ἔχωσι ταῦτα ὅτι ἀδιάφορον.

ζ Περὶ τῆς γνώμης τῶν κυνῶν, ὁποῖα ταύτης τὰ σημεῖα.

η Περὶ τοῦ πῶς διαγνωστέον ἀπὸ τοῦ ἐσθίειν τὴν ποιότητα τῶν κυνῶν.

ϑ Περὶ τοῦ μετὰ τίνων καὶ πῶς κοιταστέον τὰς κύνας.

ι Ὅτι ἡ τρῖψις ταῖς κυσὶν ὠφέλιμος, καὶ πῶς ταύτας δεῖ ἀποτρίβειν.

ια Ὅτι ἄμεινον δεδέσθαι τὰς κύνας ἢ λελυμένας εἶναι.

ιβ Περὶ τοῦ ἐπὶ πόσον τῆς ἡμέρας προακτέον τὰς κύνας, καὶ πόσας καὶ ποίας ἐν ταὐτῷ λυτέον.

ιγ Περὶ τοῦ ποσάκις δεῖ ἐν χειμῶνι ἢ θέρει σιτεῖσθαι τὰς κύνας.

ιδ Περὶ τοῦ ποίῳ καιρῷ ἐξακτέον τὰς κύνας ἐπὶ θήραν.

ιε (19) Πῶς Κελτοὶ θηρῶσι καὶ πότε.

ις (15) Περὶ διαστήματος, ἀφ' ὅτου δεῖ τῷ λαγῷ ἐπιλύειν τὰς κύνας, καὶ πόσας ταύτας.

---

1 ἀρριανοῦ erasum P 2. 3 εἰπεῖν] ἐρεῖν Eberh. 3 Ἀρριανὸς] οὗτος nunc P, sed litteras οὑτ recens manus in rasura scripsit et vestigia accentus gravis supra ος supersunt, ut ἀρριανὸς scriptum fuisse certum sit 10 ἔχωσιν et similia in adnotationibus marginalibus P

ιζ (16) Περὶ λαγωῶν, καὶ τίς ἡ τούτων ἀρετή.

ιη (17) Ὅτι τὸ ἀνακαλεῖν ἐν ταῖς θήραις τὰς κύνας ἀγαθὸν ταύταις.

ιθ (18) Ὅτι δεῖ τὴν κύνα καλῶς ἠγωνισμένην καταψῶντα ἐπευφημεῖν.

κ Ὅπως εἰς κυνηγέσιον ἐξιέναι χρὴ τοὺς μὴ τὸ θήραμα οὗ ἐστιν ἐγνωκότας.

κα Περὶ τοῦ πῶς θηρῶσι Κελτοί.

κβ Ὅτι οὐ χρὴ ἐπιλύειν κύνας νεογνῷ θηράματι.

κγ Πῶς θηρατέον ἐλάφους ἢ ἄλλο τι μέγιστον.

κδ Ὅπως Λίβυες μεθ' ἵππων αἱροῦσι τὰ μεγάλα θηράματα.

κε Περὶ τοῦ ἀφ' οἵας ἡλικίας δεῖ ἐξάγειν εἰς θήραν τὰς θηλείας κύνας.

κς Περὶ ἀρρένων κυνῶν, ἀφ' οἵας ἡλικίας χρεὼν αὐτοὺς ἐπὶ θήραν ἐξάγειν.

κζ Πῶς ἐπὶ ὀχείαν ἀκτέον τὰς κύνας.

κη Ὅτι, εἴ τις δρῴη τὴν μῖξιν τῶν κυνῶν, οὐκ ἐπιτελεῖται γόνιμος.

κθ Περὶ καιροῦ πρὸς σκυλακείαν ἐπιτηδείου.

λ Πῶς μετὰ τὸ τεκεῖν ἐπαναληπτέον εἰς τὸ ἐξ ἀρχῆς τὸν δρόμον τῶν κυνῶν.

λα Περὶ ὧν Ξενοφῶν ὑπὲρ ἀνατροφῆς κυνῶν διατάττεται.

λβ Διαφοραὶ ἄρρενος καὶ θηλείας κυνός.

λγ Ὅτι δεῖ τοὺς κυνηγέτας θύειν τῇ Ἀρτέμιδι.

λδ Περὶ τοῦ Κελτῶν νόμου καὶ τοῦ ὑπ' αὐτῶν γινομένου ἐράνου τῇ Ἀρτέμιδι.

λε Παραίνεσις πρὸς τὸ θύειν τοῖς ἐφόροις τῶν ἐν ἀνθρώποις ἐπιτηδευμάτων.

λς Ἐξ Ὁμήρου μαρτύρια, ὅτι χρὴ θύειν τοῖς τῶν πραγμάτων εὑρεταῖς ἐν τῇ τῶνδε μεταχειρίσει.

---

12 δεῖν P, corr. Holst. 29 μαρτυρία P, corr. Holst.
30 εὑρεταῖς] socordiae scriptoris documentum: Eberh.

ΑΡΡΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΟΣ

1 *Ξενοφῶντι τῷ Γρύλλου λέλεκται ὅσα ἀγαθὰ ἀνθρώ-
ποις ἀπὸ κυνηγεσίων γίγνεται, καὶ οἱ παιδευθέντες ὑπὸ
Χείρωνι τὴν παίδευσιν ταύτην ὅπως θεοφιλεῖς τε ἦσαν
καὶ ἔντιμοι ἀνὰ τὴν Ἑλλάδα, λέλεκται δὲ καὶ καθ᾽ ὅ τι
ἔοικεν τῇ πολεμικῇ ἐπιστήμῃ ἡ κυνηγετική, καὶ ἥντινα
ἡλικίαν ἔχοντα χρὴ ἐλθεῖν ἐπὶ τὸ ἔργον, καὶ τὸ εἶδος
καὶ τὴν γνώμην ποῖόν τινα· καὶ περὶ ἀρκύων δὲ καὶ
δικτύων καὶ ἐνοδίων ὁποῖα χρὴ παρασκευάσασθαι, καὶ
2 πάγας ὅπως ἱστάναι τοῖς θηρίοις ὅσα πάγῃ ἁλωτά. καὶ
περὶ λαγωῶν δὲ λέλεκται, ἥτις ἡ φύσις αὐτῶν, καὶ ὅπως
νέμονται καὶ ὅπου εὐνάζονται, καὶ ὅπως χρὴ μαστεύειν
αὐτούς· καὶ περὶ κυνῶν, ὅσαι ἰχνεύειν σοφαὶ καὶ ὅσαι
πονηραί, καὶ ὅπως ἀπό τε τοῦ εἴδους καὶ τῶν ἔργων
3 τεκμαίρεσθαι χρὴ ἑκατέρας. ἔστιν δὲ ἃ καὶ περὶ συῶν
θήρας λέλεκται καὶ ἐλάφων καὶ ἄρκτων καὶ λεόντων,
4 ὅπως σοφίᾳ καὶ δόλῳ ἁλωτά. ὅσα δὲ ἐλλείπειν μοι δοκεῖ
ἐν τῷ λόγῳ, οὐχὶ ἀμελείᾳ ἀλλ᾽ ἀγνοίᾳ τοῦ γένους τῶν
κυνῶν τοῦ Κελτικοῦ καὶ τοῦ γένους τῶν ἵππων τοῦ
Σκυθικοῦ τε καὶ Λιβυκοῦ, ταῦτα λέξω, ὁμώνυμός τε ὢν*

---

2 Xen. Cyn. 1 5 Xen. Cyn. 12 7 Xen. Cyn. 2, 1. 2
8—10 Xen. Cyn. 2, 3—9 11 Xen. Cyn. 5 13 Xen. Cyn. 3. 4
15 Xen. Cyn. 9—11

Titulus. ᾿ΑΡΡΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΌϹ P, sed voci *᾿Αρριανοῦ* paene erasae recens manus superscripsit *ξενοφῶντος ἀθηναίου τοῦ δευτέρου* 2 *γρύλου* P, corr. Holst. 8 *γνώμην*] *φωνὴν* Pierl. coll. Xen. Cyn. 2, 3 in. *ὁποῖόν* Herch. 20 *καὶ* ⟨*τοῦ*⟩ Herch.

αὐτῷ καὶ πόλεως τῆς αὐτῆς καὶ ἀμφὶ ταὐτὰ ἀπὸ νέου
ἐσπουδακώς, κυνηγέσια καὶ στρατηγίαν καὶ σοφίαν·
ἐπεὶ καὶ αὐτὸς ἐκεῖνος, ἃ Σίμωνι περὶ ἱππικῆς ἐνδεῶς 5
λελεγμένα ἦν, ᾠήθη δεῖν ἀναγράψαι, οὐχὶ ἔριδι τῇ πρὸς
Σίμωνα, ἀλλ' ὅτι ὠφέλιμα ἐς ἀνθρώπους ἐγίγνωσκεν.

ὅτι μὲν δὴ οὐκ ἠπίστατο τὸ γένος τῶν κυνῶν τὸ Κελ- 2
τικόν, δοκῶ ἔγωγε ὡς οὐδὲ τεκμηρίων δεῖ πρὸς αὐτό·
ἄγνωστα γὰρ ἦν τὰ ἔθνη τῆς Εὐρώπης ὅσα ταύτῃ ᾤκι-
σται, ὅτι μὴ τῆς Ἰταλίας ὅσα Ἕλληνες κατέσχον, ἢ ὅσοις
κατ' ἐμπορίαν διὰ θαλάσσης ἐπεμίγνυον. ὡς δὲ οὐδὲ ἄλλο 2
γένος κυνῶν ἐγίγνωσκεν, ὃ ἂν κατὰ ὠκύτητα ἔοικεν τῷ
Κελτικῷ, τεκμαίρεσθαι ὑπάρχει ἀπὸ τῶνδε. λέγει γὰρ
ὡς ὅσοι ἁλίσκονται λαγωοὶ ὑπὸ κυνῶν, παρὰ φύσιν σώ-
ματος ἁλίσκονται ἢ τύχῃ χρησάμενοι. εἰ δέ γε ἠπίστατο 3
τὰς κύνας τὰς Κελτικάς, ταὐτὸν τοῦτο δοκεῖ ἄν μοι ἀπο-
φήνασθαι περὶ τῶν κυνῶν, ὡς ὁπόσους λαγωοὺς οὐχ
αἱροῦσιν κύνες κατὰ πόδας, παρὰ φύσιν σώματος οὐχ
αἱροῦσιν ἢ τύχῃ χρησάμεναι. ὡς ὅσαι γε ἀγαθαὶ τὸ σῶμα
καὶ τὸν θυμὸν γενναῖαι, ταύτας δὲ οὐκ ἄν ποτε διαφύ-
γοι λαγώς, εἰ μή τις δυσχωρία ἐμποδὼν γένοιτο, ἢ
ὕλη ἀποκρύψασα, ἢ κατάδυσις τῆς γῆς κοίλη καὶ βα-
θεῖα ἀφελομένη ⟨τοῦ κινδύνου⟩, ἢ τάφρος διαδραμεῖν
ἐν τῷ ἀφανεῖ παρασχοῦσα. ἐνθένδε, οἶμαι, ὅπως μὲν ἐπὶ 4
τὰς ἄρκυς χρὴ ἐπελαύνειν τὸν λαγὼν ἐπεξέρχεται τῷ
λόγῳ, καὶ εἰ παραδράμοι τὰς ἄρκυς, ὅπως χρὴ μεταθεῖν

---

3 Xen. De re equestri 1, 1 12 Xen. Cyn. 5, 29 23—p. 78, 2 Xen. Cyn. 6, 24 sqq.

---

3 σίμωνι corr. e σήμωνι P^1 4 ᾠήθη corr. ex οἰήθη P^1 ἔριδί τῷ Haupt 5 ἐς Herch. ἐπ' P 7 οὐδὲν Cast. 8 ἦν ⟨αὐτῷ⟩ Herch. ἦν ⟨τότε⟩ Eberh. ταύτῃ Holst. ταὐτ (sic) P, post τ una littera erasa 9 κατεῖχον Herch. 11 ἂν del. Sauppe ἐοίκοι Steph. 12 λέγειν P, corr. Holst. 13. 14 τοῦ σώματος Xen. Cyn. 5, 29 19 δὲ] δὴ Steph.; cf. Ind. 30, 9; Cyn. 3, 6 i. f.; 7, 3 i. f.; 36, 4 21 τῆς γῆς del. Herch. 22 ⟨τοῦ κινδύνου⟩ addidi coll. Arr. Cyn. 16, 2

αὐτὸν καὶ ἀνευρίσκειν κατὰ τὸ ἴχνος, ἔστε ἁλῶναι ἀπα-
5 *γορεύσαντα ὑπὸ καμάτου. ὅτι δὲ οὐδὲν οὔτε ἀρκύων δεῖ τῷ κύνας ἀγαθὰς κεκτημένῳ οὔτε τοῦ μαστεύειν διαφυγόντα, οὐδαμοῦ τοῦτο ἐδήλωσεν, ἀλλὰ τὴν θήραν ταύτην μόνην ἐξηγεῖται, ἣν Κᾶρες τε καὶ Κρῆτες ⟨θηρῶσιν⟩.*
3 *θηρῶσιν δὲ [καὶ] Κελτοὶ ἀφαιροῦντες ἄρκυς, ὅσοι οὐκ ἀπὸ κυνηγεσίων βιοτεύουσιν ἀλλ' αὐτοῦ τοῦ ἐν θήρᾳ καλοῦ ἕνεκα· ἔστιν γὰρ καὶ ταύτῃ κυνῶν γένος ἰχνεῦσαι μὲν οὐ μεῖον σοφὸν ἢ τὸ Καρικὸν καὶ Κρητικόν, τὴν δὲ ἰδέαν*
2 *ἀνιαρὸν καὶ θηριῶδες. καὶ αὗται ἰχνεύουσιν ξὺν κλαγγῇ καὶ ὑλαγμῷ, ὁπόσα αἱ Καρικαὶ ἐπικλάζουσαι. ἀλλ' αὗταί γε ἔτι μᾶλλον ἔκφρονες γίγνονται, ἐπειδὰν αἴσθωνται*
3 *ἴχνους· καὶ ἔστιν ὅτε καὶ ἐπὶ ἑώλοις ὑπερλαμπρύνονται. ὥστε ἐμεμψάμην ἔγωγε αὐτῶν τὸ πολὺ τῆς κλαγγῆς καὶ τὸ ὅμοιον ἐπὶ παντὶ ἴχνει καὶ τῷ δρομαίῳ οὐ μεῖον ἢ τῷ*
4 *εὐναίῳ. μεταθεῖν δὲ καὶ ἀνευρίσκειν τὸν ὑποκινήσαντα οὔτε τῶν Καρικῶν φαυλότεραί εἰσιν οὔτε τῶν Κρητικῶν, ὅτι μὴ κατὰ τὴν ὠκύτητα. ἀγαπητὸν γοῦν εἰ καὶ ἕνα λαγὼν χειμῶνος ὥρᾳ κατακαίνοιεν· τοσαύτην διατριβὴν ἐς τὸ ἀναπαύεσθαι αὐτῷ παρέχουσιν, εἰ μή τι ἄρα ὑπὸ θορύβου τῶν κυνῶν ἁλοίη ἔκφρων γενόμενος. καλοῦνται δὲ Σεγούσιαι αἵδε αἱ κύνες, ἀπὸ ἔθνους Κελτικοῦ τὴν ἐπωνυμίαν ἔχουσαι, οὗ πρῶτον, ὥς γέ μοι δοκεῖ, ἔφυσάν τε καὶ εὐδοκίμησαν.*

---

4 *ἀλλὰ* Sauppe *ἀλλ' ἢ* (sic) P 5 ⟨*θηρῶσιν*⟩ add. Holst. 6 [*καὶ*] delevi; cf. c. 19, 1; 21, 1 *ἀφαιροῦντες* ⟨*τὰς*⟩ Herch. *ὅσοι* ⟨*γε*⟩ Herch. 7 *ἀλλ'* del. Herch. 11 *ὁπόσα αἱ* Herch. *ὁπόσαι* P *ὅπως αἱ* Holst. *ὥσπερ αἱ* Schneid. 15 *καὶ* post *ἴχνει* del. Herch. 19 *κατακάνοιεν* Herch., cf. Ind. 11, 10 19. 20 *ἐς τὰ* P, corr. Holst. 20. 21 *θορύβου τῶν* scripsi coll. c. 20, 3 *θορυβούντων* P ⟨*τοῦ*⟩ *θορύβου τῶν* Herch. in editione a. 1854, p. XXIV extr., sed cf. Anab. VI 25, 2 *ὑπὸ βάθους τῆς ψάμμου*; VII 21, 6 *ὑπὸ στερρότητος τῆς γῆς* 21 *ἀλώη* P, corr. Dind., cf. Cobet, Miscellanea critica p. 376 sqq. 22 *Σεγουσίαι* Blanc. (accentum correxit Dind.) *ἑγουσίαι* P; cf. Holder, Alt-Celtischer Sprachschatz II p. 1457 s. v. Segusius 23 *ὥς γ'*

ἀλλ' ὑπὲρ μὲν τούτων, ὅσα ἄν τις τῷ λόγῳ ἐπεξέλθοι, 5
λελεγμένα ἐρεῖ πρὸς Ξενοφῶντος τοῦ πάλαι· οὐδὲν
γὰρ ἴδιον οὐδὲ διάφορον ἐν τῷ μαστεύειεν ἢ μεταθεῖν
ἐπιδεικνύουσιν, πλήν γε δὴ εἴ τις ἐθέλοι περὶ τῆς ἰδέας
αὐτῶν λέγειν, ὡς ἔμοιγε οὐ δοκεῖ ἄξιον ὅτι μὴ αὐτὸ
τοῦτο εἰπεῖν μόνον, ὥς εἰσιν δασεῖαι καὶ πονηραὶ ἰδεῖν,
καὶ ὅσαι γενναιόταται αὐτῶν, αὗται αἱ πονηρόταται,
ὥστε εὐδοκιμεῖ ἐν Κελτοῖς ὁ ἀπεικάσας αὐτὰς τοῖς ἀνὰ
τὰς ὁδοὺς πτωχεύουσιν. καὶ γὰρ φωνὴ αὐταῖς γοερά τε
καὶ ἐλεεινή ἐστιν, καὶ οὐχ ὡς θυμούμεναι ἄρα πρὸς τὸ
θηρίον ἐπικλάζουσιν ἐν τῇ ἰχνείᾳ, ἀλλὰ ὡς οἰκτιζόμεναι
καὶ λιπαροῦσαι. περὶ μὲν δὴ τούτων οὐκ ἄν τις ἀνα- 6
γράψαι μοι δοκεῖ ὅ τι καὶ λόγου ἄξιον.

αἱ δὲ ποδώκεις κύνες αἱ Κελτικαὶ καλοῦνται μὲν
οὐέρτραγοι φωνῇ τῇ Κελτῶν, οὐκ ἀπὸ ἔθνους οὐδενός,
καθάπερ αἱ Κρητικαὶ ἢ Καρικαὶ ἢ Λάκαιναι, ἀλλὰ ὡς
τῶν Κρητικῶν αἱ διάπονοι ἀπὸ τοῦ φιλοπονεῖν καὶ ⟨αἱ⟩
ἰταμαὶ ἀπὸ τοῦ ὀξέος καὶ αἱ μικταὶ ἀπ' ἀμφοῖν, οὕτω δὲ
καὶ αὗται ἀπὸ τῆς ὠκύτητος. τὴν δὲ ἰδέαν καλόν τι 7
χρῆμά εἰσιν κατά τε τοὺς ὀφθαλμοὺς αἱ γενναιόταται
αὐτῶν καὶ κατὰ τὸ σῶμα ἅπαν καὶ τὴν τρίχα καὶ τὴν
χρόαν· οὕτω ταῖς τε ποικίλαις ἐπανθεῖ τὸ ποικίλον, καὶ
ὅσαις ἁπλῆ ἡ χρόα ἐστίν, ἀποστίλβει καὶ αὕτη, καὶ
ἔστιν ἥδιστον θέαμα ἀνδρὶ θηρευτικῷ.

---

2 Xen. Cyn. 8 14 sqq. cf. Kell. Tierw. I p. 102; Orth, R. E. VIII p. 2553 15 οὐέρτραγοι] cf. Grattius, Cyneg. 203; Martialis XIV 200; Firmicus Mat., Math. V 8 17 διάπονοι] cf. Pollux, Onomast. V 40 sq. 19 ἀπὸ τῆς ὠκύτητος] recte, cf. A. G. van Hamel in Grattii editione a P. J. Enk curata, Vol. II p. 147

ἐμοὶ Dind. 24 (p. 78) ηὐδοκίμησαν Herch., sed cf. Anab. I 12, 1; 17, 12 i. f.; 24, 2; Cyn. 7, 2; Tact. 16, 3; 44, 1

1 ἐπεξέλθῃ Herch. 5 ὡς] ἧς Herch. 6 ὥς εἰσιν Holst. ὡς εἰπεῖν P 11 ἐπικλάζουσιν P[1] ἐπικράζουσιν P[2] 17 ⟨αἱ⟩ add. Steph. 18 ὀξέως P, corr. Haupt δὲ] δὴ Steph.; v. ad p. 77, 19

4 λέξω δὲ καὶ αὐτός, ἀφ' οἵων τινῶν χρὴ τεκμαίρεσθαι
τὰς ὠκείας τε καὶ γενναίας, καὶ τίσιν αὖ προσέχων τις
τὸν νοῦν τὰς ἀγεννεῖς τε καὶ βραδείας ἀποκρίνοι αὐτῶν.
2 πρῶτα μὲν δὴ μακραὶ ἔστωσαν ἀπὸ κεφαλῆς ἐπ' οὐ-
ράν· ἓν γὰρ οὐδὲν οὕτω τεκμήριον ἐς ὠκύτητά τε καὶ
γενναιότητα εὕροις ἂν ἐπιλεγόμενος ταὐτὸν ἐπὶ πάσῃ
ἰδέᾳ κυνός, ὡς τὸ μῆκος, καὶ τοὐναντίον τὴν βραχύτητα
ἐς τὸ βραδὺ καὶ ἀγεννές. ὥστε ἤδη ἔγωγε εἶδον πολλὰ
ἄλλα κακὰ ἐχούσας κύνας, ὅτι δὲ μακραὶ ἐτύγχανον,
3 ὠκεῖαι ἦσαν καὶ θυμοειδεῖς. καὶ μὴν καὶ αἱ μείζονες εἰ
τὰ ἄλλα ὅμοιαι τύχοιεν, κατ' αὐτὸ τὸ μέγεθος εὐφυέ-
στεραι τῶν σμικρῶν. φαῦλαι δὲ τῶν μεγάλων, ὅσαι τὰ
μέλη ἀπαγεῖς καὶ ἀξύμμετροι· ὥστε φαυλότεραι ἂν εἶεν
οὕτω γε ἔχουσαι τῶν σμικρῶν, εἰ τὰ ἄλλα κακὰ ἴσα
4 προσείη αὐταῖς. ἐχέτωσαν δὲ τὰς κεφαλὰς ἐλαφρὰς καὶ
ἀρθρώδεις· εἰ δὲ γρυπαὶ ἢ σιμαὶ εἶεν, οὐ παρὰ μέγα
διοίσει τοῦτο· οὐδ' εἰ τὰ ὑπὸ τοῖς μετώποις ἰνώδη
ἔχοιεν, οὐδὲ τοῦτο ἐν μεγάλῳ ποιητέον, ἀλλ' αἱ βαρυ-
κέφαλοι μόναι πονηραί, καὶ ὅσαις παχέα τὰ ῥύγχη καὶ
5 μὴ ἐς ὀξὺ ἀλλὰ ἀθρόως ἀπολήγοντα. [καὶ αὗται οὖν
εὐκέφαλοι.] τὰ δὲ ὄμματα ἔστω μεγάλα μετέωρα καθαρὰ
λαμπρά, ἐκπλήττοντα τὸν θεώμενον. καὶ κράτιστα μὲν
τὰ πυρωπὰ καὶ ὑπεραστράπτοντα, οἷα πορδάλεων ἢ λεόν-
των ἢ λυγκῶν· δεύτερα ἐπὶ τούτοις τὰ μέλανα, εἰ τύχοι

23 sq. cf. Cynos. 3, p. 589, 2 sq.

4 sqq. cf. Orth, R. E. VIII, p. 2564 sq. 16 sqq. Xen. Cyn. 3, 2; 4, 1

2 αὖ] ἂν Herch. αὖ προσέχων ⟨ἂν⟩ Cast. 3 ἀποκρίνειεν Herch. 8 βραδὺ Holst. βραχὺ P εἶδον Haupt ἰδὼν P 11 ὅμοιαι] φαῦλαι Herch. ⟨οὐδ'⟩ ὅμοιαι Cast. 13 ἀξύμμετροι· ὥστε Blanc. ἀξυμμέτρως τὲ P 19 μόνον P, corr. Herch. ὅσαις Herch. ὅσ' P trium litterarum spatio vacuo relicto, ὅσαι Holst. 20 [καὶ — 21 εὐκέφαλοι] del. Herch.; videntur ea verba adnotatio fuisse ad l. 16 sqq. (εἰ δὲ γρυπαὶ — ποιητέον) in margine ascripta, unde in textum irrepsisse 24 λυγγῶν P, corr. Müll.; cf. Xen. Cyn. 11, 1 λύγκες δεύτερα ⟨δὲ⟩ Herch.

ἀναπεπταμένα τε καὶ γοργὰ ἰδεῖν· τρίτα δὲ τὰ χαροπά·
οὐδὲ γὰρ οὐδὲ τὰ χαροπὰ φαῦλά ἐστιν, οὐδὲ φαύλων
κυνῶν ξύμβολα, εἰ καὶ ταῦτα τύχοι καθαρὰ καὶ γοργὰ
ἰδεῖν. ἐπεί τοι ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν χαρο- 5
πωτάτην, καὶ αὕτη ὠκειά τε ἦν καὶ φιλόπονος καὶ εὔψυ-
χος καὶ εὔπους, ὥστε καὶ τέτταρσιν ἤδη ποτὲ λαγωοῖς
ἐφ' ἡλικίας ἀντήρκεσεν. καὶ τὰ ἄλλα δὲ πραοτάτη τέ 2
ἐστιν (ἔτι γάρ μοι ἦν, ὁπότε ταῦτα ἔγραφον) καὶ φιλαν-
θρωποτάτη, καὶ οὔπω πρόσθεν ἄλλη κύων ὡς αὐτὴ οὔτε
ἐμὲ ἐπόθησεν οὔτε τὸν ἑταῖρον τὸν ἐμὸν καὶ σύνθηρον
τὸν Μέγιλλον. ἐπειδὴ γὰρ τοῦ δρόμου ἀπεπαύσατο, οὐκ ἔτι
ἡμῶν ἢ θατέρου γε ἀπαλλάττεται. ἀλλὰ εἰ μὲν ἐγὼ ἔνδον 3
εἴην, ἅμα ἐμοὶ διατρίβει, καὶ προϊόντα ποι παραπέμπει,
καὶ ἐπὶ γυμνάσιον ἰόντι ἐφομαρτεῖ, καὶ γυμναζομένῳ
παρακάθηται, καὶ ἐπανιόντος πρόεισιν, θαμινὰ ἐπιστρε-
φομένη, ὡς καταμανθάνειν μή πη ἄρα ἐξετράπην τῆς
ὁδοῦ· ἰδοῦσα δὲ καὶ ἐπιμειδιάσασα αὖθις αὖ πρόεισιν.
εἰ δὲ ἐπί τι ἔργον πολιτικὸν ἴοιμι, ἡ δὲ τῷ ἑταίρῳ τῷ 4
ἐμῷ ξύνεστιν, καὶ πρὸς ἐκεῖνον τὰ αὐτὰ ταῦτα δρᾷ.
ὁπότερος δὲ ἡμῶν κάμνοι τὸ σῶμα, ἐκείνου αὖ οὐκ ἀπαλ-
λάσσεται. εἰ δὲ καὶ δι' ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέ-
μα, ὥσπερ ἀσπαζομένη, καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται,
οἷα φιλοφρονουμένη. καὶ δειπνοῦντι ξυνοῦσα ἐφάπτεται
ἄλλοτε ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα ὅτι καὶ αὐτῇ
ἄρα μεταδοτέον εἴη τῶν σιτίων. καὶ μὴν πολύφθογγός
ἐστιν, ὡς οὔπω ἐγὼ ἰδεῖν μοι δοκῶ ἄλλην κύνα· καὶ
ὅσων δεῖται τῇ φωνῇ σημαίνει. καὶ ὅτι σκυλακευομένη 5
μάστιγι ἐκολάζετο, εἴ τις εἰς τοῦτο ἔτι μάστιγα ὀνομάσειεν,

2 sqq. Xen. Cyn. 3, 2. 3

1. 2 χαρωπά P, corr. Zeune 3 τύχη P, corr. Zeune 4 χαρωπὴν P, corr. Zeune 9 αὐτὴ] αὕτη Herch. 11 οὐκέτι Dind. 12 γε, quod post ἡμῶν habet P, post θατέρου posuit Schneid. 18 ἡ δὲ Sauppe (accentum correxit Herch.) ἤδε P ἥδε Holst. 24 καὶ] κἂν Herch. 25 καὶ μὴν ⟨καὶ⟩ Herch.

πρόσεισιν τῷ ὀνομάσαντι, καὶ ὑποπτήξασα λιπαρεῖ, καὶ τὸ
στόμα ἐφαρμόζει τῷ στόματι ὡς φιλοῦσα, καὶ ἐπιπηδή-
σασα ἐκκρέμαται τοῦ αὐχένος, καὶ οὐ πρόσθεν ἀνίησιν
6 πρὶν τῆς ἀπειλῆς ἀποπαῦσαι τὸν θυμούμενον. ὥστε οὐκ
ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τὸ ὄνομα ἀναγράψαι τῆς κυνός,
ὡς καὶ ἐς ὕστερον ἀπολελεῖφθαι αὐτῆς, ὅτι ἦν ἄρα Ξενο-
φῶντι τῷ Ἀθηναίῳ κύων, Ὁρμὴ ὄνομα, ὠκυτάτη τε καὶ
σοφωτάτη καὶ ἱερωτάτη.
7 ὦτα δὲ μεγάλα ἔστω ταῖς κυσὶν καὶ μαλθακά, ὥστε
ὑπὸ μεγέθους καὶ μαλακότητος ἐπικεκλασμένα φαίνοιτο·
οὕτως ἂν εἴη κράτιστα. οὐ μέντοι ἀλλὰ καὶ εἰ ὀρθὰ εἴη,
8 οὐ πονηρόν, εἰ μὴ σμικρά τε εἴη καὶ σκληρά. τράχηλος
δὲ μακρός τε ἔστω καὶ περιφερὴς καὶ ὑγρός· ὥστε εἰ
ἀντιτείνοις ἀπὸ τῶν δεραίων τὰς κύνας ἐς τοὐπίσω, ἐπι-
κλᾶσθαι δοκεῖν τὸν τράχηλον δι' ὑγρότητα καὶ μαλα-
9 κότητα. στήθη δὲ πλατέα ἀμείνω τῶν στενῶν, καὶ τὰς
ὠμοπλάτας διεστώσας ἐχέτωσαν καὶ μὴ ξυμπεπηγυίας
ἀλλ' ὡς οἷόν τε λελυμένας ἀπ' ἀλλήλων. σκέλη στρογ-
γύλα ὀρθὰ εὐπαγῆ, πλευρὰς γενναίας, ὀσφὺν πλατεῖαν
ἰσχυράν, μὴ σαρκώδη ἀλλὰ νεύροις πεπηγυῖαν. λαγόνας
ἀνειμένας, ἰσχία μὴ συνδεδεμένα, κενεῶνας λαγαρούς.
οὐρὰς λεπτὰς μακράς, δασείας τὴν τρίχα, ὑγρὰς εὐκαμ-
πεῖς, τὸ ἄκρον τῆς οὐρᾶς δασύτερον. ὑποκώλια μακρὰ

9—12 cf. Cynos. 3, p. 589, 3—7 τὰ ὦτα ἐχέτωσαν μεγάλα καὶ μαλθακά, ἵνα ἐκ τοῦ μεγέθους καὶ τῆς μαλθακότητος ἐπιρρεπῆ ὦσι. καὶ ἐὰν ὦσιν ὀρθά, οὐ μικρὰ δέ, οὐ πάνυ ἀδόκιμα· τὰ γὰρ μικρὰ καὶ σκληρὰ ἀδόκιμα. 16—18 cf. Cynos. 3, p. 589, 7—9 22—p. 83, 3 cf. Cynos. 3, p. 589, 9—13

---

7 Ὁρμὴ] cf. Xen. Cyn. 7, 5 i. f. 9 sqq. cf. Xen. Cyn. 4, 1

---

6 ⟨μνήμην⟩ ἀπολελεῖφθαι Cast. 8 ἱερωτάτη] πραοτάτη Herch. 10 ἐπικεκλασμένα ⟨ἂν⟩ Haupt φαίνεσθαι Herch. 11 εἴη (alterum) Herch. (qui etiam ἀναφέροιτο vel γένοιτο coniecit) φαίνοιτο (quod librarius per errorem repetivisse videtur, v. l. 10) P; cf. Cynos. l. l. 14 δέρεων P, corr. Schneid. 16 δὲ Herch. τε P

εὐπαγῆ. σκέλη δὲ εἰ μὲν τὰ ὀπίσθια ἔχοι μείζω τῶν ἔμ- 10
προσθεν, τὰ ὄρθια ἂν μεταθέοι ἄμεινον· εἰ δὲ τὰ ἔμ-
προσθεν τῶν ὀπισθίων, τὰ κατάντη· εἰ δ' ἴσα εἴη ἄμφω, 11
τὰ πεδία. ἐπεὶ δὲ χαλεπώτερον ἐν ὀρθίῳ μὴ ἡττηθῆναι
λαγώ, ὅτι καὶ ὁ λαγὼς τὰ ὄρθια θεῖ ἄμεινον, ἐκεῖναι
δοκοῦσιν γενναιότεραι αἱ κύνες, ὅσαι τὰ ὄπισθεν μείζονα
ἔχουσιν τῶν ἔμπροσθεν· πόδες δὲ οἱ περιφερεῖς καὶ
στερροὶ κράτιστοι. τὰ δὲ χρώματα οὐδὲν διοίσει ὁποῖα 6
ἂν ἔχωσιν, οὐδ' εἰ παντελῶς εἶεν μέλαιναι ἢ πυρραὶ ἢ
λευκαί· καὶ οὐδὲ τὸ ἁπλοῦν χρὴ ὑποπτεύειν τῆς χρόας
ὡς θηριῶδες· ἀλλὰ τὰ ὄντα ἔστω στιλπνὰ καὶ καθαρά,
καὶ ἡ θρίξ, εἴτε οὖν τοῦ δασέος γένους εἴτε τοῦ ψιλοῦ
τύχοιεν αἱ κύνες, λεπτὴ ἔστω καὶ πυκνὴ καὶ μαλθακή.
κράτιστοι δὲ ἄρρενες μέν, ὅσοι μεγάλοι τε καὶ εὐπαγεῖς 2
ὄντες ὑπο ὑγρότητος θηλείαις ἐοίκασιν· θήλειαι δέ, ὅσαι
διὰ τὸ γενναῖον καὶ μυῶδες τοῦ σώματος ἄρρεσιν. τοῦ 3
μὲν δὴ σώματος ταῦτά τις ἂν δοκεῖ μοι ἐπισκοπῶν ἀπο-
χρῶντα τεκμήρια ποιεῖσθαι εἰς γενναιότητα, καὶ τὰ ἐναν-
τία τοῦ ἐναντίου.

οὐ μείονα δὲ καὶ ἡ γνώμη τῶν κυνῶν ἐς ἑκάτερα τεκ- 7
μηριοῦσθαι παρέξει τῷ ὡς χρὴ ὁρῶντι. αὐτίκα ὅσαι σκυ-
θρωπαὶ κύνες πρὸς ἅπαντας, οὐ γενναῖαι· εἰ δὲ ἔστιν
ἃς εὕροις [ἂν] πρὸς μὲν τοὺς ἀγνῶτας χαλεπάς, τῷ δὲ
ἀνατρέφοντι προσφιλεῖς, [καὶ τοῦτο] ἀγαθὸν μᾶλλον ἢ
κακόν. ἤδη δὲ ἔγνων κύνα, ἥτις οἴκοι μὲν κατηφὴς ἦν 2
καὶ οὐδενὶ τῶν πλησιαζόντων ἔχαιρεν, ἐπὶ θήραν δὲ
ἐξαγομένη ὑπερευφραίνετο καὶ παντὶ τῷ προσελθόντι

---

15 sq. cf. Cynos. 3 i. f., p. 589, 13 sq.

---

5 cf. Xen. Cyn. 5, 17 i. f. 8 Arrianus contradicit Xenophonti, Cyn. 4, 7

---

4 μὴ del. Pierl. 13 αἱ Herch. οἱ P λεπτή ⟨τε⟩ Cast.
23 [ἂν] del. Herch. 24 [καὶ τοῦτο] del. Herch. coll. p. 84, 2
25 ἔγνων ⟨ἐγὼ⟩ Cast. coll. p. 80, 8; 81, 4; 90, 1

προσμειδιῶσα καὶ προσσαίνουσα διεδήλου ὅτι ἀνιᾶται
3 οἴκοι μένουσα· καὶ τοῦτο ἀγαθόν. κράτισται δὲ αἱ φι-
λανθρωπόταται καὶ ὅσαις οὐκ ἔστιν ξένον ὄψις ἀνθρώ-
που οὐδενός. ὅσαι δὲ ἀνθρώπους δεδίασιν καὶ ὑπὸ ψόφου
ἐκπλήττονται καὶ θορυβώδεις εἰσὶν καὶ ἐπὶ πολλὰ καὶ
εἰκῇ κινοῦνται — καὶ ταῦτα ἀλογίστων ἐστὶν καὶ οὐκ
ἐμφρόνων —, καθάπερ ἄνθρωποι εἰ δειλοὶ καὶ ἔκφρο-
νες, οὕτω δὲ καὶ αἵ κύνες αἱ τοιαῦται οὔποτε ἂν εἶεν
4 γενναῖαι. κακαὶ δὲ καὶ ὅσαι λυθεῖσαι τοῦ δεσμοῦ ἐν χω-
ρίῳ οὐκ ἐπανίασιν ἐπὶ τὸν ἄγοντα καλούμεναι, ἀλλ'
ἀποσκιρτῶσιν, καὶ ἢν μὲν πράως μετακαλῇς, καταφρο-
νοῦσιν, ἢν δὲ ξὺν ἀπειλῇ, δειμαίνουσαι οὐ προσίασιν.
5 ἀλλὰ χρὴ ἀποσκιρτήσασαν τὴν κύνα καὶ περιδραμοῦσαν
ἐπανιέναι ἐπὶ τὸν κυναγωγόν, εἰ καὶ μὴ καλοίη αὐτός,
σημαίνουσαν ὅτι οἵα τε ὑπακούειν, εἰ ἤδη ἐθέλοι· ἔτι
δὲ εἰ μὴ λαμβάνοιτο, πάλιν αὖ ἀποσκιρτάτω, καὶ πάλιν
6 ἐπανίτω. πεπαιδευμέναι δέ, ὅσαι φθεγξαμένου τοῦ κυ-
ναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ φιλο-
φρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι, καθάπερ οἱ προσ-
κυνοῦντες μέγαν βασιλέα. οὐδὲ τὸ ἵστασθαι δὲ ἐν πεδίῳ
λυθεῖσαν κύνα ἀγαθόν, εἰ μὴ πρεσβυτέρα τύχοι· ὄκνον
7 γὰρ σημαίνει. ταῖς δὲ γενναιοτάταις καὶ ἐπισκύνιον πρόσ-
εστιν, καὶ σοβαραὶ φαίνονται, καὶ τὸ βάδισμα κοῦφον
καὶ πυκνὸν καὶ ἁβρόν· καὶ μεταβάλλουσι τὰς πλευράς,
καὶ τὸν τράχηλον ἀνατείνουσιν, καθάπερ οἱ ἵπποι ἐπει-
δὰν λαμπρύνωσιν.

8 ἐσθίουσιν δὲ αἳ μὲν λάβρως αἳ δὲ κοσμίως, καὶ τὸ
2 κόσμιον γενναιότερον τοῦ ἀκόσμου. ἀγαθαὶ δὲ ὅσαι μὴ
κακόσιτοι, ἀλλ' ἄρτῳ ἢ μάζῃ χαίρουσιν· κράτιστον γὰρ

---

6 καὶ ταῦτα — 7 ἐμφρ. del. Eberh. ἀλογίστων et 7 ἐμφρόνων Herch. ἀλόγιστα et ἔμφρονα P 7 εἰ] οἱ Dind. 9 λυ:-θεῖσαι P, post υ erasum videtur σ 14 αὐτὸς] αὐτὴν Herch. 15 ἐθέλοι (sc. ὁ κυναγωγὸς καλεῖν) scripsi ἐθέλει P 26 λαμπρύνωνται Schneid.

*κυνὶ τοῦτο σιτίον, καὶ οὐ δέος μὴ ὑπερεμπλησθείη ἀπ'
αὐτοῦ. ἄμεινον δὲ εἰ καὶ ξηρᾷ τῇ τροφῇ χαίροιεν. εἰ δὲ
καὶ ὕδατι καταβρέχοις καὶ τούτῳ χαίροιεν, οὐ κακόν.*
καμούσῃ δὲ ἐμβάλλειν ἢ ὕδωρ ἀπὸ κρέως λιπαροῦ, ἢ 3
*βοὸς ἧπαρ ἐν σποδιᾷ θερμῇ φρύξαντα ἔπειτα τρίψαντα
καθάπερ ἄλφιτα ἐπιπάττειν. καὶ ταῖς γε σκυλακευομέ-* 4
*ναις ἀγαθὸν τοῦτο ἐς τὸ πῆξαι τὰ μέλη, ἐπειδὰν ἀπο-
παύσωνται τοῦ γάλακτος. τὸ γάλα δὲ σκυλακεῦσαι κρά-
τιστον ἐς ἔνατον μῆνα καὶ πορρωτέρω, καὶ καμούσῃ δὲ
καὶ μαλακιζομένῃ ἀγαθὸν καὶ πῶμα καὶ σιτίον. ⟨ἀγαθὸν⟩
δὲ καὶ ἡ ἀσιτία καμνούσῃ.*
οὐδὲν δὲ οἷον εὐνὴ μαλθακὴ καὶ ἀλεεινή. κρατίστη 9
*δὲ ἡ μετ' ἀνθρώπου, ὅτι καὶ φιλάνθρωποι ἀποτελοῦν-
ται, καὶ τῷ χρωτὶ τῷ ἀνθρωπίνῳ χαίρουσιν, καὶ φιλοῦ-
σιν οὐ μεῖον τὸν συγκαθεύδοντα ἢ τὸν τρέφοντα. κἂν
τῶν λυπούντων τὴν κύνα τις αἰσθάνοιτο, ὡς διψώσῃ τε
ἐν νυκτὶ ἐπικουρῆσαι καὶ ἐπειγομένῃ ὑπό του τῶν ἀναγ-
καίων· γνοίη δ' ἂν καὶ ὅπως ἀνεπαύσατο. εἰ γὰρ ἀγρυ-
πνήσειεν, ἐξάγειν ἐπὶ θήραν οὐκ ἀσφαλές, οὐδ' εἰ ἐπι-
στάξειεν θαμινὰ ἐν τῷ ὕπνῳ, οὐδ' εἴ τι ἀπεμέσειεν τῶν
σιτίων· ταῦτα δὲ γνοίη ἂν ὁ συναναπαυόμενος. κακίστη* 2
*δὲ κοίτη κυνῶν μετὰ κυνῶν, πολὺ πλέον, εἰ καὶ ἐπι-
ψαύουσαι ἀλλήλων ἀναπαύοιντο· ὡς ἄνθρωπος μὲν συγ-
καθεύδων κυνὶ ἀφαιρεῖ τοῦ χρωτὸς τὸ ἀνιαρόν, κύνες*

---

12 sq. cf. Cynos. 5, p. 589, 19 sqq.

---

19. 20 *ἐπιστάξειεν*] *dicitur de effusionibus sanguinis per nasum*: Eberh., sed cf. Güthl. p. 13

---

1 *τοῦτο* ⟨*τὸ*⟩ Pierl. *ὑπερεμπλησθῇ* Herch.; v. ad p. 27, 20
2 *καὶ* del. Herch. 4 et 9 *καμνούσῃ* Herch., quod l. 11 habet P 6 *ἀλφίτου* P, corr. Schneid. 10 *πόμα* P, corr. Dind. ⟨*ἀγαθὸν*⟩ add. Holst. ⟨*ἀγαθὴ*⟩ Herch.; v. ad p. 25, 28
15 *κἂν* Herch. *καὶ* P ⟨*τάχιστ' ἂν*⟩ post *τὴν κύνα* (l. 16) add. Schneid. 17 *ὑπό του τῶν* Holst. *ὑπὸ τούτων* P 22 *πολὺ* ⟨*δὲ*⟩ Herch., cf. p. 89, 29

δὲ ἐν τῷ αὐτῷ ἀναπαυόμεναι ὅ τι περ πονηρὸν τοῦ
χρωτὸς τῷ πλησιάζειν τε καὶ ἐκθερμαίνειν ἐπαύξουσιν·
ὥστε ψώρας ἐμπίμπλασθαι τὸ πολύ, ὁπότε ἐν ταὐτῷ
3 ἀναπαύοιντο. δηλοῖ δὲ τὸ αἴτιον καὶ ἡ ὀδμή, ἐπειδὰν
εἰσέλθῃς οὗ κύνες πολλαὶ ἀναπαύονται· οὕτως χαλεπή
τέ ἐστιν καὶ δριμεῖα.

10 μέγα δὲ ὄφελος κυνὶ καὶ τρῖψις τοῦ σώματος παντός,
οὐ μεῖον ἢ ἵππῳ· τά τε γὰρ μέλη πῆξαι καὶ ῥῶσαι ἀγαθή,
καὶ τὴν τρίχα μαλθακὴν ἐργάζεται καὶ τὴν χρόαν στιλ-
πνήν, καὶ τοῦ χρωτὸς ἀποκαθαίρει ὅ τι περ πονηρόν.
2 τρίβειν δὲ τὰ μὲν νῶτα καὶ τὴν ὀσφὺν τῇ δεξιᾷ, ὑπο-
θέντα τὴν ἀριστερὰν τῇ λαγόνι, ὡς μὴ ἐπιθλιβομένην
3 ἄνωθεν τὴν κύνα ὀκλάζουσαν κακοπαθεῖν· τὰς δὲ πλευ-
ρὰς ἑκατέρᾳ τῇ χειρί, καὶ τοὺς γλουτοὺς μέχρις ἄκρων
4 ποδῶν, καὶ ⟨τὰς⟩ ὠμοπλάτας ὡσαύτως. ἐπειδὰν δ' ἱκα-
νῶς φαίνωνται ἔχειν, ἐπαίρειν τῆς οὐρᾶς λαβόμενον καὶ
ἀνατείναντα ἀφιέναι· ἡ δὲ διασείσεταί τε ἀφεθεῖσα καὶ
δήλη ἔσται ὅτι ἠγάπησεν τὸ πραχθέν.

11 δεδέσθαι δὲ κύνα γενναίαν δι' ἡμέρας, ὥσπερ τι ἄλλο,
ἀγαθόν· εἰ δὲ μή, ἀναγώγους ἀποτελεῖσθαι ἀνάγκη, καὶ
εἴ ποτε ἄρα δεσμοῦ δεηθεῖεν, ἀσχάλλουσιν καὶ κλαυθμυ-
ρίζονται καὶ ἀπεσθίουσιν τοὺς ἱμάντας, ὥστε σιδήρου
□ δεῖν ἐπ' αὐταῖς, καθάπερ ἐπὶ ἀνθρώποις τοῖς κακούρ-
2 γοις. καὶ ἐσθίειν δὲ ἀνάγκη λελυμένην κύνα πᾶν τὸ
ἐμπεσόν, καὶ τὸ ἀκμαῖον τοῦ δρόμου ἀφαιρεῖται αὐτῶν
ὁ δι' ἡμέρας περίπατος. ἀλλὰ χρὴ τεταγμένα μὲν περι-
πατεῖν, τὸ πολὺ δὲ ἀμπαύεσθαι.

12 προάγειν δὲ τὰς κύνας τοὐλάχιστον τετράκις ἐπὶ τῇ
ἡμέρᾳ ἐς ὁμαλὸν χωρίον καὶ καθαρόν. ἐνταῦθα ἀφιέναι

---

2 ἐπάξουσιν P, corr. Eberh. 4 τὸ αἴτιον del. Dind.
14 ἄκρων ⟨τῶν⟩ Herch. 15 ⟨τὰς⟩ add. Schneid. 19 ὥσπερ] εἴπερ Pierl.; cf. Anab. III 28, 5; VI 14, 2; Tact. 37, 1 23 ἐπὶ del. Schneid. (Add. p. 484)

τοῦ δεσμοῦ, τῶν τε ἀναγκαίων ἕνεκα καὶ ἐς τὸ ἀποσκιρ-
τᾶν καὶ διαθεῖν· εἰ δὲ ἀργοῦσαι ἀπὸ θήρας τύχοιεν, καὶ 2
πλεονάκις ταὐτὸ τοῦτο δρᾶν καὶ δύο ἐπιλύειν ἐν τῷ αὐτῷ,
ὥστε ἁμιλλωμένας καὶ παιζούσας ὁμοῦ μὲν εὐφραίνε-
σθαι ὁμοῦ δὲ γυμνάζεσθαι. πολλὰς δὲ μὴ λύειν ἐν 3
ταὐτῷ· ἐμπίπτουσαι γὰρ ἀλλήλαις ἔστιν ὅτε μεγάλα κακὰ
ἐργάζονται. ἀλλὰ μηδὲ σκληρὰν κύνα καὶ πεπηγυῖαν ἅμα 4
τῇ σκυλακευομένῃ λυέτω· βαρεῖα γὰρ αὕτη καὶ ἀνιαρὰ
συμφέρεσθαι, καὶ διώκουσά τε αἱρεῖ καὶ ἀποφεύγουσα
ἀπολείπει εὐμαρῶς, ὥστε ἀθυμεῖν ἀνάγκη τὸ σκυλάκιον
ἐν ἑκατέρῳ μεῖον φερόμενον. ἀλλὰ μηδὲ ὅσαι διεχθρεύ- 5
ουσιν ἀλλήλαις, μηδὲ ταύτας λύειν ὁμοῦ, ὡς μὴ λυμαί-
νοιντο ἀλλήλας· εἰσὶν γάρ τοι κύνες ἐχθραὶ ἀλλήλαις
καὶ ἄλλαι ἄφιλοι, καθάπερ ἄνθρωποι, καὶ μάλιστα δὴ
οἵ τε ἄρρενες τοῖς ἄρρεσιν καὶ αἱ θήλειαι ταῖς θηλείαις,
τὸ πολὺ ὑπὸ φθόνου. καὶ οὐδὲ τούτων ἀμελῶς χρὴ ἔχειν.

καὶ δὴ χειμῶνος μὲν ὥρᾳ ἅπαξ σιτεῖσθαι τὰς κύνας 13
ὀλίγον πρὸ τῆς ἑσπέρας· ἥ τε γὰρ ἡμέρα βραχεῖα, καὶ
χρὴ γεγυμνάσθαι αὐτάς, ὥστε, εἰ δέοι πόρρω τῆς ἡμέρας
διαπονεῖσθαι ἐν θήρᾳ, τοῦ λιμοῦ ἀνέχεσθαι. θέρους δὲ 2
ἀγαθὸν καὶ ὄρθρου ὀλίγον δοῦναι ἐμφαγεῖν, ὡς μὴ
ἀποκναίεσθαι ὑπὸ μήκους· καὶ γὰρ εἰ διψήσειαν, ἀλυ-
πότερον ἂν πίνοιεν ἐμφαγοῦσαι. εἰ δὲ καὶ στέαρ ταρι-
χευόμενον καθείης τῆς κυνός, ἀγαθὸν καὶ τοῦτο. εἰ δὲ 3
μέγα τὸ καῦμα ἐπιφλέγοι, ᾠὸν ἐμβαλόντα εἰς τὴν χεῖρα
καὶ ἀνατείνοντα τῆς κυνὸς τὸ στόμα καθιέναι, ὡς ἀθρόον
καταπιεῖν. καὶ τοῦτο σιτίον τε ἱκανὸν ἔσται αὐτῇ, καὶ
ἀναψύξει τὸ ἆσθμα, καὶ ἀναπαύσει τὸ δῖψος.

---

3 ταὐτὸ del. Haupt ἐπιλύειν Herch. ἐπὶ δυεῖν P 7 μηδέ ⟨τις⟩ Cast. coll. p. 80, 2; 83, 17; 92, 22; 96, 28 12. 13 λυμαίνωνται Herch.; v. ad p. 27, 20 14 ἄλλαι del. Herch. ἄφιλαι P[1], οι superscripsit P[2] φίλαι Blanc. ἄλλαι ⟨ἄλλαις⟩ φίλαι Zeune ἄνθρωποι Cast. 15 ἄρεσιν P[1], alterum ῥ add. P[2] 21 ὄρθρου Sintenis, Philol. VII p. 295 ἄρτον P 26 ἀνατείναντα Herch. καθεῖναι Herch.

14 ἐξάγειν δὲ ἐπὶ θήραν ἦρος μὲν καὶ φθινοπώρου θα-
2 μινά· ἀσφαλέσταται γὰρ αἱ ὧραι αὗται ταῖς κυσί. θέρους
δὲ ὀλιγάκις καὶ τὸ πολὺ διαλείποντα, εἰ πνῖγος εἴη· οὐ
γὰρ ἀνέχονται καύματος αἱ κύνες, ἀλλὰ πολλαὶ ἤδη διώ-
3 ξασαι ἀνὰ κράτος ἀπεπνίγησαν ὑπὸ τοῦ ἄσθματος. τού-
του δὴ ἕνεκα φέρειν χρὴ ᾠὰ τὸν κυνηγέτην, ὥστε, εἰ
ὑπερασθμαίνοι ἡ κύων, καθιέναι ἀθρόα· οὐ γάρ ἐστιν
ὅ τι μᾶλλον ἀναψύχει τε αὐταῖς τὸ καῦμα καὶ τὸ ἄσθμα
4 ἀμπαύει. εἰ δὲ πίοι ἀθρόον ὑπερασθμαίνουσα, καὶ τοῦτο
οὐκ ἀσφαλές. τούτων δὴ ἕνεκα χρὴ φυλάττεσθαι ἐν καύ-
5 ματι ἐξάγειν. καὶ χειμῶνος δὲ μὴ ἐξάγειν, εἰ τὸ κρύος
τύχοι χαλεπόν, καὶ πολὺ δὴ μάλιστα, εἰ πεπηγυῖα ἡ γῆ
□ τύχοι· ἀποκαίονται γὰρ ἐν τῷ κρυστάλλῳ αἱ κύνες, καὶ
τοὺς ὄνυχας ἔστιν αἳ ἀπολλύουσιν, καὶ τὰ νέρθεν τῶν
6 ποδῶν αὐταῖς ῥήγνυνται. εἰ δὲ εὐψυχότεραι εἶεν, καὶ
θραύοιεν ἂν περὶ τῷ κρυστάλλῳ τὰ ὀστᾶ τῶν ποδῶν
ἀφειδῶς θέουσαι. ὁ δὲ λαγὼς κοῦφός τέ ἐστιν καὶ δα-
□ σεῖς ἔχει τοὺς πόδας καὶ μαλθακούς, ὥστε ἀλύπως θεῖν
ἐν τῷ πάγῳ.
15 (16) χρὴ δὲ ὅστις κύνας ἀγαθὰς ἔχει μήτε ἐγγύθεν ἐπι-
λύειν τῷ λαγωῷ μήτε πλείους δυοῖν· καὶ γὰρ εἰ πάνυ
ὠκὺς τύχοι καὶ πολλὰς πολλάκις κύνας διαπεφευγώς,
ἀλλά γε ἐξ εὐνῆς ἀνιστάμενον καὶ ξὺν βοῇ τῶν κυνῶν
ἐπικειμένων ἐκπλαγῆναι ἀνάγκη καὶ πατάσσειν αὐτῷ τὴν

---

13 ἀποκναίονται P, corr. Schneid. coll. Xen. Cyn. 8, 2
15 ῥήγνυνται Herch.; cf. Praefatio, adn. 5 15 16 καὶ θραύοιεν] καὶ del. Herch. καταθραύοιεν (deleto καὶ) Raderm. 19 caput, quod post vocem πάγῳ sequitur in P et quod, quo tempore capitulorum index confectus est, eundem locum tenebat (v. p. 74, 23), in hac editione habes p. 91, 24—p. 92, 4 auctore Schneidero
21 λαγωιῶι P, sed prius ι erasum 23 ἀλλά γε Holst. ἀλλ.. γε P, fuit fortasse ἀλλ' ὥς γε (Herch.), sed membrana perforata est τῶν κυνῶν Herch. καὶ κυνῶν P, alio tempore Hercher aut καὶ κυνῶν aut saltem καὶ eiciendum esse censuit καὶ θορύβῳ pro καὶ κυνῶν Eberh.; cf. Cast. p. 213 24 πατάσσει P, corr. Holst.

καρδίαν. καὶ ἐν τούτῳ πολλάκις γενναῖοι λαγωοὶ ἀκλεῶς
ἀπώλοντο, μηδὲν μήτε δράσαντες μήτε ἐπιδειξάμενοι
μνήμης ἄξιον. ἐὰν δὴ ὑπεκφυγεῖν ἀπὸ τῆς εὐνῆς καὶ 2
ἀναθαρρῆσαι. ὃ δέ, εἰ τύχοι δρομικός, ἐπαρεῖ εὐθὺς τὰ □
ὦτα καὶ μεγάλα ἀπὸ τῆς εὐνῆς πηδήσεται· οἳ δὲ καὶ διαρ-
ρίψαντες τὰ μέλη, καθάπερ οἱ σκιρτῶντες, τότε [ἂν] □
ἀπευθυνοῦσιν τὸν δρόμον. καὶ τότε ἄρα ἐστὶν τὸ θέαμα
ἄξιον τῶν πόνων, ὅσους ἐπὶ ταῖς κυσὶν πονεῖν ἀνάγκη.
κράτιστοι δὲ τῶν λαγωῶν οἳ ἐν τοῖς περιφανέσιν καὶ 16 (17)
ἀναπεπταμένοις τὰς εὐνὰς ἔχοντες· ὑπὸ θάρρους γὰρ
οὐκ ἀποκρύπτουσιν σφᾶς, ἀλλὰ προκαλοῦνται, ἐμοὶ δο-
κεῖν, τὰς κύνας. οἱ δὲ αὐτοὶ οὗτοι ἐπειδὰν διώκωνται, 2
οὐκ ἐπὶ τὰς νάπας φεύγουσιν οὐδὲ ἐπὶ τὰ ἄλση, εἰ καὶ
πάνυ πλησίον τύχοι ὄντα ὥστε εὐμαρῶς ἀφελέσθαι αὐ-
τοὺς τοῦ κινδύνου, ἀλλὰ ἐς τὰ πεδία βιάζονται, ἐρίζον-
τες πρὸς τὰς κύνας. καὶ εἰ μὲν βραδεῖαι κύνες ἕποιντο
αὐτοῖς, τοσοῦτον ὅσον διώκονται θέουσιν· εἰ δὲ ὠκεῖαι,
ὅση δύναμις. πολλάκις δὲ ἤδη ἐς τὰ πεδία ἐκτραπέντες, 3
εἰ αἴσθοιντο ἐφομαρτοῦσαν κύνα ἀγαθὴν ὡς ἐπισκιάζε-
σθαι ὑπ' αὐτῆς, θαμινὰ ἐν τοῖς ἐξελιγμοῖς διαρρίψαντες
αὐτὴν οἳ δὲ τρέπονται αὖ ἐπὶ τὰς νάπας, ἢ εἴ που κατά-
δυσιν γιγνώσκοιεν. καὶ τοῦτο τεκμήριον ποιητέον ὅτι 4
ἐκράτησεν ἡ κύων τοῦ λαγώ· οὐ γάρ τοι ἐπὶ τῷ ἁλῶναι
τὸ θηρίον ἐξάγουσιν τὰς κύνας ἀλλὰ ἐς ἀγῶνα δρόμου
καὶ ἅμιλλαν οἵ γε τῇ ἀληθείᾳ κυνηγετικοί. καὶ ἀγαπῶ-
σιν εἰ ἐπιτύχοι ὁ λαγὼς τοῦ διασώσοντος, καὶ καταφυ- 5
γόντα ἐς ἀκάνθας ἔστιν ὅτε ὀλίγας, οἳ δὲ καὶ ἰδόντες
ἐπτηχότα καὶ ἀπαγορεύοντα, ἀνακαλοῦσιν τὰς κύνας,
μάλιστα δή, εἰ καλῶς διαγωνίσαιντο. ὥστε πολλάκις ἤδη

---

2 ἀποδειξάμενοι Herch. 3 ἐὰν P, corr. Holst. 4 ἐπάρει P, corr. Holst. 6 [ἂν] del. Holst. 9 τοῖς] τόποις Herch. 19 αἴσθοντο (sic) P, corr. Holst. 25 οἵ γε] ὅσοι γε Cast. 27 καὶ ἰδόντες] κατιδόντες Dind. 29 ⟨καὶ⟩ μάλιστα Herch., cf. p. 85, 22 διαγωνίσαιτο Zeune

ἔγωγε ἐφ' ἵππου ἐφομαρτῶν τῷ δρόμῳ καὶ ἁλόντι ἐπελ-
θὼν ζῶντα ἀφειλόμην, καὶ ἀφελόμενος καὶ δήσας τὴν
κύνα ἀφῆκα διαφυγεῖν τὸν λαγών. καὶ εἰ ὕστερος ἀφι-
κόμην ἢ ὥστε διασῶσαι, ἔπαισα τὴν κεφαλήν, ὅτι ἀντ-
6 αγωνιστὴν ἄρα ἀγαθὸν ἀπώλεσαν αἱ κύνες. καὶ τούτου
μόνου ἕνεκα οὐ ξύμφημι τῷ ἐμαυτοῦ ὁμωνύμῳ, ἀλλὰ
εὑρισκόμενον μὲν ὅστις ἴδοι τὸ θηρίον καὶ διωκόμενον
καὶ μεταθεόμενον, ξυγχωρῶ διότι ἐπιλάθοιτο ἂν εἴ του
ἐρῴη· ἁλισκόμενον δὲ ἰδεῖν οὔτε ἡδὺ τὸ θέαμα ἀπο-
φαίνω οὔτε ἐκπληκτικὸν ἀλλ' ἀνιαρὸν μᾶλλον, καὶ οὐκ
7 ἂν ἐπί γε τούτῳ ἐπιλαθέσθαι ἄν τινα εἴ του ἐρῴη. ἀλλ'
ἐκείνῳ γε τῷ Ξενοφῶντι, οὐκ ἐγνωκότι ὠκείας κύνας,
σύγγνωστον εἰ καὶ ἁλισκόμενος λαγὼς μέγα θέαμα ἐφαί-
8 νετο. ἐφομαρτοῦντα δὲ τῷ δρόμῳ ἐπικλάζειν εἰ καὶ μὴ
παρακελευσαίμην, οἶδα ὅτι πολλὴ ἀνάγκη· ὥστε κἂν
ἄναυδόν τινα ῥῆξαι φωνήν, οὐ μεῖον ἤ, ὡς λόγος, τὸν
Κροίσου υἱέα.

17(18) καὶ τὴν κύνα δὲ ἀνακαλεῖν ἀγαθόν· χαίρουσιν γὰρ
τὴν φωνὴν τοῦ δεσπότου γνωρίζουσαι, καὶ παραμυθίαν
ἴσχουσιν τῶν πόνων τὸ γινώσκειν ὅτι θεατὴς αὐταῖς
πάρεστιν καὶ ὅτι οὐ λανθάνουσιν ἀγωνιζόμεναι καλῶς.
2 καὶ δὴ τὸ ἐν πρώτῳ μὲν δρόμῳ, ὁσάκις φίλον, ἀνακαλεῖν
οὐ κωλύω· ἐν δευτέρῳ δὲ ἢ τρίτῳ, ὁπότε εἰκὸς διαπεπο-
νῆσθαι τὴν κύνα, κωλῦσαι ἄν μοι δοκῶ θαμινὰ ἀνακα-
λεῖν αὐτὴν ὀνομαστί, μή ποτε ἄρα ὑπὸ μένους καὶ προ-
θυμίας, χαρίζεσθαι τῷ δεσπότῃ θέλουσα, ἔπειτα παρὰ
δύναμιν ἐνταθεῖσα ῥήξειέν τι τῶν ἐντός, — πολλαὶ γὰρ
ἤδη οὕτω γε κύνες καὶ αἱ γενναιόταται διεφθάρησαν —
3 ἀλλὰ τηνικαῦτα ἐφιέναι διαγωνίζεσθαι ὅπως ἐθέλουσιν·

---

6 Xen. Cyn. 5, 33 17 Herodot. I 85 i. f.

---

1 ἁλόντα P, corr. Herch. 12 ⟨τὰς⟩ ὠκείας Herch. 20 θεατής ⟨τις⟩ Pierl. 26 ἔπειτα Herch. ἐπὶ τὰ P 28 διεφθάρησαν Herch. coll. p. 97, 4 διαφθείρονται P 29 ἀφιέναι Holst.

οὐ γάρ τοι οὐδ' ἴσος ἀγὼν λαγωῷ καὶ κυνί· ἀλλ' ὃ μὲν
ὅποι βούλεται θεῖ, ἡ δὲ ἄλλῳ ἐφομαρτεῖ· καὶ ὃ μὲν ἐξε-
λίξας τὸν δρόμον καὶ διαρρίψας τὴν κύνα ἵεται τοῦ
πρόσω, ἡ δέ, εἰ διαρριφθείη, πλάζεται, καὶ ἀνάγκη φθά-
σαντα αὖ μεταθεῖν καὶ ἀναλαβεῖν ὅσον ἐξηνέχθη τοῦ
δρόμου. καὶ αἱ δυσχωρίαι πρὸς τοῦ λαγὼ μᾶλλόν τί 4
εἰσιν ἢ τῆς κυνὸς ὅσα τε τραχέα καὶ οἱ φελλεῶνες καὶ
τὰ σιμὰ καὶ τὰ ἀνώμαλα, ὅτι κοῦφός τέ ἐστιν καὶ οἱ
πόδες αὐτῷ ὑπὸ δασύτητος οὐ ῥήγνυνται ἐν τοῖς τραχέ-
σιν. καὶ τὸ περὶ ψυχῆς δὲ θεῖν ἀφαιρεῖται τὴν αἴσθη-
σιν τῶν δυσκόλων.

ἔχουσαν δὲ τὴν κύνα ἢ καὶ ἄλλως κρατήσασαν τῷ 18(19)
δρόμῳ καταπηδήσαντα ἀπὸ τοῦ ἵππου καταψᾶν χρὴ ἐπ-
ευφημοῦντα, καὶ τὴν κεφαλὴν φιλεῖν, καὶ τὰ ὦτα ἀπο-
τείνειν, καὶ ὀνομαστὶ ἐπιλέγειν "εὖγε ὦ Κιρρά, εὖγε ὦ
Βόννα, καλῶς γε ὦ Ὁρμή," καὶ ὅ τι περ ἄλλο ἑκάστῃ
ὄνομα αὐτὸ τοῦτο ἀνακαλοῦντα· χαίρουσιν γὰρ ἐπαινού-
μεναι, καθάπερ τῶν ἀνθρώπων οἱ γενναῖοι. ἡ δὲ εἰ μὴ 2
τύχοι ἀπηγορευκυῖα, πρόσεισιν ἐπιμειδιῶσα καὶ φιλο-
φρονουμένη. ἀγαθὸν δὲ ἐπὶ τούτῳ καὶ καλινδεῖσθαι τὴν
κύνα, καθάπερ τοὺς ἵππους ὁρῶμεν· δῆλον γὰρ ὅτι μὴ
ἀπηγόρευσεν ὑπὸ τοῦ δρόμου, καὶ ἅμα τὸν κάματον
παύει αὐτῶν.

θηρῶσιν δὲ Κελτοί, ὅσοι μὲν πλουτοῦσιν αὐτῶν καὶ 19(15)
τρυφῶσιν, ἕωθεν ἐκπέμποντες ἐς τὰ χωρία τὰ ὕποπτα

---

6 sqq. cf. Xen. Cyn. 5, 18 15 sq. cf. E. Baecker, De canum nominibus graecis (Diss. Regimont. 1884), p. 64 sq.; Orth, R. E. VIII, p. 2571 sq.

---

1 οὐδ' ἴσος Schneid. οὐδεὶς ὡς P ἀγὼν P, corr. Dind. 8 post ὅτι una vel duae litterae erasae in P ὅτι καὶ Holst. 17 αὐτὸ Dind. αὖ P 24—p. 92, 4 caput 19, quod in P legitur post vocem πάγῳ (p. 88, 19), hic collocavit Schneid. 25 ἐκπέμποντες Steph. ἐκπέμπουσιν P ⟨οὕτως⟩ post τρυφῶσιν add. Schneid., servato ἐκπέμπουσιν, cf. p. 78, 6; 92, 26

τοὺς κατοπτεύσοντας ὅπου τυγχάνει ἀναπαυόμενος λα-
γώς· καὶ ἔστιν ὁ ἀγγέλλων, εἰ τύχοι ὀφθείς, ἢ ὁπόσοι
2 ἂν τύχωσιν. ἔπειτα ἀφικόμενοι μεθιᾶσιν τὰς κύνας, ἐξε-
20 γείραντες τὸ θηρίον, αὐτοὶ δὲ ἐφ' ἵππων ἕπονται. ὅσοις
δὲ οὐκ εἰσὶν οἱ κατοπτεύσοντες, οἳ μὲν αὐτῶν πλείονας
συνθήρους συνάγοντες ἐξίασιν ἐφ' ἵππων, καὶ τὰ ὕποπτα
ἐπερχόμενοι, ὅπου ἂν τύχῃ ἐξεγερθεὶς λαγώς, μεθιᾶσιν
τὰς κύνας· ὅσοι δὲ ἔτι μᾶλλον αὐτουργοί εἰσιν κυνηγε-
σίων, πεζοὶ ἐξίασιν, εἷς δέ τις αὐτοῖς ἐφ' ἵππου ἐφο-
2 μαρτεῖ, καὶ οὗτος διώκειν τέτακται ἅμα ταῖς κυσίν. ἐκ-
περιίασιν δὲ ἐπὶ μετώπου ταχθέντες· ἔπειτα ἐπ' εὐθείας
προελθόντες ὅσον ξύμμετρον διανῦσαι, ἐπιστρέψαντες αὖ
ἀνακάμπτουσιν παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν, μηδὲν εἰς
3 δύναμιν παραλείποντες τῶν ὑπόπτων· χρὴ δὲ εἰ πλείους
κύνας ἐπάγοιντο, μὴ εἰκῇ τεταγμένους ἰέναι· εἰ γάρ τοι
ἐξεγερθείη τῆς εὐνῆς λαγώς, οὐκ ἔστιν ὅστις ⟨ἂν⟩ ἀπό-
σχοιτο μὴ οὐκ ἐφεῖναι τὴν ἑαυτοῦ κύνα, ὃ μὲν ἐπιθυμίᾳ
τοῦ θέουσαν ἰδεῖν τὴν αὑτοῦ ἕκαστος, ὃ δέ τις ἐκπλαγεὶς
πρὸς τὴν βοὴν καὶ ἔκφρων γενόμενος, ἁλίσκοιτό τε ⟨ἂν⟩
ἄνευ ἀγῶνος ὁ λαγὼς ὑπὸ θορύβου τῶν κυνῶν καὶ τοῦ
4 θεάματος ὅ τι περ ὄφελος ἀπολλύοιτο. ἀλλ' ἄρχοντα
χρὴ ἐπιτετάχθαι τῇ θήρᾳ, καὶ οὗτος συνδυαζέτω τὰς
κύνας, καὶ ταττέτω ὡς εἰ ταύτῃ πηδήσειεν, σὺ καὶ σὺ
ἐπιλύειν, ἄλλος δὲ μὴ λυέτω· εἰ δὲ ταύτῃ αὖ, σὺ καὶ
σύ. οἳ δὲ ἐμπεδούντων τὸ ταχθέν.
21 Θηρῶσιν δὲ Κελτοὶ καὶ ἀναμιγνύοντες τοῖς ἰχνευταῖς
κυσὶν τὰς ὠκείας. καὶ οἳ μὲν μαστεύουσιν, αὐτοὶ δὲ διί-

---

10. 11 ἐκπεριίασιν] cf. Xen. Cyn. 8, 3. 5 13 παρὰ — αὐτῶν] cf. Xen. Cyn. 5, 20; 6, 15

---

6 συναγαγόντες Herch. 7 ὅπου Schneid. ὅπως P 9 εἷς Müll. εἰ P 13 ἀνακάμπτουσιν Dind. ἅμα κάμπτουσιν P 16 ⟨ἂν⟩ add. Herch. 17 ⟨τὸ⟩ μὴ Brinkm., Rhein. Mus. 73 p. 397 19 καὶ ἔκφρων γενόμενος del. Cast. ⟨ἂν⟩ add. Sauppe 21 ἀπολλοίοιτο P, corr. Holst.

σταναι, μετὰ χεῖρας ἄγοντες τὰς κύνας τὰς ἀγαθάς,
οἵπερ μάλιστα εἰκὸς τὸν λαγὼ ἀπευθῦναι τὸν δρόμον,
ὥστε ἐφιέναι τῶν κυνῶν ὅπως ἄν τῳ προχωρῇ καὶ εἰσὶν 2
αἵ κύνες αὗται ὅ τι περ αἱ ἄρκυς τῷ Ξενοφῶντι ἐκείνῳ.
ἀλλ' ἄτακτοί γε οὕτως γίγνονται οἱ δρόμοι, καὶ ὁ λαγώς,
εἰ καὶ πάνυ ἀγαθὸς ὢν τύχοι, τὸ πολὺ ὑπὸ τῆς κλαγγῆς
τῶν κυνῶν ἐκπλήττεται, καὶ εἰ μὴ πρὸ πολλοῦ τύχοι
προπηδήσας, ὡς καταστῆναι αὐτῷ τὴν γνώμην, ἁλίσκε-
ται εὐμαρῶς, ἔκφρων γενόμενος. χρὴ οὖν ὅστις ἐπιλῦσαι 3
κύνα ἀγαθός, μὴ ἐφιέναι ἔτι θορυβουμένῳ, ἀλλὰ ἐάσαντα
ἐξελιχθῆναι τοὺς ἑλιγμοὺς τοὺς πρώτους, οὕτω μεθεῖναι
τὴν κύνα, εἰ μὴ διαφθεῖραι θέλει τὴν θέαν. νεογνῷ δὲ 22
ἐπιλύειν μὴ θέμις ἔστω, ἀλλὰ χρὴ πειθομένους τῷ ἐμῷ
ὁμωνύμῳ ἀφιέναι τούτους τῇ θεῷ. ὥστε καὶ τὰς ἰχνευού- 2
σας, εἰ οἷόν τε, πειρατέον ἀνακαλεῖν. κακαὶ δὲ ἀνακλη-
θῆναι αὗται καὶ δυσπειθεῖς ὑπὸ λιμοῦ, δειναὶ δὲ καὶ
καταφαγεῖν τὸν ἁλόντα παντελῶς, ὥστε μόλις ἂν ξύλῳ
παίων ἀπαλλάξειας αὐτάς.

χρὴ δὲ ἔλαφον ἤ τι ἄλλο ἐς μέγεθος προῆκον τοσόνδε 23
τόνδε τὸν τρόπον θηρᾶν, ἐφιέντα τὰς κύνας τὰς γεν- □
ναίας· μέγα τε γὰρ τὸ θηρίον καὶ θεῖ ἐπὶ πολύ, καὶ
διαγωνίσασθαι οὐκ ἀσφαλές. καὶ ὁ κίνδυνος οὐ σμικρὸς
κύνα ἀγαθὴν ἐλάφου ἕνεκα διαφθαρῆναι. ἀλλὰ τὰς ἐλά- 2
φους, ἔνθα τὰ πεδία εὐήλατα, ἐν μὲν Μυσοῖς καὶ ἐν
Γέταις καὶ ἐν Σκυθίᾳ καὶ ἀνὰ τὴν Ἰλλυρίδα, ἀφ' ἵππων
τῶν Σκυθικῶν καὶ Ἰλλυρικῶν διώκουσιν· οὗτοι γὰρ

---

9. 10 ἐπιλῦσαι κύνα ἀγαθός] *peritus temporis ubi canis dimittendus et lepori immittendus est*: Schneid. 18 Xen. Cyn. 5, 14 26 sqq. Hadriani equum quo plurimum delectaretur Scythicum fuisse, quippe cui nomen fuerit Borysthenes, monet K. Hart-

---

1 ἄγοντες] ἔχοντες Herch. 2 οὔπερ P, corr. Schneid. 5 γε] τε Herch. 10 ἔτι Herch. τι P 19 προῆκον Schneid. πρὸς P 26 Ἰλλυρικῶν Herch. ἰλλυρίων P οὗτοι Schneid. αὐτοὶ P

ἐλαύνεσθαι μὲν τὰ πρῶτα οὐκ ἀγαθοί, ἀλλὰ κἂν πάνυ
καταφρονήσειας ἰδὼν παραβάλλοντας ἵππῳ Θετταλῷ ἢ
Σικελῷ ἢ Πελοποννησίῳ, διαπονούμενοι δὲ ἐπὶ πᾶν ἀντ-
3 έχουσιν. καὶ τότε ἂν ἴδοις τὸν μὲν ὠκὺν ἐκεῖνον ἵππον
καὶ μέγαν καὶ σοβαρὸν ἀπαγορεύοντα, τὸν δὲ λεπτὸν
καὶ ψωραλέον πρῶτα μὲν παραμείβοντα, ἔπειτα ἀπολεί-
4 ποντα, ἔπειτα ἀπελαύνοντα τὸ θηρίον. ὃ δὲ ἐς τοσοῦτον
ἄρα ἀντέχει, ἔστε ἀπαγορεῦσαι τὴν ἔλαφον. ἀπαγορεύ-
σασα δὲ καὶ χανοῦσα ὑπὸ ἀπορίας ἵσταται, καὶ ἔξεστιν
ἤδη, εἰ μὲν βούλοιο, ἀκοντίσαι ἐγγύθεν ὡς πεπεδημένην,
εἰ δὲ ἐθέλοις, καὶ ζώσῃ βρόχον περιβαλόντα ἄγειν.
24 ἐν δὲ Λιβύῃ ἀφ' ἵππων τῶν Λιβυκῶν, οἳ δὴ Νομά-
δες καλοῦνται, οἵ τε ἄνδρες αὐτοὶ καὶ οἱ ἵπποι, ἀπὸ
τούτων τῶν ἵππων μὴ ὅτι ἐλάφους αἱροῦσιν ἢ δορκάδας
— ταῦτα μὲν γὰρ οὐδὲ διὰ πολλοῦ ἀγῶνος, οὐδὲ ἀγα-
θοὶ ἵπποι δοκοῦσιν οἱ τοιοῦτόν τι ἑλόντες — ἀλλὰ καὶ
τοὺς ὄνους τοὺς ἀγρίους, οἳ δὴ ὠκύτητι διαφέροντές
2 εἰσιν καὶ τῷ ἐπὶ μήκιστον ἀντέχειν θέοντες. ὁπότε γοῦν
ἐπὶ μέγαν βασιλέα ἤλαυνον οἱ ἅμα Κύρῳ τῷ Δαρείου
Ἕλληνες, οἷς καὶ Ξενοφῶν συνεστράτευσεν, λέγει Ξε-
νοφῶν, οὗ τὰ πεδία τὰ Ἀραβίων ἐξήνυον, ἀγέλας προ-
φαίνεσθαι τῶν ὄνων τῶν ἀγρίων, καὶ ὑπὸ ἑνὸς μὲν
ἱππέως μήποτε ἁλῶναι ὄνον ἄγριον, διισταμένους δὲ
ἄλλους ἐπ' ἄλλοις ἐλαύνειν, τοὺς δὲ πολλοῖς ἀντισχόν-

mann, Berlin. philol. Wochenschr. 30, 1910, p. 606, collato ipsius imperatoris in eum carmine sepulchrali (C. I. L. 12, 1122 = Bücheler, Carm. epigraph. 2, 1522; cf. Cassius Dio 69, 10, 2)

2 παράβαλλοντας] *sese applicantes*: Herch. coll. Plut. Moral. p. 51 F 20 Xen. Anab. I 5, 2

3 ἐπὶ πᾶν scripsi ἐπίπαν P 7 ἐπελαύνοντα Schneid. ἐπιλαβόντα Müll., Philol. 7, p. 454 ἐλαύνοντα Herch. 9 ἀπο-ρίας] ἀνοίας Herch. ἀπνοίας Raderm. ἀγωνίας vel ἀδημονίας Güthl. p. 20 13 ἵπποι Müll. et Haupt ἱππικοί P 21 οὗ] ὅτε Herch. 23 ἱππέων P, corr. Herch. 24 πολλοῖς Schneid. πολλοὺς P ἀντίσχοντας Holst.

*τας τελευτῶντας ἤδη ἀπαγορεύειν ὑπὸ καμάτου· οὕτως
ἄρα καὶ Κύρῳ τῷ μεγάλου μὲν βασιλέως παιδί, μεγάλου
δὲ βασιλέως ἀδελφῷ, οὐκ ἀγαθοὶ διώκειν ἵπποι ἦσαν.
Λιβύων δὲ παῖδες ὀκταέτεις ἔστιν οἳ αὐτῶν, οἳ δὲ οὐ* 3
*πολλῷ πρεσβύτεροι, ἐπὶ γυμνῶν τῶν ἵππων ἐλαύνουσιν,
ῥάβδῳ χρώμενοι ἐπ' αὐτοῖς ὅσα Ἕλληνες χαλινῷ, καὶ
ἐς τοσοῦτον ἄρα ἐφομαρτοῦσιν τοῖς ὄνοις τοῖς ἀγρίοις
ὥστε τελευτῶντες βρόχον περιβάλλοντες τῷ θηρίῳ ἄγου-
σιν αὐτόν· ὃ δὲ ἕπεται ἡττημένος. οὕτω τοι θηρῶσιν* 4
*ὅσοις κύνες τε ἀγαθαὶ καὶ ἵπποι, οὐ πάγαις οὐδὲ ἄρκυ-
σιν οὐδὲ βρόχοις οὐδὲ ἁπλῶς δόλοις καὶ σοφίσμασιν
ἐξαπατῶντες τὰ θηρία, ἀλλὰ ἐκ τοῦ εὐθέος διαγωνιζό-
μενοι. καὶ ἔστιν τὰ θεάματα, ἐμοὶ δοκεῖν, οὐδέν τι ἐκεί-* 5
*νοις παραπλήσια, ἀλλὰ τὰ μὲν λῃστείᾳ ἢ κλοπῇ ἔοικεν,
τὰ δὲ πολέμῳ τῷ ἀνὰ κράτος διαπολεμουμένῳ· καὶ οἳ
μὲν ὡς πειραταὶ λάθρᾳ ἐπιπλέοντες προσφέρονται πρὸς
τὰ θηρία, οἳ δέ, καθάπερ Ἀθηναῖοι Μήδων ἐκράτησαν
ναυμαχίᾳ περὶ Ἀρτεμίσιον ἢ περὶ Σαλαμῖνα καὶ Ψυττά-
λειαν ἢ αὖθις περὶ Κύπρον, οὕτω δὲ καὶ οὗτοι τῶν θη-
ρίων ἐκ τοῦ ἐμφανοῦς κρατοῦσιν.*

κυνὸς ἡλικία ἐς τὸ θεῖν· θήλειαν μὲν μετὰ μῆνα ἑνδέ- 25
*κατον ἐξάγειν ἐπὶ θήραν, πρόσθεν δὲ ἔτι ἀπὸ δεκάτου
μηνός, εἰ εὐπαγὴς τύχοι καὶ μὴ ὑγρομελής, λαγὼ ἀπὸ
χειρὸς ἀφιέναι ἐν χωρίῳ περιφανεῖ, καὶ τὴν μὲν ἐγγύ-
θεν ἐφιέναι τῷ λαγῷ, ὡς τῆς τε ὄψεως αὐτὴν ἐμπίπλασθαι
καὶ ἐγγὺς ὁρῶσαν μετ' ἐλπίδος ἀγαθῆς πονεῖν, κύνα δὲ* 2
ἄλλην γενναίαν ἐφιέναι ὕστερον, ὡς μὴ ἐπὶ πολὺ κακο-

---

21 Xen. Cyn. 7, 6 **23** *ὑγρομελής*] cf. Xen. Cyn. 5, 13

---

7 *ἐφομαρτοῦσιν* Holst. *εφωμαρτον ἐν* (sic) P 8 *ὥστε*] *ἔστε* Herch. *περιβαλόντες* Herch. 9 *τοι* Holst. *τοῖς* P 11 *οὐδὲ βρόχοις*] cf. Herw. p. 315 13 *θέματα* P, corr. Holst. 18. 19 *ψυτταλίαν* P, corr. Dind. 21 *κυνὸς — θεῖν* del. Schneid., defendit Dind. *ἡλικίαι* P, corr. Holst. 23 *λαγῶι* P, corr. Schneid. 25 *τῆς τε ὄψεως* scripsi *τήν τε ὄψιν* P *ἐμπίμπλασθαι* Herch.; cf. ad p. 12, 3 27 *γενναίαν*] *τελείαν* Herch.

παθῆσαι τὴν σκύλακα μηδὲ ἀπαγορεῦσαι ὑπὸ καμάτου.
ἡ δὲ θαμινὰ καὶ εὐμαρῶς ἐξελίσσουσα τὸν λαγὼ παρα-
δώσει τῇ σκύλακι. ἑλοῦσαν δὲ ἐᾶν σπαράξαι τοῖς ὀδοῦ-
3 σιν, ἔστε κατακανεῖν. ἐπειδὰν δὲ ἐξάγεσθαι ἤδη ὥραν
ἔχῃ, πρῶτα μὲν τὰς ὁδοὺς βαδίζειν, ὅσαι τραχεῖαι αὐτῶν·
ἀγαθὸν γὰρ τὸ μελέτημα ἐς τὸ πῆξαι τοὺς πόδας ταῖς
4 κυσίν. ἔπειτα ἵστασθαι τὸν ἔχοντα αὐτὴν ἐν χωρίῳ πε-
ριφανεῖ καὶ ὑπερδεξίῳ, καὶ φθάσαντι μὲν τῷ λαγῷ καὶ
προλαβόντι οὐχ ὁρῶσαν μὴ ἐφιέναι· τοῦτο γάρ τοι περὶ
τῶν εἰς ἰχνείαν ἀσκουμένων κυνῶν παραινεῖ ὁ Ξενοφῶν
5 ἐκεῖνος. κύνα δὲ ὠκεῖαν εἰ μὴ ὁρῶσαν ἐπιλύσειας, πλά-
ζεται καὶ σκιρτᾷ καὶ ἔκφρων γίγνεται καὶ ἀνασοβεῖται.
6 καὶ τοίνυν εἴ ποτε διαφύγοι αὐτὴν τελεωθεῖσαν ἤδη ὁ
λαγώς, οὐκ ἀτρέμα ἔχει ἑαυτὴν οὐδὲ ἐπὶ τὸν κυναγωγὸν
ἐπάνεισιν οὐδὲ ἀνακαλοῦντος ὑπακούει, ἀλλ᾽ ὑπὸ μελέ-
της τοῦ θεῖν ἐπὶ μηδενὶ εἰκῇ πλάζεται, καὶ μαινομένῃ
7 ἔοικεν. ἀλλὰ ἵστασθαι μὲν τὸν ἔχοντα τὴν σκύλακα ἐν
χωρίῳ, ὁποῖον ἤδη μοι λέλεκται, κρυπτόμενον οὗ μά-
λιστα τεκμήραιτο ἄν τις ὅτι πονούμενος ὁ λαγὼς ὑπο-
8 κάμψας ἥξει. ἰδόντα δὲ διαπεπονημένον ἐγγύθεν ἐφιέ-
ναι, μὴ κατὰ στόμα μηδὲ ἐκ τοῦ ἐναντίου· ἡ μὲν γὰρ
κύων ἐξορμήσασα εὐθὺ ἐξενεχθήσεται, ὁ δὲ λαγὼς ἐξε-
λίξας εὐμαρῶς παραμείψει· τὴν δὲ πολὺ ἀπολειφθῆναι
ἀνάγκη καὶ χαλεπῶς ὑποκάμψαι, καθάπερ αἱ τριήρεις
εὐθυπλοοῦσαι οὐκ εὐμαρῶς ἐπικάμπτουσιν, εἰ μὴ ἀνε-
θείη τὸ πολὺ τῆς εἰρεσίας αὐταῖς πρὶν ἐπιστρέφεσθαι,
9 ἀλλὰ ἐάσαντα παραμεῖψαι τὸν λαγὼν ἐκ τοῦ πλαγίου χρὴ
ἐφεῖναι. ἁλόντος δὲ ἐφομαρτείτω τις σπουδῇ, πρὶν ἐμ-

---

3 cf. Xen. Cyn. 7, 9 i. f. 5 sq. cf. Xen. Cyn. 4, 10
10 Xen. Cyn. 7, 7 18 λέλεκται] l. 7 sq.

---

7 αὐτὴν Herch. αὐτὰς P 15 ἐπακούει Eberh. 16 ἐπὶ μηδενὶ] cf. Cast. p. 214 18 οὗ] οἱ Herch. 22 ⟨ἐπ'⟩ εὐθὺ Herch. 25 ὑποκάμπτουσιν Herch.

φορηθῆναι τοῦ αἵματος τὴν κύνα, οὐκ ἐπειδὴ τὰ κρέα
ἄρα περὶ πολλοῦ ποιητέον ἀνδρὶ ἐς κάλλος κυνηγετοῦντι,
ἀλλ' ὅτι πονηρὸν μάθημα κυνὶ γενναίᾳ λαγωοῦ ἐσθίειν. καὶ
ἤδη πολλαὶ κύνες οὕτω διεφθάρησαν, ἐπεὶ μακρῷ δρόμῳ
ἀσθμαίνουσαι ἐνεπλήσθησαν, ἔπειτα πνιγεῖσαι ἀπώλοντο.
ἄρρενα δὲ μὴ πρόσθεν ἢ διέτη γενόμενον ἐξάγειν ἐπὶ 26
θήραν· πολὺ γάρ τοι ὕστερον τοῖς ἄρρεσιν πήγνυται τὰ
μέλη. καὶ ὁ κίνδυνος οὐ σμικρός, ἀλλὰ πολλοὶ ἤδη πρὶν 2
τελεωθῆναι ἀγωνισάμενοι πρὸ ὥρας ἀπώλοντο, καὶ μά-
λιστα δὲ ὅσοι γενναιότατοι· ὑπὸ γὰρ μένους τοσοῦτον
ὅσον δύνανται θέουσιν. τὰ δὲ ἄλλα ὡσαύτως παραφυ- 3
λάττειν, ὅσα ἐπὶ ταῖς θηλείαις ἤδη μοι λέλεκται ὅπως
πρακτέον. φυλάττειν δὲ καὶ ἀπὸ ὀχείας ἐντὸς τῆσδε τῆς 4
ἡλικίας· οὔτε γὰρ ἡ γονή πω αὐτοῖς πέπηγεν, ἀλλά ἐστιν
ἐξίτηλος τὸ πολὺ καὶ ἀμαυρά, καθάπερ ἡ τῶν παίδων,
αὐτοὶ δὲ διαφθείρονται πάμπαν, ὡς μηδὲν ἔτι πράτ-
τοντα ὕστερον ⟨ἂν⟩ ὀρθῶσαι τὴν ἁμαρτίαν. ἀλλ' ἀπὸ
τρίτου μὲν ἔτους ἐφίεσθαι ἐν ὥρᾳ ἂν εἴη τῇ ξυμμέτρῳ.
ἐφιέσθωσαν δὲ ὧδε. φυλάξαι χρὴ τὴν κύνα, ἐπειδὰν 27
ἀποκαθαρθῇ ἀπὸ τοῦ αἵματος· πρόσθεν δὲ εἰ παραλά-
βοιεν τὴν γονήν, τὸ πολὺ οὐ κρατοῦσιν, ἀλλὰ ἐκκλύ-
ζεται ὑπὸ τοῦ αἵματος, καθάπερ ταῖς γυναιξίν. προσ- 2
έχειν δὲ τὸν νοῦν ἐνταῦθα· βραχὺς γὰρ χρόνος διαγί-
γνεται, ἐν ᾧ οὐκέτι μὲν φέρεται αὐτῇ τὸ αἷμα, ἔτι δὲ
φυλάττει τὴν ἐπιθυμίαν. ἀγαθὴ δὲ τῇ θηλείᾳ ἡλικία ἡ
ἀπὸ διέτους ἐς ἕβδομον ἔτος.

---

18 cf. Cynos. 1, p. 587, 17 sq.

---

3 πονηρὸν μάθημα] cf. Xen. Cyn. 7, 10 i. f.

---

1 τὰς κύνας P, corr. Herch. οὐχ ὅτι δὴ Herch. 3 λαγὼ (accus.) vel λαγῶα (sc. κρέα) Schneid., cf. p. 46, 22 10 δὲ] δὴ Herch. 11.12 παραφυλάττειν ⟨χρὴ τοὺς ἄρρενας⟩ Güthl. p. 23 16 δὲ] τε Herch., v. ad p. 8, 9 17 ⟨ἂν⟩ add. Cast. coll. Cyn. 16, 8; Peripl. 9, 4 20 ἀποκαθάρῃ P, corr. Schneid. ἀπὸ del. Herch. ἀπὸ τοῦ αἵματος del. Herw. 20. 21 παραλάβειεν P, corr. Holst.

28 *κράτιστον δὲ καθεῖρξαι ἐν ταὐτῷ τὸν ἄρρενα ἅμα τῇ*
θηλείᾳ, αὐτὸν δὲ ἀφανῆ εἶναι [ἅμα] ταῖς κυσίν· αἱ γὰρ
ἐν τῷ ἐμφανεῖ ὁμιλίαι οὐ γόνιμοι, εἰ χρὴ πείθεσθαι ἀν-
δράσιν κυνηγετικοῖς. ὅσα. δὲ τοιαῦτα λάθρᾳ ὑπὸ κυνῶν
2 *ἐσπουδάσθη, ἐπιτυχῆ γίνεσθαι λόγος. μετὰ ταῦτα δὲ*
ἐξάγειν μὲν ἐπὶ θήραν — ὁ γὰρ περίπατος ἀγαθὸν ἐς
ῥώμην ταῖς κυσίν —, ἐφεῖναι δὲ αὐτὰς λαγωῷ μηκέτι·
κίνδυνος γὰρ διαφθεῖραι ὑπερκαμοῦσαν ἢ ὑπερταθεῖ-
3 *σαν. καὶ τὸν ἄρρενα δὲ μὴ ἐφιέναι ἐπὶ λαγὼν ὡσαύ-*
τως, πρὶν ἀπὸ τοῦ καμάτου ἀμπαύσασθαι καὶ ῥωσθῆ-
ναι, ἑξήκοντα ἡμερῶν οὐ μεῖον· ἔπειτα ἐφιέναι ἐς ἀγῶνα
οὐδὲν κωλύσει.

29 *κρατίστη δὲ ὥρα ἐς σκυλακείαν ἡ τοῦ ἦρος· εὐκρά-*
τως γὰρ αὕτη μάλιστα ἔχει κρύους τε καὶ θάλπους. ὡς
τὸ μὲν κρύος τοῖς σκυλακίοις οὐκ ἀγαθὸν ἐς ἀνατροφήν,
ἄλλως τε καὶ ἀπορίᾳ γάλακτος· τὸ δὲ καῦμα ταῖς μη-
τράσιν χαλεπὸν ἐν τῇ ἀνατροφῇ· τὸ φθινόπωρον δὲ
ταύτῃ χεῖρον τοῦ ἦρος, ὅτι χειμὼν ἐπιλαμβάνει τὰ σκυ-
λάκια πρὶν παγῆναι.

30 *τεκοῦσαν δὲ εἰ μὲν ἔτι θέλοις ἐπαναλαβεῖν τὴν πρό-*
σθεν ὠκύτητα, μὴ ἐᾶν ἐκτρέφειν αὐτὴν ὅτι μὴ ἐς ὅσον
ἀποκουφίσαι τὸ πολὺ τοῦ γάλακτος· εἶτα δὲ ἀφελόντα
ἄλλαις παραδιδόναι κυσὶν ἐπιλεγόμενον γενναίας· τὸ
2 *γὰρ τῶν ἀγεννῶν γάλα οὐ ξύμφυλον ταῖς γενναίαις. εἰ*

1—5 cf. Cynos. 1, p. 587, 21 sqq. 9—12 cf. Cynos. 1 i. f., p. 588, 6 sqq. *τὸν μέντοι ἄρρενα χρὴ ἀνακτᾶσθαι διαίτῃ ἁβροτέρᾳ καὶ λιπαρᾷ μέχρι λ' ἡμερῶν, εἶθ' οὕτως χρείας καλούσης ἐξάγειν ἐπὶ τὴν θήραν*

7 cf. Xen. Cyn. 7, 2 18 cf. Xen. Cyn. 7, 1

2 [ἅμα] delevi, *ἅμα ταῖς κυσίν* del. Herch. 5 *γενέσθαι* Herch. 6 *ἀγαθὸς* Herch., v. ad p. 25, 28 7 *ἐφιέναι* Herch. *λαγωιῶι* P, corr. Holst. 9 *ἄρενα* (sic) P, corr. Holst. 11 *ἑξήκοντα*] numerus corruptus videtur, fortasse scribendum *τριάκοντα* coll. Cynos. l. l. *ἑξήκοντα — μεῖον* del. Herw. 22 *ὑφελόντα* Herch. 23 *γενναίας* Herch. *γενναίαις* P

δὲ μηκέτι ἐς δρόμον ἐπιτηδείως ἔχουσα φαίνοιτο ἡ κύων, κράτιστον ἐᾶν ὑπὸ τῇ τεκούσῃ καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα· αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι, ἧπερ καὶ ⟨ὁ⟩ Ξενοφῶν ἐκεῖνος ἀποφαίνει, οὐκ εἰσὶν αὔξιμοι· τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν καὶ τὸ πνεῦμα.
καὶ ὁπόταν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, ὀρθῶς ξυμ- 31
βουλεύει ὅτι χρὴ γάλακτι ἀνατρέφειν αὐτά, καὶ ὅτι αἱ βαρεῖαι πλησμοναὶ τά τε σκέλη αὐτοῖς διαστρέφουσιν
καὶ τοῖς σώμασιν νόσους ἐμβάλλουσιν. καὶ τὰ ὀνόματα 2
δὲ ὅτι βραχέα καὶ εὐανάκλητα θετέον ταῖς κυσίν, καὶ τοῦτο χρὴ πείθεσθαι αὐτῷ. καὶ ὅσα ἀναγέγραφεν ὀνόματα, τὰ μὲν εὑρὼν τὰ δὲ καὶ αὐτὸς ποιήσας, δεξιῶς
ἀναγέγραφεν. εἰ δὲ μήπω ἐθέλοις σκυλακεῦσαι, φυλάτ- 3
τειν ὡς ἀνυστὸν ἐπιμελέστατα τὰς κύνας, ἐπειδὰν τῇ ἀνάγκῃ ταύτῃ ἔχωνται· ἀποπαυσαμέναις δὲ οἱ μαστοὶ σφριγῶσιν καὶ ὑποπίμπλανται γάλακτος, καὶ τείνεται
τὰ ὑπὸ τῇ γαστρί. καὶ ἔστιν τηνικαῦτα οὐκ ἀσφαλὲς 4
ἐπιλύειν κύνα ἐπὶ λαγών· ῥήγνυνται γὰρ αὐταῖς αἱ λαγόνες. ὥστε οὐδὲ ἐς τὸ σκιρτῆσαι χρὴ λύειν αὐτὰς ἅμα ἑτέρᾳ κυνί· ἁμιλλώμεναι γάρ ἐστιν ὅτε καὶ ὑπὲρ δύνα-
μιν ξυνταθεῖσαι ἐς ἴσον κίνδυνον καθίστανται. ἀλλὰ 5
κράτιστον περιμεῖναι, ἔστε χαλάσαι αὐταῖς τοὺς μαστούς. τεκμήριον δὲ ὅτι ἤδη ἀσφαλές, ἐπειδὰν αἱ τρίχες ἀπορρέωσιν ἀθρόαι ἐπαφωμένῳ· τότε γὰρ λύονται, ἐμοὶ δοκεῖ,

---

2—4 cf. Cynos. 2 i. f., p. 588, 29 sqq.

---

4 Xen. Cyn. 7, 3 7 Xen. Cyn. 7, 4 9 Xen. Cyn. 7, 5 14. 15 *τῇ ἀνάγκῃ ταύτῃ*] cf. Xen. Cyn. 7, 1

---

2 *ἐὰν* P, corr. Holst. 4 ⟨ὁ⟩ add. Herch. 5 *μιαρῶν* P *μητρῶν* Holst., corr. Schneid. 6 *καὶ* del. vel *καὶ* ⟨*φίλαι αἱ περιβολαί*⟩ scribit Herch., coll. Xen. Cyn. 7, 3; v. ad p. 20, 4 8 *διατρέφουσιν* P, corr. Holst. e Xen. 14 *ἀνυστέον* P *ἀνυτὸν* Schneid., corr. Herch. 15 *μαστοὶ* an *μασθοὶ* P habeat incertum 18 *ἐπιλύσειν* P, corr. Holst. 24 *δοκεῖν* Müll., cf. Anab. VI 11, 6

ἀπὸ τῆς ἀνάγκης τῆς πρόσθεν καὶ παρίστανται ἤδη ἐς δρόμον.

32 *κύων θήλεια μὲν ὠκυτέρα ἄρρενος, ἄρρην δὲ θηλείας διαπονεῖσθαι ἀμείνων. καὶ ὅτι δι' ἔτους θεῖ, πολλῷ τινι ἐντιμότερον τὸ κτῆμα· καὶ ὅτι θήλειαι μὲν πολλαὶ ἀγαθαί, ἄρρενος δὲ γενναίου ἐπιτυχεῖν οὐκ εὐμαρές, καὶ*
2 *ταύτῃ ἐντιμότερον. καὶ ὅτι αἱ θήλειαι μὲν ἀγαπητὸν εἰ καὶ ἐς πέμπτον ἔτος διαφυλάξειαν τὸ ὠκύ, ἄρρενες δὲ καὶ ἐς δέκατον διαφυλάττουσιν. ὥστε μέγα μοι δοκεῖ τὸ κτῆμα ἄρρην κύων τῇ ἀληθείᾳ γενναῖος καὶ οὐκ ἄνευ θεῶν του εὐμενείας παραγίγνεσθαι ἀνδρὶ κυνηγετικῷ.*

33 *ἀλλὰ χρὴ θύειν Ἀρτέμιδι Ἀγροτέρᾳ ἐπὶ τῷδε τῷ κτήματι· θύειν δὲ χρὴ καὶ ἐπὶ θήρᾳ εὖ πράξαντα, καὶ ἀνατιθέναι ἀπαρχὰς τῶν ἁλισκομένων τῇ θεῷ, †γε ἀποκαθαίρειν τὰς κύνας καὶ τοὺς κυνηγέτας, κατὰ τὰ πάτρια, ὡς νόμος.*

34 *Κελτῶν δὲ ἔστιν οἷς νόμος καὶ ἐνιαύσια θύειν τῇ Ἀρτέμιδι, οἳ δὲ καὶ θησαυρὸν ἀποδεικνύουσιν τῇ θεῷ. καὶ ἐπὶ μὲν λαγωῷ ἁλόντι δύ' ὀβολὼ ἐμβάλλουσιν ἐς τὸν θησαυρόν, ἐπὶ δὲ ἀλώπεκι δραχμήν, ὅτι ἐπίβουλόν τὸ χρῆμα καὶ τοὺς λαγὼς διαφθείρει· τούτου ἕνεκα πλεῖον ἐμβάλλουσιν, ὡς ἐπὶ πολεμίῳ ἁλόντι. ἐπὶ δὲ δορκάδι τέσσαρας δραχμάς, ὅτι μέγα τὸ ζῷον καὶ ἡ θήρα*
2 *ἐντιμοτέρα. περιελθόντος δὲ τοῦ ἔτους ὁπόταν ⟨τὰ⟩ γενέθλια ἥκῃ τῆς Ἀρτέμιδος, ἀνοίγνυται μὲν ὁ θησαυρός, ἀπὸ δὲ τοῦ συλλεχθέντος ἱερεῖον ὠνοῦνται, οἳ μὲν οἶν, οἳ*
3 *δὲ αἶγα, οἳ δὲ μόσχον, εἰ οὕτω προχωροίη. θύσαντες δὲ καὶ τῶν ἱερείων ἀπαρξάμενοι τῇ Ἀγροτέρᾳ, ὡς ἑκά-*

---

7 ὅτι del. Herch. 9 τὸ del. Sauppe 14 †γε] γε P καὶ Schneid. ⟨ἐφ' ᾧ⟩ τε vel ⟨ἔτι⟩ τε proposuit aut post θεῷ quaedam excidisse coniecit Herch. ⟨καὶ κατ' ἔτος⟩ γε Cast. coll. Tibull. I 1, 35 sq. 15 τὰς Herch. τοὺς P 19 λαγωιῶι P, corr. Holst. δυοβολὼ P, distinxit Herch. 22 πλέον Herch.; cf. Tact. 26, 2; 40, 11; Ac. 26 24 ⟨τὰ⟩ add. Herch. 27 προχωροῖ P, corr. Herch.

στοις νόμος, εὐωχοῦνται αὐτοί τε καὶ αἱ κύνες. τὰς
κύνας δὲ καὶ στεφανοῦσιν ἐν τῇδε τῇ ἡμέρᾳ, ὡς δῆλον
εἶναι διότι ἐπ' αὐταῖς ἑορτάζουσιν.

καὶ ἐγὼ ἅμα τοῖς συνθήροις ἕπομαι τῷ Κελτῶν νόμῳ, 35
καὶ ἀποφαίνω ὡς οὐδὲν ἄνευ θεῶν γιγνόμενον ἀνθρώ-
ποις ἐς ἀγαθὸν ἀποτελευτᾷ. ἀλλὰ καὶ ὅσοι ναυτίλλονται 2
ἀπὸ θεῶν ἄρχονται, ὅσοις γε τοῦ σῴζεσθαι μέλει, καὶ
ἀνασωθέντες χαριστήρια θύουσιν τοῖς θεοῖς τοῖς θα-
λαττίοις, Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηίσιν. καὶ
ὅσοι τὴν γῆν ἐργάζονται, Δήμητρι καὶ τῇ παιδὶ αὐτῆς
καὶ Διονύσῳ, οἱ δὲ ἀμφὶ τὰς τέχνας πονούμενοι Ἀθηνᾷ
καὶ Ἡφαίστῳ, καὶ οἱ ἀμφὶ παίδευσιν Μούσαις καὶ Ἀπόλ-
λωνι Μουσηγέτῃ καὶ Μνημοσύνῃ καὶ Ἑρμῇ, οἱ δὲ ἀμφὶ
τὰ ἐρωτικὰ Ἀφροδίτῃ καὶ Ἔρωτι καὶ Πειθοῖ καὶ Χά-
ρισιν. οὕτω τοι καὶ τοὺς ἐπὶ θήρᾳ ἐσπουδακότας οὐ 3
χρὴ ἀμελεῖν τῆς Ἀρτέμιδος τῆς Ἀγροτέρας οὐδὲ Ἀπόλ-
λωνος οὐδὲ Πανὸς οὐδὲ Νυμφῶν οὐδὲ Ἑρμοῦ Ἐνοδίου
καὶ Ἡγεμονίου, οὐδὲ ὅσοι ἄλλοι ὄρειοι θεοί· εἰ δὲ μή, 4
ἡμιτελῆ ἀποβαίνειν ἀνάγκη τὰ σπουδάσματα. καὶ γὰρ
καὶ αἱ κύνες βλάπτονται, καὶ οἱ ἵπποι χωλεύονται, καὶ
οἱ ἄνθρωποι σφάλλονται. καὶ τοῦτό γε δηλοῖ καὶ Ὅμη- 36
ρος ἐν τῇ ποιήσει. Τεῦκρον μὲν γὰρ τὸν τοξικώτατον
Ἑλλήνων ἐν τῷ ἀγῶνι οὔ φησιν τυχεῖν ὅτι μὴ τῆς μη-
ρίνθου, καὶ ταύτην διακόψαι, ἐπειδὴ μὴ ἐπηύξατο τῷ
Ἀπόλλωνι· Μηριόνην δέ, ἄνδρα οὐ τοξικόν, ἐπευξάμε-
νον τῷ Ἀπόλλωνι, ἀποπετομένης ἤδη τῆς ὄρνιθος τυ-
χεῖν. καὶ τοὺς ἐκγόνους δὲ τῶν ἐπὶ Θήβας σὺν Πολυ- 2
νείκει στρατευσάντων ἑλεῖν τὰς Θήβας

πειθομένους τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·

---

22 Iliad. XXIII 859 sqq. 29 Iliad. IV 408

---

1 οἱ P, corr. Herch. 7 γε Müll. et Haupt τε P 20 οἱ κύνες P, corr. Herch. 22 γὰρ Zeune γε P 27. 28 πολυνείκῃ P, corr. Herch. 29 τεράεσσιν P, corr. Holst.

τοὺς δὲ πατέρας αὐτῶν, οὐδέν τι χείρους ἐκείνων ἐς
ἀλκὴν γενομένους, διαφθαρῆναι ἐν Θήβαις, ὅτι μὴ
3 *ἐπείθοντο τοῖς σημαινομένοις ἀπὸ θεῶν. καὶ τὸν Ἕκ-*
τορα οὐ πεισθέντα Πουλυδάμαντι οὐκ ἐῶντι ἐπελαύνειν
ταῖς ναυσὶ τῶν Ἑλλήνων ἐπὶ τῷ δράκοντι ⟨τῷ⟩ κατα-
βληθέντι πρὸς τοῦ ἀετοῦ, ὡς οὐ ξὺν κόσμῳ ἐπανελευ-
σομένους, ὀλίγον ὕστερον ἔργῳ ἀναδιδαχθῆναι ὡς οὐκ
4 *ἀγαθὸν ἀπειθεῖν τῷ θείῳ. τούτοις χρὴ πειθομένους, κα-*
θάπερ ἐπ' ἄλλῳ τῳ ἔργῳ, οὕτω δὲ καὶ ἐπὶ θήρᾳ ἄρχε-
σθαί τε ἀπὸ θεῶν καὶ χαριστήρια θύειν εὖ πράξαντας
καὶ σπένδειν καὶ εὐφημεῖν καὶ στεφανοῦν καὶ ὑμνεῖν
καὶ ἀπαρχὰς τῶν ἁλισκομένων ἀνατιθέναι, οὐ μεῖον ἢ
ἐπὶ νίκῃ πολέμου ἀκροθίνια.

---

3 sqq. cf. Iliad. XII 210 sqq. 6. 7 *ἐπανελευσομένους*] cf. Iliad. XII 225

---

3 *ὑπὸ* Herch. 5 ⟨*τῷ*⟩ add. Herch. 6 *οὐ* Holst. *οὖν* P, sed *ν* erasum 10 *πράξαντα* P, corr. Herch. 13 *ἐπὶ νίκῃ* Schaefer (in Schneideri editione) *ὁ τῇ νίκῃ* P [*ὁ*] *τῇ Νίκῃ* Dind. subscriptio: *πλήρης ὁ ἀρριανοῦ κυνηγετικός*, vox *ἀρριανοῦ* erasa est et manu recenti suprascriptum *ξενοφῶντος ἀθηναίου τοῦ δευτέρου*

ΑΡΡΙΑΝΟΥ
ΠΕΡΙΠΛΟΥΣ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ

Αὐτοκράτορι Καίσαρι Τραϊανῷ Ἀδριανῷ Σεβαστῷ
Ἀρριανὸς χαίρειν.

Εἰς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει ὁ 1
Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάττῃ ᾠκισμένην, Σινωπέων
ἄποικον, καὶ τὴν μὲν θάλασσαν τὴν τοῦ Εὐξείνου ἄσμε-
νοι κατείδομεν ὅθενπερ καὶ Ξενοφῶν καὶ σύ. καὶ οἱ 2 (2 M)
βωμοὶ ἀνεστᾶσιν ἤδη, λίθου μέντοι γε τοῦ τραχέος, καὶ
τὰ γράμματα διὰ τοῦτο οὐκ εὔδηλα κεχάρακται, τὸ δὲ 2 H
Ἑλληνικὸν ἐπίγραμμα καὶ ἡμαρτημένως γέγραπται, οἷα
δὴ ὑπὸ βαρβάρων γραφέν. ἔγνωκα οὖν τούς τε βωμοὺς
λίθου λευκοῦ ἀναθεῖναι, καὶ τὰ ἐπιγράμματα ἐγχαράξαι
εὐσήμοις τοῖς γράμμασιν. ὁ μὲν γὰρ ἀνδριὰς ἕστηκεν ὁ 3
σός, τῷ μὲν σχήματι ἡδέως — ἀποδείκνυσιν γὰρ τὴν θά-
λατταν —, τὴν δὲ ἐργασίαν οὔτε ὅμοιός σοι οὔτε ἄλλως
καλός· ὥστε πέμψον ἀνδριάντα ἄξιον ἐπονομάζεσθαι 4
σὸν ἐν τῷ αὐτῷ τούτῳ σχήματι· τὸ γὰρ χωρίον ἐπιτη-
δειότατον εἰς μνήμην αἰώνιον.

πεποίηται δὲ καὶ ὁ νεὼς λίθου τετραγώνου οὐ φαῦ- 2 (3 M)
λος· ἀλλὰ τὸ τοῦ Ἑρμοῦ ἄγαλμα οὔτε τοῦ νεὼ ἄξιόν
ἐστιν οὔτε αὐτοῦ τοῦ χωρίου. εἰ δέ σοι δοκεῖ, πέμψον

---

6 Xen. Anab. IV 8, 22 8 Xen. Anab. IV 7, 21 sqq.; cf. Weber, p. 264 sqq.

Titulus. *ἀρριανοῦ ἐπιστολὴ πρὸς τραϊανόν· ἐν ᾗ καὶ περίπλους εὐξείνου πόντου* P; cf. Steph. Byz. s. v. *Ἀψίλαι· Ἀρριανὸς ἐν περίπλῳ τοῦ Εὐξείνου πόντου*, Leo Diaconus IX 6, p. 150 ed. Bonn. *Ἀρριανὸς ἐν τῷ περίπλῳ*, v. Praef. p. XVII adn. 1
10 *ἐγκεχάρακται* Cast. 15 *τὸ μὲν σχῆμα ἐπιτηδείως* Herch.
20. 21 *φαύλως* Herch., cf. l. 10 *εὔδηλα κεχάρακται*

μοι πεντάπουν μάλιστα Ἑρμοῦ ἄγαλμα — τηλικοῦτον γάρ μοι δοκεῖ ἔσεσθαι ὥς γε πρὸς τὸν νεὼν σύμμετρον — καὶ
2 ἄλλο τοῦ Φιλησίου τετράπουν· οὐ γὰρ ἀπὸ τρόπου δοκεῖ μοι σύνναος καὶ σύμβωμος ἔσεσθαι τῷ προπάτορι. καὶ ὃ μέν τις τῷ Ἑρμῇ, ὃ δὲ τῷ Φιλησίῳ, ὃ δὲ καὶ ἀμφοῖν θύσει παριών. χαριοῦνται δὲ καὶ οὗτοι κἀκεῖνοι τῷ τε Ἑρμῇ καὶ τῷ Φιλησίῳ· τῷ μὲν Ἑρμῇ, ὅτι τὸν ἔγγονον αὐτοῦ τιμῶσιν, τῷ δὲ Φιλησίῳ, ὅτι τὸν αὐτοῦ προπά-
3 τορα. ὡς ἔγωγε καὶ ἐβουθύτησα ἐνταῦθα, οὐχ ὥσπερ ὁ
□ 3 H Ξενοφῶν ἐκεῖνος ἐν Κάλπης λιμένι ὑφ' ἁμάξης βοῦν λαβὼν δι' ἀπορίαν ἱερείων, ἀλλὰ τῶν Τραπεζουντίων αὐτῶν παρασκευασάντων ἱερεῖον οὐκ ἀγεννές. καὶ ἐσπλαγχνευσάμεθα αὐτόθι καὶ ἐπὶ τοῖς σπλάγχνοις ἐπεσπεί-
4 σαμεν. ὅτῳ δὲ πρώτῳ τἀγαθὰ ηὐχόμεθα, οὐ λανθάνομέν σε τόν τε τρόπον τὸν ἡμέτερον οὐκ ἀγνοοῦντα καὶ σαυτῷ συνειδότα ὅτι ἄξιος εἶ ὑπὲρ ὅτου πάντες εὔξαιντο τἀγαθὰ καὶ ὅσοι ἡμῶν ἔλαττον ὑπὸ σοῦ εὖ πεπόνθασιν.

(4M)3 ἐκ Τραπεζοῦντος δὲ ὁρμηθέντες τῇ μὲν πρώτῃ εἰς Ὕσσου λιμένα κατήραμεν καὶ τοὺς πεζοὺς τοὺς ταύτῃ ἐγυμνάσαμεν· ἡ γὰρ τάξις αὕτη, ὡς οἶσθα, πεζῶν ἐστιν καὶ ἱππέας εἴκοσιν ὅσον εἰς διακονίαν ἔχει· ἀλλὰ καὶ
(5M)2 τούτους τὰς λόγχας ἀκοντίσαι ἐδέησεν. ἐνθένδε ἐπλέομεν τὰ μὲν πρῶτα ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν

---

3 *Φιλήσιον* esse Apollinem *Φιλήσιον* Didymis cultum (de quo cf. Höfer apud Rosch. III 2, p. 2304) et Mileto per Sinopenses Trapezunta in coloniam transductum putavit C. O. Müller, Dorier I p. 225, sed cf. F. Cumont, Studia Pontica II p. 367 adn. 2 10 Xen. Anab. VI 4, 25 20 *τοὺς πεζοὺς τοὺς ταύτῃ*] *cohors Apuleia* (*apuleta* codd.) *civium Romanorum Ysiporto*: Notitia dignit. Or. XXXVIII 34, quam hic intelligendam esse putat Cichorius, R. E. IV p. 241, coll. Ac. 7. 14, sed cf. Ritt. p. 366 adn. 5

---

2 *ὥς γε* Stuck *ὥστε* P 13 *ἐπὶ* del. Herch. 16 *πάντες* ⟨*ἂν*⟩ Herch. 22 *ὅσον* del. Herch. *ὅσον εἴκοσιν* (pro *εἴκοσιν ὅσον*) Cast., v. ad p. 20, 8

πνεούσαις ἕωθεν καὶ ἅμα ταῖς κώπαις διαχρώμενοι· ψυχραὶ μὲν γὰρ ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ Ὅμηρος, οὐχ ἱκαναὶ δὲ τοῖς ταχυναυτεῖν βουλομένοις. εἶτα γαλήνη ἐπέλαβεν, ὥστε καὶ ἡμεῖς τῇ εἰρεσίᾳ μόνῃ ἐχρώμεθα. ἔπειτα δὲ ἄφνω νεφέλη ἐπαναστᾶσα ἐξερράγη κατ' εὖρον 3 μάλιστα, καὶ ἐπήνεγκεν πνεῦμα ἐξαίσιον καὶ τοῦτο ἀκρι- 4 H βῶς ἐναντίον, ὅπερ καὶ μόνον ὤνησεν ἡμᾶς· κοίλην μὲν γὰρ δι' ὀλίγου τὴν θάλατταν ἐποίησεν, ὡς μὴ κατὰ τὰς κώπας μόνον ἀλλὰ καὶ ὑπὲρ τὰς παρεξειρεσίας ἐπεισρεῖν ἡμῖν ἑκατέρωθεν ἀφθόνως τοῦ ὕδατος, τοῦτο δὴ τὸ 4 τραγικόν,

'καὶ τὴν μὲν ἐξαντλοῦμεν, ἡ δ' ἐπεισρέει.'

ἀλλ' οὐ πλάγιόν γε ἦν τὸ κλυδώνιον. ταύτῃ καὶ ἠνύτομεν μόγις καὶ χαλεπῶς τῇ εἰρεσίᾳ, καὶ μέντοι πολλὰ παθόντες ἥκομεν εἰς τὰς Ἀθήνας. □

ἔστιν γάρ τοι καὶ ἐν Πόντῳ τῷ Εὐξείνῳ χωρίον οὕτω 4 (6 M) καλούμενον, καί τι καὶ Ἀθηνᾶς ἱερόν ἐστιν αὐτόθι Ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τοῦτο τῷ χωρίῳ, καὶ φρούριόν τι ἐστὶν ἠμελημένον. ὁ δὲ ὅρμος 2

---

2 Odyss. V 469 16—18 cf. Steph. Byz. s. v. Ἀθῆναι i. f. ἔστι δὲ καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ χωρίον Ἀθῆναι, ὡς Ἀρριανός· ἔστι καὶ ἱερὸν αὐτόθι Ἑλληνικόν Arriano, nomine eius non citato, contradicit Procop. Bell. Goth. IV 2, 10 16—p. 106, 5 = Anon. 89 b

---

12 Nauck, Tragic. Graec. fragm.[2], Adesp. 89, p. 856 sq.

---

4 καὶ ἡμεῖς del. Herch., sed spectat ad Ulixis socios, Odyss. XII 168 sqq. 7 καὶ μονον⟨ουχὶ⟩ ὤλεσεν Gesner (apud Stuck p. 82) κἂν μόνον ἀπώλεσεν Herch.; uterque frustra, cf. l. 13 sq. 12 καὶ τὴν P et Athenaeus IV p. 156 E ἄλλην Suid. s. v. ἄλλην; scholion in Luciani Hermot. 61, p. 244 Rabe; proverbia (Zenobius 1, 75, Diogenianus 2, 22) ἐξαντλοῦμεν Suid. l. l. et pars codicum schol. in Luc. l. l. ἐξηντλοῦμεν P et cetera testimonia ἐπεισρέει schol. in Luc. l. l.; Suid. l. l.; proverbia; ἐπεισέρρει □ P et Athen. l. l. 16 ἐν πόντῳ εὐξείνῳ lv ἐν ⟨τῷ⟩ Πόντῳ τῷ Εὐξείνῳ Herch. 18. 19 τούτῳ τῷ χωρίῳ l (quod coni. Cast.) τούτου τοῦ χωρίου v

οἷος ὥρᾳ ἔτους δέχεσθαι οὐ πολλὰς ναῦς καὶ σκέπην
ταύταις παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὐτοῦ τοῦ εὔ-
ρου· σῴζοιτο δ' ἂν καὶ τοῦ βορρᾶ τὰ ὁρμοῦντα πλοῖα,
ἀλλὰ οὐ τοῦ γε ἀπαρκίου οὐδὲ τοῦ θρασκίου μὲν ἐν
3 τῷ Πόντῳ, σκίρωνος δὲ ἐν τῇ Ἑλλάδι καλουμένου. εἰς
δὲ τὴν νύκτα βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ κατεῖχον,
5 H καὶ πνεῦμα οὐ τὸ αὐτὸ ἔτι, ἀλλὰ εἰς νότον μεθειστήκει,
καὶ δι' ὀλίγου ἀπὸ τοῦ νότου εἰς λίβα ἄνεμον, καὶ ταῖς
4 ναυσὶν οὐκέτι ἀσφαλὴς ὁ ὅρμος ἦν. πρὶν οὖν παντάπα-
σιν ἀγριωθῆναι τὴν θάλασσαν, ὅσας μὲν αὐτὸ τὸ χωρίον
αἱ Ἀθῆναι δέξασθαι ἠδύναντο, ταύτας αὐτοῦ ἐνεωλκή-
σαμεν, πλὴν τῆς τριήρους· αὕτη γὰρ πέτρᾳ τινὶ ὑφορ-
5 μοῦσα ἀσφαλῶς ἐσάλευεν. τὰς δὲ πολλὰς ἐδόκει πέμπειν
εἰς τοὺς αἰγιαλοὺς τοὺς πλησίον νεωλκηθησομένας. καὶ
ἐνεωλκήθησαν ὥστε ἀπαθεῖς διαγενέσθαι πάσας πλὴν
μιᾶς, ἥντινα ἐν τῷ ὁρμίζεσθαι πρὸ τοῦ καιροῦ ἐπιστρέ-
ψασαν πλαγίαν ὑπολαβὸν τὸ κῦμα ἐξήνεγκεν εἰς τὴν
2 ἠϊόνα καὶ συνέτριψεν. ἀπεσώθη μέντοι πάντα, οὐ τὰ
ἱστία μόνον καὶ τὰ σκεύη τὰ ναυτικὰ καὶ οἱ ἄνθρωποι,
ἀλλὰ καὶ οἱ ἧλοι, καὶ ὁ κηρὸς ἀπεξύσθη, ὡς μηδενὸς ἄλ-
λου ἢ ξύλων δεῖσθαι ναυπηγησίμων εἰς τὴν κατασκευήν,
ὧν παμπόλλη, ὡς οἶσθα, ἀφθονία ἐστὶν κατὰ τὸν Πόν-
3 τον. οὗτος ὁ χειμὼν ἐπὶ δύο ἡμέρας κατεῖχεν, καὶ ἦν
ἀνάγκη μένειν. ἐχρῆν γὰρ ἄρα μηδὲ τὰς ἐν τῷ Πόντῳ
Ἀθήνας παραπλεῦσαι ἡμᾶς ὥσπερ τινὰ ὅρμον ἔρημον
καὶ ἀνώνυμον.

(7 M) 6 ἐνθένδε ἄραντες ὑπὸ μὲν τὴν ἕω πλαγίου τοῦ κλύδωνος
ἐπειρώμεθα, προϊούσης δὲ τῆς ἡμέρας βορρᾶς ἐπιπνεύσας

---

4 sq. cf. Kaibel, Herm. 20, 1885, p. 594 sqq., 621 sqq.; Capelle, Neue Jahrb. f. d. klass. Alt. 15, 1905, p. 542

---

4 *ἀπαρκίου* recte P *ἀπαρκτίου* l v (et ita in Arriano editiones post Stuckium); cf. I. G. XIV 1308 (= Inscr. gr. ad res Romanas pertinentes I 177); Hesych. s. v. *ἀπαρκίας*; Anecd. Bekkeri p. 445, 16 5 *σκιράδος* l *σκίροδος* v

ὀλίγος κατέστησε τὴν θάλατταν καὶ διατρεμῆσαι ἐποίη- 6 H
σεν. καὶ ἤλθομεν πρὸ τῆς μεσημβρίας σταδίους πλείονας
ἢ πεντ⟨ήκοντα καὶ δι⟩ακοσίους εἰς Ἄψαρον, ἵναπερ αἱ □
πέντε σπεῖραί εἰσιν ἱδρυμέναι. καὶ τὴν μισθοφορὰν τῇ 2
στρατιᾷ ἔδωκα καὶ τὰ ὅπλα εἶδον καὶ τὸ τεῖχος καὶ τὴν
τάφρον καὶ τοὺς κάμνοντας καὶ τοῦ σίτου τὴν παρα-
σκευὴν τὴν ἐνοῦσαν. ἥντινα δὲ ὑπὲρ αὐτῶν τὴν γνώ-
μην ἔσχον, ἐν τοῖς Ῥωμαϊκοῖς γράμμασιν γέγραπται. ὁ 3
δὲ Ἄψαρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο
πάλαι ποτέ· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μηδείας
ἀποθανεῖν, καὶ τάφος Ἀψύρτου δείκνυται. ἔπειτα δια-
φθαρῆναι τὸ ὄνομα ὑπὸ τῶν περιοίκων βαρβάρων, κα-
θάπερ καὶ ἄλλα πολλὰ διέφθαρται· ὁπότε καὶ τὰ Τύανα 4
τὰ ἐν τοῖς Καππαδόκαις Θόανα λέγουσιν ὅτι ὠνομάζετο □
ἐπὶ Θόαντι τῷ βασιλεῖ τῶν Ταύρων, ὃς τοὺς ἀμφὶ Ὀρέ-
στην καὶ Πυλάδην διώκων ἄχρι τῆσδε τῆς χώρας ἐλθεῖν □
φημίζεται καὶ ἐνταῦθα νόσῳ ἀποθανεῖν.

ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ παράπλῳ τῷ ἀπὸ 7 (8 M)

---

3 sqq. cf. Procop. Bell. Goth. IV 2, 14. 16   8 sqq. cf. Steph. Byz. p. 153, 16 Meineke; Procop. Bell. Goth. IV 2, 12; Jung p. 93   8—17 = Anon. 41   13 Steph. Byz. s. v. Τύανα· ἐκαλεῖτο δὲ Θόανα καὶ κατὰ παραγραμματισμὸν Τύανα, ὡς Ἀρριανός   18—p. 108, 6 cf. Anon. 38

---

3 sq. cf. C. I. L. X 1202 = Dessau 2660 (aetatis Hadrianeae): *N. Marcio N. f. Gal. Plaetorio Celeri ... praeposit. numeror. tendentium in Ponto Absaro*   8 ἐν τοῖς Ῥωμαϊκοῖς γράμμαμασιν] cf. p. 111, 20, et v. Schwartz R. E. II p. 1232; Roos, Per. p. 105

---

1 *vox* διατρεμεῖν *num alibi occurrat quaero*: Müll. δὴ ἀτρεμῆσαι Herch. et Herw. Rhein. Mus. 59, 1904, p. 344 [δι]ατρεμῆσαι Raderm. Rhein. Mus. 50, 1895, p. 478   3 πεντακοσίους P numerum corruptum esse vidit Müll., „*nam fieri non potuit ut ante meridiem, idque mari et vento non favente, Arrianus 500 stadiorum iter perficeret, deinde vero* (p. 108, 14—20) *ab Athenis usque ad Apsarum 280 stadia recte computantur*“ πεντ⟨ήκοντα καὶ δι⟩ακοσίους Cast.

Τραπεζοῦντος τόν τε Ὕσσον, ὅτου ἐπώνυμος Ὕσσου λι-
μήν, ὃς ἀπέχει Τραπεζοῦντος σταδίους ὀγδοήκοντα καὶ
ἑκατόν, καὶ τὸν Ὄφιν, ὃς ἀπέχει Ὕσσου λιμένος ἐς ἐνε-
νήκοντα σταδίους μάλιστα καὶ ὁρίζει τὴν Κόλχων χώραν
2 ἀπὸ τῆς Θιαννικῆς. ἔπειτα τὸν Ψυχρὸν καλούμενον πο-
7 H ταμὸν διέχοντα ὅσον τριάκοντα σταδίους ἀπὸ τοῦ Ὄφεως.
ἔπειτα τὸν Καλὸν ποταμόν· καὶ οὗτος τριάκοντα διέχει
□ ἀπὸ τοῦ Ψυχροῦ. ἐχόμενος δέ τοῦ Ψυχροῦ ἐστιν ὁ
Ῥίζιος ποταμός, ἑκατὸν εἴκοσι στάδια διέχων ἀπὸ τοῦ
3 Καλοῦ. καὶ ἀπὸ τούτου τριάκοντα Ἄσκουρος ἄλλος πο-
ταμός, καὶ Ἀδιηνός τις ἀπὸ τοῦ Ἀσκούρου ἑξήκοντα·
ἐνθένδε εἰς Ἀθήνας ὀγδοήκοντα καὶ ἑκατόν. ταῖς δὲ
Ἀθήναις Ζάγατις ποταμὸς ἑπτὰ μάλιστα στάδια ἀπ'
αὐτῶν διέχων πρόσκειται. ἀπὸ δὲ τῶν Ἀθηνῶν ὁρμη-
θέντες τὸν Πρύτανιν παρημείψαμεν, ἵναπερ καὶ τὰ Ἀγ-
χιάλου βασίλειά ἐστιν. καὶ οὗτος ἀπέχει τεσσαράκοντα
4 στάδια ἀπὸ τῶν Ἀθηνῶν. τοῦ Πρυτάνεως δὲ ἔχεται ὁ
Πυξίτης ποταμός· στάδιοι ἐνενήκοντα ἐν μέσῳ ἀμφοῖν.
καὶ ἀπὸ τοῦ Πυξίτου ἐς Ἄρχαβιν ἄλλοι ἐνενήκοντα, ἀπὸ
(9 M) δὲ Ἀρχάβιος εἰς Ἄψαρον ἑξήκοντα. ἀπὸ δὲ Ἀψάρου ἄραν-
τες τὸν Ἄκαμψιν παρημείψαμεν νύκτωρ, ἐς πεντεκαίδεκα

7—12 cf Anon. 39 a   12—20 cf. Anon. 40   20—p. 109, 8 cf. Anon. 42, 2 (4—5 = Anon. 42, 2 med.)

---

15. 16 Ἀγχιάλου] cf. p. 113, 4. 5

---

4 διορίζει lv   5 θιανιτικῆς lv   6 ὄφεος P, corr. Stuck Ὄφιος Herch., cf. l. 17   9 ἑκατὸν ⟨καὶ⟩ εἴκοσι Herch., quod sane apud Arr. multo usitatius, sed cf. Per. 18, 1 τριακόσιοι πεντήκοντα   9. 13. 17 σταδίους Herch , v. ad p. 5, 24   10 ἄσκουρος P, cf. εἰς ἀσκοῦρναν lv   11 Ἀσκούρου Stuck ἀσκουρα (sine acc.) P, cf. ἀσκούρνου l ἀσκούρνα v   20 ἀρχάβεως lv   21 ἐς Herch. ἐπὶ P   πεντεκαίδεκα P, ιε' l, *ab Apsaro quod Acampsis abesse dicitur stadia quindecim, id aperte falsum est. Sunt ad 150 stadia, quae reponere non dubitarem, nisi vulgata quadraret cum summa stadiorum 2260, quae Arrianus* (p. 112, 11. 12) *a Trapezunte ad Dioscuriadem computat*: Müll.

σταδίους ἀπέχοντα τοῦ Ἀψάρου. ὁ δὲ Βαθὺς ποταμὸς 5
ἑβδομήκοντα καὶ πέντε ἀπέχει τούτου, καὶ ὁ Ἀκινάσης
ἀπὸ τοῦ Βαθέος ἐνενήκοντα, ἐνενήκοντα δὲ καὶ ἀπὸ
Ἀκινάσου ὁ Ἶσις. ναυσίποροι δέ εἰσιν ὅ τε Ἄκαμψις καὶ □
ὁ Ἶσις, καὶ αὔρας τὰς ἑωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν.
ἀπὸ δὲ Ἴσιος τὸν Μῶγρον παρημείψαμεν· ἐνενήκοντα
στάδιοι μεταξὺ τοῦ Μώγρου εἰσὶν καὶ τοῦ Ἴσιος. καὶ
οὗτος ναυσίπορος.

ἐνθένδε εἰς τὸν Φᾶσιν εἰσεπλεύσαμεν ἐνενήκοντα τοῦ 8(10M)
Μώγρου διέχοντα, ποταμῶν ὧν ἐγὼ ἔγνων κουφότατον 8 H
ὕδωρ παρεχόμενον καὶ τὴν χροιὰν μάλιστα ἐξηλλαγμένον.
τὴν μὲν γὰρ κουφότητα τῷ τε σταθμῷ τεκμαίροιτο ἄν 2
τις, καὶ πρὸς τούτου, ὅτι ἐπιπλεῖ τῇ θαλάσσῃ, οὐχὶ δὲ □
συμμίγνυται, καθάπερ τῷ Πηνειῷ τὸν Τιταρήσιον λέγει
ἐπιρρεῖν Ὅμηρος 'καθύπερθεν ἠύτ' ἔλαιον'. καὶ ἦν κατὰ 3
μὲν τοῦ ἐπιρρέοντος βάψαντα γλυκὺ τὸ ὕδωρ ἀνιμήσασθαι, εἰ δὲ εἰς βάθος τις καθῆκεν τὴν κάλπιν, ἁλμυρόν.
καίτοι ὁ πᾶς Πόντος πολύ τι γλυκυτέρου τοῦ ὕδατός
ἐστιν ἤπερ ἡ ἔξω θάλασσα· καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες.
τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς 4
αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα οἱ προσοικοῦντες τῇ θαλάσσῃ ἐπὶ τὴν θάλασσαν κατάγουσιν
καὶ ἀπ' αὐτῆς ποτίζουσιν· τὰ δὲ πίνοντά τε ἡδέως ὁρᾶται, καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς τοῦτο
τὸ ποτόν ἐστιν τοῦ γλυκέος μᾶλλον. ἡ δὲ χρόα τῷ Φά- 5

10—p. 110, 9 cf. Anon. 42, 5 (inde a l. 15 Arrianea ad verbum fere exscripsit)

---

15 Iliad. II 754

---

2 ἀκινασις (sine acc.) P, corr. Gail; cf. εἰς κίνασον l
4 ἀκινασου (sine acc.) P, cf. κινάσου l 5 αὔρας Pl ⟨τὰς⟩ αὔρας Cast. 11 χρόαν Herch. 13 ἐπιπλεῖ l ἐπέπλει P (corr. iam Herch. et Müll.) 16 γλυκύτατον l 17 κάλπην l
26 χροιὰ l

σιδι οἷα ἀπὸ μολίβδου ἢ καττιτέρου βεβαμμένου τοῦ
ὕδατος· καταστὰν δὲ καθαρώτατον γίγνεται. οὐ τοίνυν
νενόμισται εἰσκομίσαι ὕδωρ εἰς τὸν Φᾶσιν τοὺς εἰσπλέον-
τας εἰς αὐτόν, ἀλλ' ἐπειδὰν εἰσβάλλωσιν ἤδη εἰς τὸν
ῥοῦν, παραγγέλλεται πᾶν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς
ναυσίν· εἰ δὲ μή, λόγος κατέχει ὅτι οἱ τούτου ἀμελήσαν-
9 H *τες οὐκ εὐπλοοῦσιν. τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπε-*
ται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος, πλήν
γε δὴ ὅτι εἰς τὸ γλυκύτερον μεταβάλλει.
(11 M) 9 *εἰσβαλλόντων δὲ εἰς τὸν Φᾶσιν ἐν ἀριστερᾷ ἵδρυται*
ἡ Φασιανὴ θεός. εἴη δ' ἂν ἀπό γε τοῦ σχήματος τεκμαι-
ρομένῳ ἡ Ῥέα· καὶ γὰρ κύμβαλον μετὰ χεῖρας ἔχει καὶ
λέοντας ὑπὸ τῷ θρόνῳ, καὶ κάθηται ὥσπερ ἐν τῷ Μη-
2 *τρῴῳ Ἀθήνησιν ἡ τοῦ Φειδίου. ἐνταῦθα καὶ ἡ ἄγκυρα*
δείκνυται τῆς Ἀργοῦς. καὶ ἡ μὲν σιδηρᾶ οὐκ ἔδοξέ μοι
εἶναι παλαιά — καίτοι τὸ μέγεθος οὐ κατὰ τὰς νῦν ἀγ-
κύρας ἐστίν, καὶ τὸ σχῆμα ἀμηγέπῃ ἐξηλλαγμένη —, ἀλλὰ
νεωτέρα μοι ἐφάνη εἶναι τοῦ χρόνου. λιθίνης δέ
τινος ἄλλης θραύσματα ἐδείκνυτο παλαιά, ὡς ταῦτα
μᾶλλον εἰκάσαι ἐκεῖνα εἶναι τὰ λείψανα τῆς ἀγκύρας
τῆς Ἀργοῦς. ἄλλο δὲ οὐδὲν ὑπόμνημα ἦν ἐνταῦθα τῶν
(12 M) 3 *μύθων τῶν ἀμφὶ τὸν Ἰάσονα. τὸ μέντοι φρούριον αὐτό,*
ἵναπερ κάθηνται τετρακόσιοι στρατιῶται ἐπίλεκτοι, τῇ
τε φύσει τοῦ χωρίου ὀχυρώτατον εἶναί μοι ἔδοξεν, καὶ

---

11 sqq. cf. H. Graillot, Le culte de Cybèle (1912), p. 380
13.14 cf. Pausan. I 3, 5 *Μητρὸς θεῶν ἱερόν, ἣν Φειδίας εἰργάσατο*, sed Plin. N. H. XXXVI 17: est et in Matris Magnae delubro eadem civitate Agoracriti opus; de Metroo Atheniensi cf. Judeich, Topogr. v. Athen p. 305 sqq. 22 sqq. cf. Rostowzew, Klio 2, 1902, p. 94; J. H. Holwerda, Arentsburg, een Romeinsch militair vlootstation bij Voorburg (1923), p. 28. 162

---

1 *κασσιτέρου* 1 2 *τοίνυν δὲ* 1 4 *εἰς αὐτόν* dedi ex 1, om. P *εἰσβάλλωσιν ἤδη* scripsi *εἰσβαίνωσι ἤδη* P *ἤδη εἰσβάλλουσιν* 1 *ἐσβάλωσιν ἤδη* Herch. 5 *ἅπαν* 1 9 *ὅτι* om. 1 *τὸ* om. 1 18 *ἐφάνη* ⟨*ἐκείνου*⟩ Cast.

ἐν ἐπιτηδειοτάτῳ κεῖσθαι πρὸς ἀσφάλειαν τῶν ταύτῃ
πλεόντων. καὶ τάφρος διπλῆ περιβέβληται τῷ τείχει,
εὐρεῖα ἑκατέρα. πάλαι μὲν οὖν γήινον τὸ τεῖχος ἦν, καὶ 4
οἱ πύργοι ξύλινοι ἐφειστήκεσαν· νῦν δὲ ἐκ πλίνθου ὀπ-
τῆς πεποίηται καὶ αὐτὸ καὶ οἱ πύργοι· καὶ τεθεμελίωται 10 H
ἀσφαλῶς, καὶ μηχαναὶ ἐφεστᾶσιν, καὶ ἑνὶ λόγῳ πᾶσιν
ἐξήρτυται πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα αὐτῷ τῶν βαρ- □
βάρων, μήτι γε δὴ εἰς κίνδυνον καταστῆσαι πολιορκίας
τοὺς ἐν αὐτῷ φρουροῦντας. ἐπειδὴ δὲ καὶ τὸν ὅρμον 5
ἐχρῆν ἀσφαλῆ εἶναι ταῖς ναυσὶ καὶ ὅσα ἔξω τοῦ φρου-
ρίου κατῳκεῖτο ὑπό τε τῶν πεπαυμένων τῆς στρατείας
καί τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώπων, ἔδοξέ μοι
ἀπὸ τῆς διπλῆς τάφρου, ἣ περιβέβληται τῷ τείχει, ἄλλην
τάφρον ἐκβαλεῖν ὡς ἐπὶ τὸν ποταμόν, ἣ τό τε ναύστα-
θμον περιέξει καὶ τὰς ἔξω τοῦ τείχους οἰκίας.

ἀπὸ δὲ τοῦ Φάσιδος Χαρίεντα ποταμὸν παρημείψαμεν 10(13M)
ναυσίπορον· στάδιοι μεταξὺ ἀμφοῖν ἐνενήκοντα. καὶ ἀπὸ
τοῦ Χαρίεντος ἐς Χῶβον ποταμὸν ναυσίπορον εἰσεπλεύ-
σαμεν ἄλλους ἐνενήκοντα, ἵναπερ καὶ ὡρμίσθημεν. ὧν δὲ
ἕνεκα, καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώσει σοι τὰ Ῥω-
μαϊκὰ γράμματα. ἀπὸ δὲ Χώβου Σιγάμην ποταμὸν παρη- 2
μείψαμεν ναυσίπορον· διέχει δὲ τοῦ Χώβου σταδίους ἐς
δέκα καὶ διακοσίους μάλιστα. ἔχεται δὲ τοῦ Σιγάμου Ταρ-
σούρας ποταμός· στάδιοι εἴκοσι καὶ ἑκατὸν μεταξὺ ἀμφοῖν.

16—p. 112, 5 cf. Anon. 42, 6

---

20. 21 τὰ Ῥωμαϊκὰ γράμματα] v. ad p. 107, 8

---

4 *οἱ* del. Herch. *ἐφεστήκεσαν* P, corr. Herch.; cf. Boehn. p. 20 6 *ἑνὶ λόγῳ* Bernhardy, Anal. in geograph. Gr. minores p. 20 *ἐν ὀλίγῳ* P 11 *στρατιᾶς* P correxi, cf. Cass. Dio XLV 12, 3; App. B. C. II 501 14 *ἐμβαλεῖν* Herch. coll. Ind. 39, 1; cf. *ἐκβαλεῖν φρέατα* Plut. Pomp. 32 *ἔσω ἐπὶ* Cast.; cf. Grundm. p. 82 18 *χόβον* 1 *ναυσίπορον* dedi ex 1, om. P 21 *ἀπὸ δὲ χόβου ποταμοῦ* 1 *ἀπὸ δὲ ⟨τοῦ⟩ Χώβου* Herch. *Σιγάμην* scripsi *σιγγάμην* P *σηγάμην* 1, 23 *σιγγάμου* P, sed p. 114, 1 *σιγάμην* et *σιγάμου* P 1; scripturam per simplex *γ* suadent Plin. N. H. VI 14 *sigania* (ita libri, *Sigama* Mayhoff), Ptolem. V 9, 2 *Σιγάνεον*

ὁ δὲ Ἵππος ποταμὸς τοῦ Ταρσούρου πεντήκοντα σταδίους
καὶ ἑκατὸν διέχει, καὶ τοῦ Ἵππου ὁ Ἀστέλεφος τριάκοντα.
(14 M) 3 παραμείψαντες δὲ τὸν Ἀστέλεφον εἰς Σεβαστόπολιν ἥκο-
□ 11 H μεν πρὸ μεσημβρίας, ἀπὸ Χώβου ὁρμηθέντες, σταδίους
εἴκοσι καὶ ἑκατὸν τοὺς ἀπὸ Ἀστελέφου, ὡς καὶ τὴν μι-
σθοφορὰν τοῖς στρατιώταις δοῦναι τῆς αὐτῆς ἡμέρας,
καὶ τοὺς ἵππους καὶ τὰ ὅπλα ἰδεῖν καὶ τοὺς ἱππέας ἀνα-
πηδῶντας ἐπὶ τοὺς ἵππους καὶ τοὺς κάμνοντας καὶ τὸν
4 σῖτον, καὶ τὸ τεῖχος περιελθεῖν καὶ τὴν τάφρον. στάδιοι
ἀπὸ μὲν Χώβου εἰς Σεβαστόπολιν τριάκοντα καὶ ἑξακό-
σιοι· ἀπὸ Τραπεζοῦντος δὲ εἰς Σεβαστόπολιν ἑξήκοντα
καὶ διακόσιοι καὶ δισχίλιοι. ἡ δὲ Σεβαστόπολις πάλαι
Διοσκουριὰς ἐκαλεῖτο, ἄποικος Μιλησίων.
(15 M) 11 ἔθνη δὲ παρημείψαμεν τάδε. Τραπεζουντίοις μέν, κα-
θάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι. καὶ οὓς
λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς
□ Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλλας ὀνομάζει, ἐμοὶ δὲ
δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι. καὶ γὰρ μαχιμώτατοι
εἰσιν εἰς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι,
2 καὶ χωρία ὀχυρὰ οἰκοῦσιν, καὶ ἔθνος ἀβασίλευτον, πά-

14 — p. 113, 5 = Anon. 42, 8 15 Arriano et Xenophonti contradicit, nominibus eorum non citatis, Procop. Bell. Goth. IV 1, 8 sq.; IV 2, 15; cf. Jung p. 99 adn. 59

4 ἀπὸ Χώβου ὁρμ.] *inter Chobum et Sebastopolin nusquam Arrianus appulit, sed a Chobo profectus continuo cursu ita navigavit, ut antemeridiano tempore Sebastopolin veniret. Itaque post meridiem diei antecedentis a Chobo profectus esse et nocturna etiam navigatione usus esse videtur*: Müll. 6 sqq. noli intelligere cohortem I Claudiam equitatam, quam Sebastopoli tetendisse tradit Notitia dignit. Or. XXXVIII 36, nam ibi de alia Sebastopoli sermo est, cf. Cichorius, R. E. IV p. 273; V. Chapot, La frontière de l'Euphrate (1907), p. 367 15 Xen. Anab. IV 8, 22 16. 17 Xen. Anab. V 2, 1 sq.

1 ταρσούρα 1 2 Ἀστέλεφος] cf. εἰς ἀτέλαφον et ἀπὸ δὲ ἀτελάφου 1, v. ad p. 114, 3 4 ἀπὸ ⟨τοῦ⟩ Herch. 5 τοὺς del. Cast. 17 δριάλας 1 Δρίλας Herch. e Xen. 20 καὶ

λαι μὲν καὶ φόρου ὑποτελὲς Ῥωμαίοις, ὑπὸ δὲ τοῦ ληστεύειν οὐκ ἀκριβοῦσιν τὴν φοράν. ἀλλὰ νῦν γε διδόντος θεοῦ ἀκριβώσουσιν, ἢ ἐξελοῦμεν αὐτούς. τούτων δὲ ἔχονται Μαχέλονες καὶ Ἡνίοχοι· βασιλεὺς δ' αὐτῶν Ἀγχίαλος. Μαχελόνων δὲ καὶ Ἡνιόχων ἐχόμενοι Ζυδρεῖται· Φαρασμάνου οὗτοι ὑπήκοοι. Ζυδρειτῶν δ' ἐχόμενοι Λαζοί· βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν βα- 12 H. σιλείαν παρὰ σοῦ ἔχει. Λαζῶν δὲ Ἀψίλαι ἔχονται· βασι- 3 λεὺς δὲ αὐτῶν Ἰουλιανός· οὗτος ἐκ τοῦ πατρὸς τοῦ σοῦ τὴν βασιλείαν ἔχει. Ἀψίλαις δὲ ὅμοροι Ἀβασκοί· καὶ Ἀβασκῶν βασιλεὺς Ῥησμάγας· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔχει. Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵναπερ καὶ ἡ Σεβαστόπολις ᾤκισται· Σανιγῶν βασιλεὺς Σπαδάγας ἐκ σοῦ τὴν βασιλείαν ἔχει.

μέχρι μὲν δὴ Ἀψάρου ὡς πρὸς ἕω ἐπλέομεν ἐν δεξιᾷ 4 (16 M) τοῦ Εὐξείνου, ὁ δὲ Ἄψαρος πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγίνετο ἔστε ἐπὶ Χῶβον ποταμόν, καὶ ὑπὲρ τον

5—14 = Anon. 42, 10   8 Steph. Byz. s. v. Ἀψίλαι· ἔθνος Σκυθικὸν γειτνιάζον Λαζοῖς, ὡς Ἀρριανὸς ἐν περίπλῳ τοῦ Εὐξείνου πόντου   15—p. 114, 11 = Anon. 42, 11

---

4 sq. cf. Cassius Dio LXVIII 19, 2 Ἀγχίαλον τὸν Ἡνιόχων τε καὶ Μαχελόνων βασιλέα δώροις ἠμείψατο (sc. Τραϊανός)
7 sq. cf. Suid. s. v. Δομετιανός· Ἀδριανὸς ... καὶ Λαζοῖς, ἤτοι Κόλχοις, βασιλέα ἐπέστησεν

ἔθνος] ὡς δὲ ἔθνος 1 καὶ del. Herch., fortasse καί ⟨ἐστι τὸ⟩ ἔθνος

1 ὑποτελεῖς 1   4. 5 μαχέλωνες et μαχελώνων 1   5. 6 ζυδρῖται et ζυδριτῶν 1   6 φαρεσμάνου 1   6. 7 δ' ἐχόμενοι dedi ex 1 δὲ P   8. 10 ἀψῆλαι et ἀψήλαις 1   10 Ἀβασκοί] per κ hic et in sequentibus P, per γ ubique 1, et ita, fortasse ex Arriano, Steph. Byz. s. v. Σάννιγαι   11 ῥίμαγας 1   οὗτος] αὐτὸς 1   12. 13 σαννῖται et σαννιτῶν 1, p. 121, 8 σάνιχας P1, cf. Steph. Byz. s. v. Σάννιγαι (ita Vossianus et Aldina, σάνιγαι Rehdigeranus), fortasse ex Arriano   13. 14 σπεδαγᾶς 1 Σπαδάγας ⟨ὃς⟩ Cast.   15 ἕω 1 ἠὼ (sic) P   18 ὡς ἐπὶ 1

Χῶβον ἐπὶ τὸν Σιγάμην. ἀπὸ δὲ Σιγάμου ἐκάμπτομεν εἰς τὴν λαιὰν πλευρὰν τοῦ Πόντου ἔστε ἐπὶ τὸν Ἵππον ποταμόν. ἀπὸ δὲ τοῦ Ἵππου ὡς ἐπ' Ἀστέλεφον καὶ Διοσκουριάδα καταφανῶς ἤδη ἐπ' ἀριστερὰ τοῦ Πόντου ἐπλέομεν, καὶ ὁ πλοῦς ἡμῖν πρὸς ἡλίου δυομένου ἐγίνετο· ὡς δὲ ὑπεστρέφομεν ἀπὸ τοῦ Ἀστελέφου ἐπὶ Διοσκουριάδα, κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς. καὶ τοῦ Καυκάσου κορυφή τις ἐδείκνυτο — Στρόβιλος τῇ κορυφῇ ὄνομα —, ἵναπερ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίστου κατὰ πρόσταξιν Διὸς μυθεύεται.

(17M)12 *τὰ δὲ ἀπὸ Βοσπόρου τοῦ Θρᾳκίου ἔστε ἐπὶ Τραπε-*
□ 2 *ζοῦντα πόλιν ὧδε ἔχει. τὸ ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου διέχει ἀπὸ Βυζαντίου σταδίους εἴκοσι καὶ ἑκατόν, καί ἐστιν στενότατον ταύτῃ τὸ στόμα τοῦ Πόντου καλούμενον, καθ' ὅ τι εἰσβάλλει εἰς τὴν Προποντίδα. ταῦτα μὲν*
3 *εἰδότι σοι λέγω. ἀπὸ δὲ τοῦ ἱεροῦ πλέοντι ἐν δεξιᾷ Ῥή-*
13 H *βας ποταμός· σταδίους διέχει τοῦ ἱεροῦ τοῦ Διὸς ἐνενή-*

---

10 sq. cf. Procop. Bell. Goth. IV 1, 12 13—16 = Anon. 2
17—p. 115,4 cf. Anon. 3

18—p. 116, 14 cf. Marc. 8, p. 569

---

1 *σιγάμην*] v. ad p. 111, 21 2 *τὴν* om. l *ὡς ἐπὶ* l
3 *ἀτέλαφον* l, sed 6 *ἀστελέφου* l, cf. ad p. 112, 2 4—6.7 verba *καταφανῶς — Διοσκουριάδα* dedi ex l, om. P; ea vere arrianea esse sed propter similitudinem vocum *Διοσκουριάδα κατ(αφανῶς)* et *Διοσκουριάδα κατ(είδομεν)* a librario errore praetermissa intellexit Eberh. p. LIII i. f. 6 *ἀπεστρέφομεν* Müll. *ἀπὸ* Müll. *ὑπὸ* l 13 post *ὧδε ἔχει* Hudson (Geographiae veteris scriptores Gr. minores, I, Annot. in Arr. Peripl. p. 66), auctore Lambecio in Commentariis de Bibliotheca Caesarea Vindobonensi V p. 153, ceterique editores praeter Müllerum inserunt ea quae leguntur in Anonymo 1, quasi in Arriano incuria librarii omissa essent, sed Anonymus ea non ex Arriano sumpsit verum e Marciani Epitome Peripli Menippei 7 *οὐρίου* corr. ex *ορίου* (sic) P 15. 16 *καλούμενον* del. Herch.; cf. Strab. VII 6, 1 i. f., p. 319 *ὅπερ ἐστὶ τοῦ στόματος τοῦ Εὐξείνου τὸ στενώτατον*, et v. Cast. p. 204

κοντα. ἔπειτα Μέλαινα ἄκρα ὧδε καλουμένη, πεντήκοντα
καὶ ἑκατόν. ἀπὸ Μελαίνης ἄκρας ἐς Ἀρτάνην ποταμόν,
ἵνα καὶ ὅρμος ναυσὶ μικραῖς πρὸς ἱερῷ Ἀφροδίτης,
πεντήκοντα ἄλλοι καὶ ἑκατόν. ἀπὸ δὲ Ἀρτάνου εἰς Ψίλιν 4
ποταμὸν πεντήκοντα καὶ ἑκατόν· καὶ πλοῖα μικρὰ ὁρμί-
ζοιτο ἂν πρὸς τῇ πέτρᾳ τῇ ἀνεχούσῃ οὐ πόρρω ἀπὸ τοῦ
ποταμοῦ τῶν ἐκβολῶν. ἐνθένδε εἰς Κάλπης λιμένα δέκα
καὶ διακόσιοι στάδιοι. ὁ δὲ Κάλπης λιμὴν ὁποῖόν τι χω- 5
ρίον ἐστὶν καὶ ὁποῖος ὅρμος, καὶ ὅτι πηγὴ ἐν αὐτῷ ψυχροῦ
καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὗλαι πρὸς τῇ θαλάσσῃ ξύ-
λων ναυπηγησίμων, καὶ αὗται ἔνθηροι, ταῦτα Ξενο-
φῶντι τῷ πρεσβυτέρῳ λέλεκται.

ἀπὸ Κάλπης λιμένος εἰς Ῥόην στάδιοι εἴκοσιν· ὅρμος 13(18M)
ναυσὶ μικραῖς. ἀπὸ Ῥόης εἰς Ἀπολλωνίαν νῆσον σμι- □
κράν, ὀλίγον διέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι. λιμὴν
ὑπὸ τῇ νησῖδι. καὶ ἔνθεν εἰς Χηλὰς στάδιοι εἴκοσιν.
ἀπὸ Χηλῶν ὀγδοήκοντα καὶ ἑκατόν, ἵναπερ Σαγγάριος
ποταμὸς ἐσβάλλει εἰς τὸν Πόντον. ἐνθένδε εἰς τοῦ Ὑπίου 2
τὰς ἐκβολὰς ἄλλοι ὀγδοήκοντα καὶ ἑκατόν. εἰς δὲ Λιλαῖον
ἐμπόριον ἀπὸ τοῦ Ὑπίου στάδιοι ἑκατόν, καὶ ἀπὸ τοῦ 14 H
Λιλαίου εἰς Ἔλαιον ἑξήκοντα. ἐνθένδε ἐς Κάλητα, ἄλλο

4—7 = Anon. 4 7—12 = Anon. 5 13—16 cf. Anon. 6a 17 sq. cf. Anon. 7a 18 sq. cf. Anon. 8a 19—p. 116,3 cf. Anon. 9

---

11 Xen. Anab. VI 4, 3—5 ἔνθηροι] hoc in nostro Xenophonte non legi monet Müll.

---

2 ἄκρας lv ἄκρης P 4 ἀρτάνου lv ἀρτάνης P ἀρτάννου Marc. ψίλιν Pl ψίλλιον Marc., cf. Steph. Byz. s. v. Ψίλιον· ἔστι καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας, ἐκρέων εἰς τὸν Εὔξεινον Πόντον (fortasse ex hoc Arriani loco); Arr. Bithyn. fr. 20: πρὸς τῷ Ψιλλίῳ ποταμῷ 18. 20 ὑπίου lv et Marc. ὑππίου P, illud praetulit Müll. collatis et aliis locis et Arr. Bithyn. fr. 41: ἐκ δὲ τῆς ὑπὸ Ὕπιος ὁ παρὰ Ἀρριανῷ ποταμός 19 λιλαῖον l (λιλεοῦν v) λίλλιον P; 21 λιλαίου l (λιλεοῦ v) λιλλίου P; iustas formas iam de coni. restituerat Müll. coll. Plin. N. H. V 149 *in Bithynia . . . Lilaeus* 21 ἔλαιον P et Marc. ἔλεον l ἐλαιοῦν v

3 *ἐμπόριον, εἴκοσι καὶ ἑκατόν. ἀπὸ Κάλητος ἐς Λύκον πο-*
ταμὸν ὀγδοήκοντα, ἀπὸ δὲ Λύκου εἰς Ἡράκλειαν πόλιν
Ἑλληνίδα Δωρικήν, Μεγαρέων ἄποικον, στάδιοι εἴκοσιν.
(19 M) *ἐν Ἡρακλείᾳ ὅρμος ναυσίν. ἀπὸ δὲ Ἡρακλείας ἐπὶ μὲν*
4 *τὸ Μητρῷον καλούμενον στάδιοι ὀγδοήκοντα. ἐνθένδε*
εἰς τὸ Ποσείδειον τεσσαράκοντα, καὶ ἔνθεν εἰς Τυνδα-
ρίδας πέντε καὶ τεσσαράκοντα, πέντε δὲ καὶ δέκα ἔνθεν
ἐπὶ τὸ Νυμφαῖον. καὶ ἀπὸ τοῦ Νυμφαίου ἐπὶ τὸν Ὀξίναν
ποταμὸν τριάκοντα. καὶ ἀπὸ Ὀξίνου εἰς Σανδαράκην
5 *ἐνενήκοντα. Σανδαράκη ὅρμος ναυσὶ σμικραῖς. ἐνθένδε*
εἰς Κρηνίδας ἑξήκοντα. καὶ ἀπὸ Κρηνίδων εἰς Ψύλλαν
ἐμπόριον τριάκοντα. ἐνθένδε εἰς Τίον, πόλιν Ἑλληνίδα
Ἰωνικήν, ἐπὶ θαλάττῃ οἰκουμένην, Μιλησίων καὶ ταύτην
ἄποικον, ἐνενήκοντα. ἀπὸ δὲ Τίου εἰς Βιλλαῖον ποταμὸν
στάδιοι εἴκοσιν. ἀπὸ δὲ Βιλλαίου ἐπὶ τὸν Παρθένιον
6 *ποταμὸν στάδιοι ἑκατόν. μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ*
νέμονται, ὧν καὶ Ξενοφῶν ἐν τῇ συγγραφῇ μνήμην
ἐποιήσατο ὅτι μαχιμώτατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν,
καὶ τὰ πολλὰ κακὰ ἡ στρατιὰ τῶν Ἑλλήνων ὅτι ἐν τῇδε
τῇ χώρᾳ ἔπαθεν, ἐπειδὴ ἀπεχωρίσθησαν οἱ Ἀρκάδες ἀπό τε
15 H *τῆς Χειρισόφου καὶ τῆς Ξενοφῶντος μερίδος.*
(20 M) 14 *τὰ δὲ ἀπὸ τοῦδε ἤδη Παφλαγονία. ἀπὸ Παρθενίου*

4—9 cf. Anon. 12   9—17 cf. Anon. 13   22—p. 117, 2 cf. Anon. 15

11—15 cf. Menippus *ἐν τῷ περίπλῳ τοῦ Πόντου* apud Steph. Byz. s. v. *Ψύλλα* et s. v. *Τίος*   14—p. 118, 1 cf. Marc. 9, p. 570
17 Xen. Anab. VI 3 sqq.   20 *ἀπεχωρίσθησαν*] Xen. Anab. VI 2, 12 sqq.

---

6 *ποσείδειον* Marc. *ποσίδαιον* P *ποσείδεον* l *ποσίδεον* v
8 *ὀξίναν* lv *ὀξεῖναν* P *ὀξίνην* Marc.   9 *ὀξίνου* Marc. *ὀξείνου* P *ὀξίνα* lv   *σανδαράκην* P *σινδαράχην* (et *ἀπὸ σινδαράχης*) lv *σαραδάκην* (sed *ἀπὸ σανδαράκης*) Marc.   10 *ἐνενήκοντα* P *μ'* lv et Marc.   11 *ἑξήκοντα* P *κ'* lv et Marc.   *ψύλλαν* P et Menipp. *ψύλλιον* l *ψίλλα* v   12 *τριάκοντα* P *λ'* lv *κ'* Menipp.   15 *δὲ* ⟨*τοῦ*⟩ Cast.; cf. p. 111, 21; p. 112, 4

ἐς Ἄμαστριν πόλιν Ἑλληνίδα στάδιοι ἐνενήκοντα· ὅρμος ναυσίν. ἔνθεν εἰς Ἐρυθίνους ἑξήκοντα. καὶ ἀπὸ Ἐρυθίνων εἰς Κρῶμναν ἄλλοι ἑξήκοντα. ἐνθένδε εἰς 2
Κύτωρον ἐνενηκοντα. ὅρμος ναυσὶν ἐν Κυτώρῳ. καὶ ἀπὸ Κυτώρου εἰς Αἰγιαλοὺς ἑξήκοντα. ἐς δὲ Θύμηνα ἐνενήκοντα. καὶ εἰς Κάραμβιν εἴκοσι καὶ ἑκατόν. ἐνθένδε 3
εἰς Ζεφύριον ἑξήκοντα. ἀπὸ δὲ Ζεφυρίου εἰς Ἀβώνου τεῖχος, πόλιν σμικράν, πεντήκοντα καὶ ἑκατόν· ὅρμος ναυσὶν οὐκ ἀσφαλής, σαλεύοιεν δ' ἂν ἀπαθεῖς, εἰ μὴ μέγας χειμὼν κατέχοι. ἀπὸ δὲ Ἀβώνου τείχους ἐς Αἰγινήτην ἄλλοι πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς Κίνω- (21 M)
λιν ἐμπόριον ἄλλοι ἑξήκοντα. καὶ ἐν Κινώλει σαλεύοιεν ἂν νῆες ὥρᾳ ἔτους. ἀπὸ δὲ Κινώλιος ἐς Στεφάνην 4
ὀγδοήκοντα καὶ ἑκατόν· ὅρμος ναυσὶν ἀσφαλής. ἀπὸ δὲ Στεφάνης εἰς Ποταμοὺς πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς Λεπτὴν ἄκραν ἑκατον καὶ εἴκοσιν. ἀπὸ δὲ Λεπτῆς ἄκρας ἐς Ἀρμένην ἑξήκοντα· λιμὴν αὐτόθι. καὶ Ξενοφῶν τῆς Ἀρμένης ἐμνημόνευσεν. καὶ ἔνθεν εἰς Σινώ- 5

2—6 cf. Anon. 17 6—10 cf. Anon. 19 10—17 cf. Anon. 20 17. 18 cf. Steph. Byz. s. v. Ἀλμήνη· πόλις πρὸς τῷ Εὐξείνῳ Πόντῳ, ὡς Ἀρριανός 18—p. 118,1 cf. Anon. 21 a

---

2 sqq. cf. Iliad. II 853 sq. 18 Xen. Anab. VI 1, 15. 17

---

4 κύτωρον etiam lv et Marc. Κυτώρῳ Stuck κυτώροις P 5 Κυτώρου Stuck κυτώρων Pl κυτόρων v αἰγιαλὸν lv et Marc. cum Hom., sed plur. Lucian. Alex. 57 in. 6 ⟨ἀπὸ Αἰγιαλῶν⟩ ἐνενήκοντα. καὶ ⟨ἔνθεν⟩ Cast, cum Arrianus locorum, a quibus profectus esset, vel ipso nomine vel saltem adverbio mentionem faceret κάραμβιν lv et Marc. κάραβιν P; cf. Ruge, R. E. X p. 1927 9 σαλεύοιεν δ' ἂν Herch. ἀλλ' εὕδοιεν ἂν P σαλεύοιεν δὲ lv 10 καταλάβοι lv κατάσχοι Herch.; cf. Ac. 28 10. 11 αἰγινήτην (πολίχνιον, et ἀπὸ δὲ αἰγινήτου) v αἰγινῆτιν P αἰγινητῶν (πολίχνιον, et ἀπὸ δὲ αἰγινητῶν) l αἰγινίτην (et αἰγινίτου) Marc., cf. Steph. Byz. s. v. 17. 18 ἀρμένην, ἀρμένης lv et Menipp. apud Steph. Byz. s. v. Ἀρμένη, ἀρμένην et ἀρμένης P ἀλμήνην et ἀλμήνης hic legisse videtur Steph. Byz. s. v. Ἀλμήνη, nisi is locus e Bithynicis fluxit Ἀρμηνήν Xen.

πην στάδιοι τεσσαράκοντα· Σινωπεῖς Μιλησίων ἄποικοι. ἀπὸ δὲ Σινώπης εἰς Κάρουσαν πεντήκοντα καὶ ἑκατόν· σάλος ναυσίν. ἐνθένδε εἰς Ζάγωρα ἄλλοι αὖ πεντή-
16 H *κοντα καὶ ἑκατόν. ἐνθένδε εἰς τὸν Ἅλυν ποταμὸν τριακόσιοι.*

(22M)15 *οὗτος ὁ ποταμὸς πάλαι μὲν ὅρος ἦν τῆς Κροίσου βασιλείας καὶ τῆς Περσῶν, νῦν δὲ ὑπὸ τῇ Ῥωμαίων ἐπικρατείᾳ ῥέει, οὐκ ἀπὸ μεσημβρίας, ὡς λέγει Ἡρόδοτος, ἀλλὰ ἀπὸ ἀνίσχοντος ἡλίου. καθ' ὅ τι δὲ εἰσβάλλει εἰς τὸν Πόντον, ὁρίζει τὰ Σινωπέων καὶ Ἀμισηνῶν ἔργα.*
2 *ἀπὸ δὲ Ἅλυος ποταμοῦ ἐς Ναύσταθμον στάδιοι ἐνενήκοντα, ἵναπερ καὶ λίμνη ἐστίν. ἐνθένδε ἐς Κωνώπιον ἄλλην λίμνην ἄλλοι αὖ πεντήκοντα. ἀπὸ δὲ Κωνωπίου*
3 *ἐς Εὐσήνην ἑκατὸν καὶ εἴκοσιν. ἐνθένδε εἰς Ἀμισὸν ἑκατὸν καὶ ἑξήκοντα. Ἀμισός, πόλις Ἑλληνίς, Ἀθηναίων ἄποικος, ἐπὶ θαλάττῃ οἰκεῖται. ἀπὸ δὲ Ἀμισοῦ εἰς Ἀγκῶνα λιμένα, ἵναπερ καὶ ὁ Ἶρις εἰσβάλλει εἰς τὸν Πόντον, στάδιοι ἑξήκοντα καὶ ἑκατόν. ἀπὸ δὲ τοῦ Ἴριος τῶν ἐκβολῶν ἐς Ἡράκλειον ἑξήκοντα καὶ τριακόσιοι· ὅρμος ναυσίν. ἐνθένδε ἐπὶ τὸν Θερμώδοντα ποταμὸν τεσσαράκοντα. οὗτος ὁ Θερμώδων ἐστίν, ἵναπερ αἱ Ἀμαζόνες οἰκῆσαι λέγονται.*

(23M)16 *ἀπὸ δὲ Θερμώδοντος εἰς Βῆριν ποταμὸν στάδιοι ἐνενήκοντα. ἐνθένδε εἰς Θόαριν ποταμὸν ἑξήκοντα. ἀπὸ*

2—5 cf. Anon. 24 6—10 = Anon. 25 11—16 cf. Anon. 26 16—18 cf. Anon. 28 18—24 cf. Anon. 29 21. 22 cf. Procop. Bell. Goth. IV 2, 2; 3, 5 sqq. 24 — p. 119, 4 cf Anon. 30

3—18 cf. Marc. 10, p. 571 8 Herodot. I 6. 72 21. 22 cf. Bith. fr. 48

---

3 *ζαγωρα* (s. acc.) P *ζάγορα* (et *ἀπὸ δὲ ζαγόρα*) l *ζάγουραν* (et *ἀπὸ δὲ ζαγούρου*) v *ζάγωρον* (et *ἀπὸ ζαχώρου*) Marc. 7 *τῆς Περσῶν* vl *τῆς* om. P 12. 13 *κωνώπιον* et *κωνωπίου* Marc. *κωνωπεῖον* et *κωνωπείου* P *κωνωπίου λίμνην* et *κωνωπίου λίμνης* lv 14 *εὐσένην* lv 19 *ἡράκλειαν* lv; cf. Strab. XII 3, 17, p. 548 *ἡ Ἡράκλειος ἄκρα* 23 *βέρριν* l *βίρην* v 23. 24 *ἐνενήκοντα*] ξ' lv, sed vs. 24 pro *ἑξήκοντα* lv habent ϙ'; distantiae igitur inter se mutatae

δὲ Θοάριος ἐς Οἰνόην τριάκοντα. ἀπὸ Οἰνόης ἐς Φιγα-
μοῦντα ποταμὸν τεσσαράκοντα. ἐνθένδε εἰς Φαδισάνην
φρούριον πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε εἰς Πολε- 2
μώνιον πόλιν στάδιοι δέκα. ἀπὸ Πολεμωνίου εἰς ἄκραν 17 H
Ἰασόνιον καλουμένην στάδιοι τριάκοντα καὶ ἑκατόν. ἐν-
θένδε εἰς Κιλίκων νῆσον πεντεκαίδεκα στάδιοι. ἀπὸ δὲ 3
Κιλίκων νήσου ἐς Βοῶνα πέντε καὶ ἑβδομήκοντα. ἐν
Βοῶνι ὅρμος ναυσίν. ἐνθένδε εἰς Κοτύωρα ἐνενήκοντα.
ταύτης ὡς πόλεως Ξενοφῶν ἐμνημόνευσεν, καὶ λέγει
Σινωπέων ἄποικον εἶναι· νῦν δὲ κώμη ἐστίν, καὶ οὐδὲ
αὐτὴ μεγάλη. ἀπὸ Κοτυώρων ἐς Μελάνθιον ποταμὸν
στάδιοι μάλιστα ἑξήκοντα. ἐνθένδε εἰς Φαρματηνὸν ἄλ- (24M)
λον ποταμὸν πεντήκοντα καὶ ἑκατὸν. καὶ ἔνθεν εἰς Φαρ-
νακείαν εἴκοσιν καὶ ἑκατόν. αὕτη ἡ Φαρνακεία πάλαι 4
Κερασοῦς ἐκαλεῖτο, Σινωπέων καὶ αὕτη ἄποικος. ἐν-
θένδε ἐς τὴν Ἀρητιάδα νῆσον τριάκοντα. καὶ ἔνθεν ἐς
Ζεφύριον εἴκοσι καὶ ἑκατόν· ὅρμος ναυσίν. ἀπὸ δὲ Ζε-
φυρίου εἰς Τρίπολιν στάδιοι ἐνενήκοντα. ἐνθένδε ἐς τὰ
Ἀργύρια στάδιοι εἴκοσιν. ἐκ δὲ τῶν Ἀργυρίων εἰς Φι- 5
λοκάλειαν ἐνενήκοντα. ἐνθένδε ἐς Κόραλλα ἑκατόν. ἀπὸ
δὲ Κοράλλων εἰς Ἱερὸν ὄρος πεντήκοντα καὶ ἑκατόν.
ἀπὸ δὲ Ἱεροῦ ὄρους εἰς Κορδύλην τεσσαράκοντα· ὅρμος
ναυσίν. ἀπὸ δὲ Κορδύλης ἐς Ἑρμώνασσαν πέντε καὶ 6
τεσσαράκοντα. καὶ δεῦρο ὅρμος. ἀπὸ δὲ Ἑρμωνάσσης εἰς
Τραπεζοῦντα στάδιοι ἑξήκοντα. ἐνταῦθα σὺ ποιεῖς λι-
μένα· πάλαι γάρ, ὅσον ἀποσαλεύειν ὥρᾳ ἔτους, ὅρμος ἦν. 18 H

4—11 cf. Anon. 32 10 cf. Steph. Byz. s. v. Κοτύωρα· κώμη πρὸς τῷ Πόντῳ, ὡς Ἀρριανός 11—15 cf. Anon. 34 16—25 cf. Anon. 36

---

9 Xen. Anab. V 5, 3 28 cf. Menipp. fr. 1 (Geogr. Gr. Min. I p. 572) apud Steph. Byz. s. v. Ἑρμώνασσα

---

1 οἴνιον et οἰνίου lv 2 φιδασάνην l φιλασάνην v 12 φάρμαντον lv 13. 14 φαρνακίαν et φαρνακία lv 16 Ἀρητιάδα Gail ἀρρηντιάδα P ἀριστιάδα l ἀριτιάδα v; cf. Hirschfeld, R. E. 2, p. 681 s. v. Aretias

(25M) 17 *τὰ δὲ ἀπὸ Τραπεζοῦντος διαστήματα μέχρι Διοσκου-*
ριάδος προείρηται διὰ τῶν ποταμῶν ἀναμετρηθέντα.
ἀθροίζονται δὲ ἀπὸ Τραπεζοῦντος εἰς Διοσκουριάδα,
τὴν νῦν Σεβαστόπολιν καλουμένην, στάδιοι δισχίλιοι
διακόσιοι ἑξήκοντα.

(26M) 2 *τάδε μὲν οὖν τὰ ἀπὸ Βυζαντίου πλεόντων ἐπὶ δεξιὰ*
ὡς ἐπὶ Διοσκουριάδα, ἐς ὅπερ στρατόπεδον τελευτᾷ
Ῥωμαίοις ἡ ἐπικράτεια ἐν δεξιᾷ ἐσπλεόντων εἰς τὸν
3 *Πόντον. ἐπεὶ δὲ ἐπυθόμην Κότυν τετελευτηκέναι, τὸν*
βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλουμένου, ἐπι-
μελὲς ἐποιησάμην καὶ τὸν μέχρι τοῦ Βοσπόρου τοῦ
Κιμμερίου πλοῦν δηλῶσαί σοι, ὡς, εἴ τι βουλεύοιο περὶ
τοῦ Βοσπόρου, ὑπάρχειν σοι καὶ τόνδε τὸν πλοῦν μὴ
ἀγνοοῦντι βουλεύσασθαι.

(27M) 18 *ὁρμηθεῖσιν οὖν ἐκ Διοσκουριάδος πρῶτος ἂν εἴη*
ὅρμος ἐν Πιτυοῦντι· στάδιοι τριακόσιοι πεντήκοντα. ἐν-
θένδε ἐς τὴν Νιτικὴν στάδιοι πεντήκοντα καὶ ἑκατόν,
ἵναπερ πάλαι ᾤκει ἔθνος Σκυθικόν, οὗ μνήμην ποιεῖ-
2 *ται ὁ λογοποιὸς Ἡρόδοτος, καὶ λέγει τούτους εἶναι*

6—14 = Anon. 42, 12   7 sq. cf. Procop. Bell. Goth. IV 2, 16; IV 4, 5   15 sq. cf. Anon. 42, 13   17 — p. 121, 9 cf. Anon. 42, 15

---

2 *προείρηται*] capit. 7; 8, 1; 10   4 cf. p. 112, 11. 12   9 Cotyn ab anno Bosporano 420 = 123/4 p. C. n. ad annum 429 = 131/2 regnasse docent nummi, cf. Brit. Mus. Catalogue, Bosporos p. 61 sq.; Prosopogr. Imp. Romani I, p. 478, n. 1272; Weber, p. 151 sq.   19 Herodot. IV 109

---

3 *ἀθροίζονται* Müll. *ἀθροίζοντες* P   6 *οὖν* dedi ex l, om. P   6 *ἐπὶ δεξιὰ* l *ἐν δεξιᾷ* P   8 *ἐν δεξιᾷ* om. l *ἐν δεξιᾷ* — 9 *Πόντον* del. Reuss, Rhein. Mus. 56, 1901, p. 377   9 *ἐπεὶ δὲ*] *ἐγὼ δὲ ἐπεὶ* l   11. 12 *τοῦ Κιμμερίου* dedi ex l, om. P   13 *ὑπάρχειν* l *ὑπάρχοι* P, cf. H. Diel, De enuntiatis finalibus apud Graecorum rerum scriptores posterioris aetatis (Progr. d. K. Wilhelms-Gymnasiums in München 1895), p. 31 sqq.   14 *βουλεύσασθαι* l *βουλεύεσθαι* P   17 *εἰς στεννιτικὴν* et p. 121, 2 *ἀπὸ δὲ στεννιτικῆς* l

τοὺς φθειροτρωκτέοντας· καὶ γὰρ εἰς τοῦτο ἔτι ἡ δόξα □
ἡ αὐτὴ ὑπὲρ αὐτῶν κατέχει. ἐκ δὲ Νιτικῆς ἐς Ἄβασκον
ποταμὸν στάδιοι ἐνενήκοντα. ὁ δὲ Βόργυς τοῦ Ἀβάσκου
διέχει σταδίους ἑκατὸν καὶ εἴκοσιν, καὶ ὁ Νῆσις τοῦ
Βόργυος, ἵναπερ καὶ Ἡράκλειον ἄκρα ἀνέχει, σταδίους 3
ἑξήκοντα. ἀπὸ δὲ Νήσιος ἐς Μασαΐτικὴν στάδιοι ἐνε- 19 H
νήκοντα. ἐνθένδε εἰς Ἀχαιοῦντα στάδιοι ἑξήκοντα, ὅσ-
περ ποταμὸς διορίζει Ζιλχοὺς καὶ Σανίγας. Ζιλχῶν βα-
σιλεὺς Σταχέμφαξ. καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν
ἔσχεν. ἀπὸ δὲ Ἀχαιοῦντος εἰς Ἡράκλειαν ἄκραν πεντή- (28 M)
κοντα καὶ ἑκατὸν στάδιοι. ἐνθένδε εἰς ἄκραν, ἵναπερ
σκέπη ἐστὶν ἀνέμου θρασκίου καὶ βορρᾶ, ὀγδοήκοντα
καὶ ἑκατόν. ἐνθένδε εἰς τὴν καλουμένην Παλαιὰν Λα- 4
ζικὴν εἴκοσιν καὶ ἑκατὸν στάδιοι. ἐνθένδε ἐς τὴν Πα-
λαιὰν Ἀχαιΐαν πεντήκοντα καὶ ἑκατόν, καὶ ἔνθεν ἐς
Πάγρας λιμένα πεντήκοντα καὶ τριακόσιοι. ἀπὸ δὲ Πά-
γρας λιμένος εἰς Ἱερὸν λιμένα ὀγδοήκοντα καὶ ἑκατόν.
ἐνθένδε εἰς Σινδικὴν τριακόσιοι.

ἀπὸ δὲ Σινδικῆς εἰς Βόσπορον τὸν Κιμμέριον καλού- 19 (29 M)
μενον καὶ πόλιν τοῦ Βοσπόρου Παντικάπαιον τεσσαρά-
κοντα καὶ πεντακόσιοι. ἐνθένδε ἐπὶ Τάναϊν ποταμὸν
ἑξήκοντα, ὅς λέγεται ὁρίζειν ἀπὸ τῆς Ἀσίας τὴν Εὐρώ-

---

8 sq. cf. Procop. Bell. Goth. IV 4, 2 10—15 cf. Anon. 42, 17 13 Steph. Byz. s. v. *Λαζοί, Σκυθῶν ἔθνος. ἔστι καὶ χωρίον Παλαιὰ Λαζική, ὡς Ἀρριανός* 15 sq. cf. Anon. 42, 19 16—18 cf. Anon. 42. 21 19—21 cf. Anon. 42, 26 22—p. 122, 12 = Anon. 42, 29. 43

---

2 *Ἄβασκον*] cf. Kiessling, R. E VIII p. 274; Roos, Per., p. 109 sqq.

---

5 *ἡράκλειαν* 1 *Ἡράκλεια* Herch. ⟨*ἡ*⟩ *Ἡράκλειος* Müll. *ἄκρα ἀνέχει* Herch. et Müll. *ἄκραν ἔχει* Pl; cf. Kiessling R. E. VIII p. 500 sqq. s. v. Herakleion 9 et 10 6 *μασετικὴν ποταμὸν* 1 8 *ζίχους* et *ζιχῶν* 1, cf. *ζήχοις* Procop. l. l. *Σανίγας* Müll. *σάνιχας* Pl, cf. p. 113, 12 9 *σταχέμφλας* 1 10 *δὲ* dedi ex 1, om. P *ἡράκλειον ἀκρωτήριον* 1 15 *ἀχαΐαν* 1

πην. καὶ ὁρμᾶται μὲν ἀπὸ λίμνης τῆς Μαιώτιδος, ἐσ-
2 *βάλλει δὲ εἰς θάλασσαν τὴν τοῦ Εὐξείνου Πόντου. καίτοι*
Αἰσχύλος ἐν Προμηθεῖ Λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς
Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν ⟨παρ'⟩
αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι "ἥκομεν

τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι."

20 H *ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον·*

"πῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν."

(30 M) 3 *τῆς δὲ λίμνης τῆς Μαιώτιδος περίπλους ἐν κύκλῳ λέ-*
γεται σταδίων ἀμφὶ τοὺς ἐνακισχιλίους. ἀπὸ δὲ Παντι-
καπαίου εἰς κώμην Καζέκα ἐπὶ θαλάττῃ ᾠκισμένην στά-
διοι εἴκοσι καὶ τετρακόσιοι. ἐνθένδε ἐς Θεοδοσίαν πό-
4 *λιν ἐρήμην στάδιοι ὀγδοήκοντα καὶ διακόσιοι. καὶ αὕτη*
πάλαι ἦν Ἑλλὰς πόλις Ἰωνική, Μιλησίων ἄποικος, καὶ
μνήμη ἐστὶν αὐτῆς ἐν πολλοῖς γράμμασιν. ἐνθένδε εἰς
λιμένα Σκυθοταύρων ἔρημον στάδιοι διακόσιοι· καὶ

---

8 sqq. cf. Procop. Bell. Goth. IV 6, 15 *καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας* (hoc de suo addidisse videtur) *τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης* 12—17 cf. Anon. 51 17—p. 123, 1 cf. Anon. 52 a

---

1 *ὁρμᾶται κτλ.*] Müll. confert Procop. Bell. Goth. IV 4, 10 *Τάναϊν δὲ καλοῦσιν οἱ ἐπιχώριοι καὶ τὴν ἐκβολὴν ταύτην, ⟨ἥπερ⟩ ἐκ λίμνης ἀρξαμένη τῆς Μαιώτιδος ἄχρι ἐς τὸν Εὔξεινον Πόντον διήκει* 6 Nauck, Tragic. Graec. Fragm.[2] p. 63, Aesch. fr. 190 et 191; Aeschyli tragoediae, ed. U. de Wilamowitz-Moellendorff, p. 67 sq. 14 sq. *πόλιν ἐρήμην*] cf. Roos, Per. p. 113 sq.

---

4 ⟨*παρ'*⟩ add. Wilamowitz, Aesch. trag. p. 68 7 *ἐσοψόμενοι* Müll. 9 *πῇ* Pp *τῇ* Stuck 10 *μέγα πῇ δ' ἀσίας* p, sed litterae *π* vocis *πῇ* eadem manus superscripsit *ν* 13 *καζέκας* p (sed *ἀπὸ δὲ καζέκαν* linea sequenti) 14 *θευδοσίαν* p; utraque forma recte se habet 15 *ἔρημον* p 16 *παλαιὰ* p 17 *συγγράμμασιν* p; cf. Xen. Memor. IV 2, 1 *γράμματα πολλὰ ποιητῶν καὶ σοφιστῶν*; IV 2, 10

ἔνθεν εἰς Λαμπάδα τῆς Ταυρικῆς στάδιοι ἑξακόσιοι.
ἀπὸ δὲ Λαμπάδος εἰς Συμβόλου λιμένα, Ταυρικὸν καὶ 5
τοῦτον, στάδιοι εἴκοσι καὶ πεντακόσιοι. καὶ ἔνθεν ἐς
Χερρόνησον τῆς Ταυρικῆς ὀγδοήκοντα καὶ ἑκατόν. ἀπὸ
δὲ Χερρονήσου ἐς Κερκινῖτιν στάδιοι ἑξακόσιοι, καὶ ἀπὸ
Κερκινίτιδος ἐς Καλὸν λιμένα, Σκυθικὸν καὶ τοῦτον,
ἄλλοι ἑπτακόσιοι.
ἐκ δὲ Καλοῦ λιμένος ἐς Ταμυράκην τριακόσιοι· ἔσω 20(31 M)
δὲ τῆς Ταμυράκης λίμνη ἐστὶν οὐ μεγάλη. καὶ ἔνθεν
εἰς τὰς ἐκροὰς τῆς λίμνης ἄλλοι τριακόσιοι. ἐκ δὲ τῶν
ἐκροῶν τῆς λίμνης ἐς Ἠϊόνας στάδιοι ὀγδοήκοντα καὶ
τριακόσιοι. καὶ ἔνθεν ἐς ποταμὸν Βορυσθένην πεντή-
κοντα καὶ ἑκατόν. κατὰ δὲ τὸν Βορυσθένην ἄνω πλέοντι 2
πόλις Ἑλλὰς ὄνομα Ὀλβία πεπόλισται. ἀπὸ δὲ Βορυ-
σθένους ἐπὶ νῆσον σμικράν, ἐρήμην καὶ ἀνώνυμον, 21 H

2—4 cf. Anon. 52 b. 55 4—7 cf. Anon. 57 a 8—10 cf. Anon. 57 i. f. 10—12 aliter Anon. 58 12—14 cf. Anon. 60 14—p. 124, 5 cf. Anon. 61

9 λίμνη] *lacum dicere debet maris recessum angustum, qui est inter continentem et Cursus Achillei* [de quo cf. ad vs. 11] *partem orientalem*: Müll. 11 ἐκροῶν] *apertura eius* [recessus] *ad ipsam est Tamyracem, dum Arrianus rem invertens ostium eius prope cervicem peninsulae statuisse videtur*: Müll. Ἠϊόνας] Arrianum Müller censet rem male intellexisse, nempe eo nomine locum aliquem designari eum putasse, quum significaretur Δρόμος Ἀχιλλέως, paeninsula in taeniae formam porrecta prope Tamyracen (hodie *Tendra*), de qua cf. Herod. IV 55; Strab. VII 3, 19, p. 307; Mela II 5; Plin. N. H. IV 83; Anon. 58; Eustath. ad Dionys. Perieg. 306; H. Koehler, Mém. s. l. îles et la course consacr. à Achille (Mém. de l'Acad. de St. Pétersb. 10, 1826); Latysch., I² n. 328 sqq. (I¹ n. 179 sqq.); Minns, Scythians and Greeks p. 14—16 15 νῆσον] hodie *Berezan*, cf. Strab. VII

1 λαμπάδα p ἀλμιτίδα P, sed 2 λαμπάδος P λαμπάδων p 2 σύμβουλον p 5 Κερκινῖτιν Gail κερκινῆτιν P κερκινίτην p; Καρκινῖτιν Herch., quae scribendi ratio usitatior est 6 κερκινιτίδος p κερκινήτιδος P 11 ἠόνας P, corr. Müll. et Herch. 15 ἔρημον p

στάδιοι ἑξήκοντα. καὶ ἔνθεν εἰς Ὀδησσὸν ὀγδοήκοντα. ἐν Ὀδησσῷ ὅρμος ναυσίν. ἀπὸ δὲ Ὀδησσοῦ ἔχεται Ἰστριανῶν λιμήν. στάδιοι ἐς αὐτὸν πεντήκοντα καὶ διακόσιοι.
3 ἐνθένδε ἔχεται Ἰσιακῶν λιμήν. στάδιοι ἐς αὐτὸν πεντήκοντα. καὶ ἔνθεν εἰς τὸ Ψιλὸν καλούμενον στόμα τοῦ Ἴστρου διακόσιοι καὶ χίλιοι. τὰ δὲ ἐν μέσῳ ἔρημα καὶ ἀνώνυμα.

(32 M)21 κατὰ τοῦτο μάλιστα τὸ στόμα ἐπ' εὐθὺ πλέοντι ανεμῳ ἀπαρκίᾳ ἰδίως ⟨καλουμένῳ ἐς⟩ τὸ πέλαγος νῆσος πρόκειται, ἥντινα οἱ μὲν Ἀχιλλέως νῆσον, οἱ δὲ Δρόμον Ἀχιλλέως, οἱ δὲ Λευκὴν ἐπὶ τῆς χροιᾶς ὀνομάζουσιν. ταύτην λέγεται Θέτις ἀνεῖναι τῷ παιδί, καὶ ταύτην οἰκεῖν τὸν Ἀχιλλέα. καὶ νεώς ἐστιν ἐν αὐτῇ τοῦ Ἀχιλλέως, καὶ
2 ξόανον τῆς παλαιᾶς ἐργασίας. ἡ δὲ νῆσος ἀνθρώπων μὲν ἐρήμη ἐστίν, νέμεται δὲ αἰξὶν οὐ πολλαῖς. καὶ ταύτας

8—11 = Anon. 64 12—p. 125,7 = Anon. 66

3, 17 in, p. 306; Ptolem. III 10, 9; Stern, Klio 9, 1909, p. 142 sqq. Minns l. l. p. 451—453

6. 7 ἔρημα καὶ ἀνώνυμα] praeterit Tyram urbem, cf. Roos, Per., p. 112 8. 9 ἀνέμῳ ἀπαρκίᾳ] *Arrianus orae tractum in quem Ister exit, ab oriente occasum versus tendere Istrumque non longe ab ostiis cursum ita flectere ut a borea fere meridiem versus flueret, existimasse videtur*: Müll. 10. 11 confundit Arrianus Δρόμον Ἀχιλλέως, de quo cf. ad p. 123, 11, et Ἀχιλλέως νῆσον sive Λευκήν, insulam ante Istri ostia sitam (hodie *Phidonisi*); eam descripsit Koehler l. l., de Achille ibi culto cf. Fleischer apud Rosch., I 1, p. 56 sqq., p. 61 sqq.; Robert, Heldensage p. 1194 sqq. 13 νεώς] eius aedis curam habuerunt Olbiopolitani, cf. Dio Chrysost. or. 36, 9; Latysch. I[2] n. 325 (I[1] n. 171)

1 ὀδησσὸν etiam p; Arriano scribendum fuerat ὀρδησσὸν, cf. Plin. N. H. IV 82; Ptolem. III 5, 14 4 ἰακῶν p 5 πεντήκοντα] ϙ' p, quem numerum apud Arrianum quoque reponendum esse putat Müll. 9 ἀπαρκτίαι p, cf. ad p. 106, 4 ἰδίως P ανιως (sic) p ⟨καλουμένῳ ἐς⟩ add. Eberh., coll. Aristot. de mundo 4, 13 τῶν βορεῶν ἰδίως ἀπαρκτίας καλεῖται ὁ ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινὸν πνέων; Arr. Tact. 2, 3; 4, 4; Anon. 23 i. f.; ἰδίως ⟨ἐς⟩ vel ἄνω ἐς (hoc e lectione Anonymi) Gail 10 πρόκειται p προσκεῖται P 11 ἐπὶ] ἀπὸ p 13 ναὸς p 14 πάλαι p

*μὲν ἀνατιθέναι λέγονται τῷ Ἀχιλλεῖ ὅσοι ἀεὶ προσίσχου-
σιν. καὶ γὰρ καὶ ἄλλα πολλὰ ἀναθήματα ἀνάκειται ἐν
τῷ νεῴ, φιάλαι καὶ δακτύλιοι καὶ λίθοι τῶν πολυτελεστέ-
ρων· ταῦτα ξύμπαντα χαριστήρια τῷ Ἀχιλλεῖ. καὶ ἀνά-
κειται καὶ ἐπιγράμματα, τὰ μὲν Ῥωμαϊκῶς τὰ δὲ Ἑλλη-
νικῶς πεποιημένα ἐν ἄλλῳ καὶ ἄλλῳ μέτρῳ, ἔπαινοι τοῦ
Ἀχιλλέως, ἔστιν δὲ ἃ καὶ τοῦ Πατρόκλου· καὶ γὰρ καὶ* 3
*τὸν Πάτροκλον τιμῶσιν σὺν τῷ Ἀχιλλεῖ ὅσοι τῷ Ἀχιλλεῖ
χαρίζεσθαι ἐθέλουσιν. ὄρνιθες δὲ πολλοὶ αὐλίζονται ἐν* 22 H
*τῇ νήσῳ, λάροι καὶ αἴθυιαι καὶ κορῶναι αἱ θαλάσσιοι τὸ
πλῆθος οὐ σταθμητοί. οὗτοι οἱ ὄρνιθες θεραπεύουσιν* 4
*τοῦ Ἀχιλλέως τὸν νεών. ἕωθεν ὁσημέραι καταπέτονται
εἰς τὴν θάλασσαν· ἔπειτα ἀπὸ τῆς θαλάσσης βεβρεγμέ-
νοι τὰ πτερὰ σπουδῇ αὖ εἰσπέτονται εἰς τὸν νεών, καὶ
ῥαίνουσιν τὸν νεών. ἐπειδὰν δὲ καλῶς ἔχῃ, οἳ δὲ ἐκκαλ-
λύνουσιν αὖ τὸ ἔδαφος τοῖς πτεροῖς.*

οἳ δὲ καὶ τάδε ἱστοροῦσιν. τῶν προσεσχηκότων τῇ 22 (33 M) □
*νήσῳ ἱερεῖα τοὺς μὲν ἐξεπίτηδες πλέοντας ἐς αὐτὴν ἐπὶ
ταῖς ναυσὶν κομίζειν, καὶ τούτων τὰ μὲν καταθύειν τὰ
δὲ ἀφιέναι τῷ Ἀχιλλεῖ· τοὺς δέ τινας ὑπὸ χειμῶνος* 2
*ἐξαναγκασθέντας προσέχειν, καὶ τούτους παρ' αὐτοῦ τοῦ
θεοῦ αἰτεῖν ἱερεῖον, χρωμένους περὶ τῶν ἱερείων, εἰ
λῷόν σφισιν καὶ ἄμεινον θῦσαι ὅτι περ αὐτοὶ τῇ γνώμῃ
ἐπιλέξαιντο νεμόμενον, τιμὴν ἅμα καταβάλλοντες τὴν
ἀξίαν σφίσιν δοκοῦσαν. εἰ δὲ ἀπαγορεύοι ὁ χρησμός —* 3

---

5 earum inscriptionum una superest, Latysch. I² n. 326 (I¹ n. 172)

---

1 *μὲν* dedi ex p, om. P 1. 2 *ὅσοι ἀεὶ προσίσχουσιν. καὶ γὰρ καὶ* dedi ex p *ὅσοι προσίσχουσι. καὶ* P 2 et 4. 5 *ἀνάκεινται* p 3 *ναῷ* p 3. 4 *πολυτελῶν καὶ πολυτελεστέρων* p 4 *ξύμπαντα* p *σύμπαντα* P distinxi post *Ἀχιλλεῖ* (non post *ἀνάκειται*), et *καὶ* (ante *ἀνάκειται*) dedi ex p, om. P 5 *ἐπιγεγραμμένα* p 6 *καὶ ἄλλῳ* p *καὶ ἐν ἄλλῳ* P 21 *προσσχεῖν* Cast. 22 *περὶ* Herch. *ἐπὶ* P 23 *ὅτι περ ⟨ἂν⟩* Herch. 24 *καταβάλλοντας* Herch.

*εἶναι γὰρ χρησμοὺς ἐν τῷ νεῷ —, προσβάλλειν τῇ τιμῇ·
εἰ δὲ ἔτι ἀπαγορεύοι, ἔτι προσβάλλειν. συγχωρήσαντος
4 δὲ γιγνώσκειν ὅτι ἀποχρῶσα ἡ τιμή ἐστιν. τὸ δὲ ἱερεῖον
ἵστασθαι ἐπὶ τῷδε αὐτόματον, μηδὲ ἀποφεύγειν ἔτι. καὶ
τοῦτο δὴ πολὺ ἀνακεῖσθαι τὸ ἀργύριον τῷ ἥρῳ τὰς τιμὰς
τῶν ἱερείων.*

(34 M) 23 *φαίνεσθαι δὲ ἐνύπνιον τὸν Ἀχιλλέα τοῖς μὲν προ-
23 H σχοῦσι τῇ νήσῳ, τοῖς δὲ καὶ πλέουσιν, ἐπειδὰν οὐ πόρρω
αὐτῆς ἀπόσχωσιν, καὶ φράζειν ὅπου προσχεῖν τῆς νήσου
ἄμεινον καὶ ὅπου ὁρμίσασθαι. οἱ δὲ καὶ ὕπαρ λέγουσιν
φανῆναί σφισιν ἐπὶ τοῦ ἱστοῦ ἢ ἐπ' ἄκρου τοῦ κέρως
2 τὸν Ἀχιλλέα, καθάπερ τοὺς Διοσκόρους· τοσόνδε μόνον
τῶν Διοσκούρων μεῖον ἔχειν τὸν Ἀχιλλέα, ὅσον οἱ μὲν
Διόσκουροι τοῖς πανταχοῦ πλοϊζομένοις ἐναργεῖς φαί-
νονται καὶ φανέντες σωτῆρες γίνονται, ὁ δὲ τοῖς πελά-
ζουσιν ἤδη τῇ νήσῳ. οἱ δὲ καὶ τὸν Πάτροκλόν σφισιν
3 ὀφθῆναι ἐνύπνιον λέγουσιν. τάδε μὲν ὑπὲρ τῆς νήσου
τῆς τοῦ Ἀχιλλέως ἀκοὴν ἀνέγραψα τῶν ἢ αὐτῶν προ-
σχόντων ἢ ἄλλων πεπυσμένων· καί μοι δοκεῖ οὐκ ἄπιστα
4 εἶναι. Ἀχιλλέα γὰρ ἐγὼ πείθομαι εἴπερ τινὰ καὶ ἄλλον
ἥρωα εἶναι, τῇ τε εὐγενείᾳ τεκμαιρόμενος καὶ τῷ κάλλει
καὶ τῇ ῥώμῃ τῆς ψυχῆς καὶ τῷ νέον μεταλλάξαι ἐξ ἀν-
θρώπων καὶ τῇ Ὁμήρου ἐπ' αὐτῷ ποιήσει καὶ τῷ ἐρω-
τικὸν γενέσθαι καὶ φιλέταιρον, ὡς καὶ ἐπαποθανεῖν
ἑλέσθαι τοῖς παιδικοῖς.*

(35 M) 24 *ἀπὸ δὲ τοῦ Ψιλοῦ καλουμένου στόματος τοῦ Ἴστρου
ἐς τὸ δεύτερον στόμα στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ τὸ
Καλὸν καλούμενον στόμα στάδιοι τεσσαράκοντα. καὶ*

26—p. 127, 3 cf. Anon. 67 a

---

24. 25 cf. Plat. Sympos. p. 180 A

---

7. 8 *προσσχοῦσι*, 9 *προσσχεῖν*, 18. 19 *προσσχόντων* Müll.; cf. ad p. 54, 17 9. 10 *ὅποι* Herch. 11 *ἄκρῳ* P, corr. Herch. 13 *Διοσκόρων*, 14 *Διόσκοροι* Herch.

ἀπὸ τοῦ Καλοῦ ἐπὶ τὸ Νάρακον ὧδε ὀνομαζόμενον στόμα
τέταρτον τοῦ Ἴστρου στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ τὸ 2
πέμπτον εἴκοσι καὶ ἑκατόν, καὶ ἔνθεν εἰς Ἰστρίαν πόλιν 24 H
στάδιοι πεντακόσιοι. ἐνθένδε ἐς Τομέα πόλιν στάδιοι
τριακόσιοι. ἀπὸ δὲ Τομέως εἰς Κάλλατιν πόλιν ἄλλοι 3
τριακόσιοι· ὅρμος ναυσίν. ἐνθένδε ἐς Καρῶν λιμένα ὀγ-
δοήκοντα καὶ ἑκατόν· καὶ ἡ γῆ ἐν κύκλῳ τοῦ λιμένος
Καρία κληΐζεται. ἀπὸ δὲ Καρῶν λιμένος ἐς Τετρισιάδα
στάδιοι εἴκοσι καὶ ἑκατόν. ἐνθένδε εἰς Βιζώνην χῶρον
ἔρημον στάδιοι ἑξήκοντα. ἀπὸ δὲ Βιζώνης εἰς Διονυσό- 4
πολιν στάδιοι ὀγδοήκοντα. ἐνθένδε εἰς Ὀδησσὸν διακό-
σιοι· ὅρμος ναυσίν. ἐκ δὲ Ὀδησσοῦ ἐς τοῦ Αἵμου τὰς (36 M)
ὑπωρείας, αἳ δὴ εἰς τὸν Πόντον καθήκουσιν, στάδιοι
τριακόσιοι ἑξήκοντα. καὶ δεῦρο ὅρμος ναυσίν. ἐκ δὲ τοῦ 5
Αἵμου εἰς Μεσημβρίαν πόλιν ἐνενήκοντα· ὅρμος ναυσίν.
καὶ ἐκ Μεσημβρίας εἰς Ἀγχίαλον πόλιν στάδιοι ἑβδομή-
κοντα, καὶ ἐξ Ἀγχιάλου εἰς Ἀπολλωνίαν ὀγδοήκοντα καὶ □
ἑκατόν. αὗται πᾶσαι αἱ πόλεις Ἑλληνίδες εἰσίν, ᾠκισμέ- 6
ναι ἐν τῇ Σκυθίᾳ, ἐν ἀριστερᾷ ἐσπλέοντι εἰς τὸν Πόντον.
ἐκ δὲ Ἀπολλωνίας ἐς Χερρόνησον στάδιοι ἑξήκοντα·
ὅρμος ναυσίν. καὶ ἐκ Χερρονήσου ἐς Αὐλαίου τεῖχος

---

3 sq. cf. Anon. 69 3 cf. Steph. Byz. s. v. Ἴστρος· Ἀρριανὸς δὲ Ἰστρίαν ὡς Ὀλβίαν αὐτήν φησι 4 sq. cf. Anon. 71 5 sq. cf. Anon. 73 6—10 cf. Anon. 75 10—11 cf. Anon. 77 11 sq. cf. Anon. 79 12—14 cf. Anon. 81 14 sq. cf. Anon. 83 16—18 cf. Anon. 85 18 — p. 128, 2 cf. Anon. 87

---

1 ἐπὶ τὸν ἄρακον p 3 ἴστρον p, cf. Steph. Byz. l. l. 4 Τομέα Herch. τομέας P τομέαν p; accusativum Τομέα habuisse Strabonem VII 5, 12, p. 318 (τῶν περὶ Κάλλατιν καὶ Τομέα καὶ Ἴστρον τόπων) patet e Steph. Byz. s. v. Τομεύς 5 Τομέως Herch. τομέας P τομέων p; genitivus Τομέως frequens est in inscriptionibus, cf. Inscr. gr. ad res Rom. pert. I 602, 608, 613 Κάλλατιν Herch. et Müll. κάλλαντραν P κάλατιν p; cf. Arr. Anab. VI 23, 5 Κρηθέα τὸν Καλλατιανόν 9 βιζώνην p βίζον P 10 Βιζώνης Herch. βίζον P βιζῶνος p; cf. Brandis R. E. III p. 551 s. v. Bizone

*πεντήκοντα καὶ διακόσιοι. ἐνθένδε ἐς Θυνιάδα ἀκτὴν
εἴκοσιν καὶ ἑκατόν.*
(37 M) 25 *ἀπὸ δὲ Θυνιάδος εἰς Σαλμυδησσὸν στάδιοι διακόσιοι.*
25 H *τούτου τοῦ χωρίου μνήμην πεποίηται Ξενοφῶν ὁ πρεσ-
βύτερος, καὶ μέχρι τούτου λέγει τὴν στρατιὰν ἐλθεῖν
τῶν Ἑλλήνων, ἧς αὐτὸς ἡγήσατο, ὅτε τὰ τελευταῖα σὺν*
2 *Σεύθῃ τῷ Θρακὶ ἐστράτευσεν. καὶ περὶ τῆς ἀλιμενότη-
τος τοῦ χωρίου πολλὰ ἀνέγραψεν, ὅτι ἐνταῦθα ἐκπίπτει
τὰ πλοῖα χειμῶνι βιαζόμενα, καὶ οἱ Θρᾷκες οἱ πρόσχωροι*
3 *ὅτι ὑπὲρ τῶν ναυαγίων ἐν σφίσιν διαμάχονται. ἀπὸ δὲ
Σαλμυδησσοῦ εἰς Φρυγίαν στάδιοι τριάκοντα καὶ τρια-
κόσιοι. ἐνθένδε ἐπὶ Κυανέας εἴκοσι καὶ τριακόσιοι.
αὗται δὲ αἱ Κυάνεαί εἰσιν, ἃς λέγουσιν οἱ ποιηταὶ πλαγκ-
τὰς πάλαι εἶναι, καὶ διὰ τούτων πρώτην ναῦν περᾶσαι*
4 *τὴν Ἀργώ, ἥτις ἐς Κόλχους Ἰάσονα ἤγαγεν. ἐκ δὲ Κυα-
νέων ἐπὶ τὸ Ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου, ἵναπερ τὸ
στόμα τοῦ Πόντου, στάδιοι τεσσαράκοντα. ἐνθένδε εἰς
λιμένα Δάφνης τῆς Μαινομένης καλουμένης στάδιοι
τεσσαράκοντα. ἀπὸ δὲ Δάφνης εἰς Βυζάντιον ὀγδοή-
κοντα.*

*τάδε μὲν καὶ τὰ ἀπὸ τοῦ Βοσπόρου τοῦ Κιμμε-
ρίου καλουμένου ἐπὶ Βόσπορον τὸν Θρᾴκιον καὶ πόλιν
Βυζάντιον.*

8—10 = Anon. 88 **10—22** = Anon. 90

---

4 Xen. Anab. VII 5, 12 sq.

---

21 *μὲν* om. p **22** *καλουμένου* dedi e p, om. P subscriptio in P: *ἀρριανοῦ ἐπιστολὴ πρὸς τραϊανόν· ἐν ᾗ καὶ περίπλους εὐξείνου πόντου. διώρθωται οὐ πρὸς σπουδαῖον ἀντίγραφον*

ΑΡΡΙΑΝΟΥ ΤΕΧΝΗ ΤΑΚΤΙΚΗ

... ⟨Πύρρος τε ὁ Ἠπειρώτης τακτικὰ συνέταξε καὶ Ἀλέξανδρος⟩ ὁ Πύρρου παῖς καὶ Κλέαρχος, οὐχ ὁ τῶν μυρίων Ἑλλήνων ἐπὶ βασιλέα ἡγησάμενος, ἀλλὰ ἄλλος οὗτος Κλέαρχος. καὶ μὴν καὶ Παυσανίου ἔστι συγγράμματα ὑπὲρ τούτων, εὕροις δ' ἂν καὶ Εὐαγγέλου ἄλλα καὶ Πολυβίου τοῦ Ἀρκάδος, ὃς καὶ Σκιπίωνι τῷ Ῥωμαίῳ ξυνεγένετο, πολλοὺς καὶ μεγάλους πολέμους διαπολεμοῦντι ἄλλους τε καὶ ἐν ᾧ καὶ Καρχηδόνα τὴν ἐν Λιβύῃ εἷλέν τε καὶ ἠνδραπόδισεν. συγγέγραπται ἄττα ὑπὲρ τούτων καὶ Εὐπολέμῳ καὶ Ἰφικράτει, οὐ τῷ Ἀθηναίων στρατηγῷ, ἀλλὰ ἄλλῳ τούτῳ. Ποσειδώνιος δὲ ὁ Ῥόδιος καὶ τέχνην τινὰ τακτικὴν συγγράψας κατέλιπεν. ἔστι δὲ ξύμπαντα ταῦτα τὰ συγγράμματα 2
ἐκείνῃ μάλιστα οὐκ ὠφέλιμα, ὅτι ὡς πρὸς εἰδότας συγγέγραπται. καὶ τοίνυν τὰ ὀνόματα τῆς τε ὁπλίσεως ἑκάστης καὶ τῆς τάξεως οἳ μὲν ὡς γνώριμα ἀνέγραψαν, τὰ

Arr. 1 cf. Ael. 1, 1—3

Titulus additus ex subscriptione, cf. ad p. 176, 21
2 Tactica initio mutila est, exsciso e codice F folio eo quod olim praecessit folium 182, in quo nunc opusculum incipit. Perierunt prooemium et capitis primi exordium, in quo non dubium est quin Arrianus secutus sit Aelianum; ⟨Πύρρος τε — 3 Ἀλέξανδρος⟩ addidi ex Aeliano 5 ἔστι F ἐστὶ vulg. 7 ἄλλα scripsi ἀλλὰ F ἄττα Herch σκηπίωνι F, corr. Blanc. 8 ῥωμαίων F, corr. Scheff. 9 ἐν ᾧ καὶ] καὶ del. Köchly 10 ⟨καὶ⟩ συγγέγραπται Köchly, συγγ. ⟨δὲ⟩ Herch.

3 δέ ἐστιν εἰ μὴ ἐξηγήσαιο πάντῃ ἄγνωστα. τοῦτο δὲ αὐτὸ ἔδοξέ μοι πρῶτον ἰάσασθαι αὐτῶν τὴν ἀσάφειαν.

(2 K) 2 ὡς οὖν εὐγνωστότατα ἔσται τοῖς ἐντυγχάνουσι τά τε πράγματα καὶ τὰ ὀνόματα, ἐνθένδε τοῦ λόγου ἄρξομαι, ὅτι δὴ τῶν παρασκευῶν τῶν εἰς τὸν πόλεμον ἡ μέν τις κατὰ γῆν τυγχάνει οὖσα, ἡ δὲ διὰ θαλάττης· καὶ γὰρ
□ οἱ πολέμιοι πολεμοῦνται οἳ μὲν ἐν γῇ, οἳ δ' ἐν θαλάττῃ. τῶν δὲ ὅπως οὖν πολεμούντων τὸ μέν τί ἐστι μάχιμον, αὐτοὶ οἱ στρατιῶται, τὸ δὲ τοῦ μαχίμου εἵνεκα ἠθροισμένον, ὅσον θητικὸν ἢ ἰατρικὸν ἢ ἐμπορικὸν ἢ καπη-
2 λικόν. τοῦ δὲ αὖ ἐν γῇ μαχίμου ⟨τὸ μέν ἐστι πεζικόν⟩, τὸ δ' ἐπὶ ὀχήματι ἄλλῳ καὶ ἄλλῳ. καὶ τῆς δευτέρας ἰδέας τὸ μὲν ἱππικόν, ὅπερ ἵπποις χρῆται, τὸ δ' ἐπὶ ἐλεφάντων, καθάπερ τὰ Ἰνδῶν στρατόπεδα καὶ τὰ Αἰθιοπικά, χρόνῳ δ' ὕστερον καὶ Μακεδόνες καὶ Καρχη-
3 δόνιοι καί που καὶ Ῥωμαῖοι. τοῦ δὲ ἀφ' ἵππων μαχητικοῦ τὸ μὲν ἰδίᾳ λεχθείη ἂν ἱππικόν, τὸ δὲ ἐφ' ἁρμάτων. καὶ τοῦ ἱππικοῦ οἳ μὲν ἱππεῖς, οἳ δὲ ἄμφιπποι· ἱππεῖς μὲν οἱ ἐφ' ἑνὸς ἵππου ὀχούμενοι, ἄμφιπποι δὲ οἱ ἐπὶ δυοῖν ἀστρώτοιν ξυνδεδεμένοιν, ὡς μεταπηδᾶν ἀπ' ἄλλου
4 ἐπ' ἄλλον. ἡ μὲν δὴ ἀπὸ τῶν ἐλεφάντων μάχη ἁπλῆ

Arr. 2, 2. 3 cf. gl. mil. 25 initio

Arr. 2, 1 in. cf. Ael. 1, 4—7   Arr. 2, 1 cf. Ael. 2, 1. 2; Ascl. 1, 1ª   Arr. 2, 2 cf. Ael. 2, 3; Ascl. 1, 1ᵇ (1, 3 in.)   Arr. 2, 3ª cf. Ael. 2, 4   Arr. 2, 4. 5 cf. Ael. 2, 6

---

1 αὐτὸ Müll. αὐτὸς F   5 δὴ Müll. δεῖ F   ἡ] η in marg. et paene evanidum F   9 ἕνεκα Herch.   11 αὖ Blanc. ἂν (sic) F   ⟨τὸ μέν ἐστι πεζικόν⟩ add. Herch. ex Ael., lacunam iam indicaverat Dörn.   12 ὀχήματι scripsi σχήματι F ἐπ' ὀχήματος ἄλλου καὶ ἄλλου Herch. coll. Ael. 2, 3 ἐπ' ὀχημάτων; dativus non mutandus, cf. ad p. 66, 17   13 εἰδέας F, corr. Müll.   14 Ἰνδῶν Scheff. ἰλιδῶν F   15. 16 καλχηδόνιοι F, corr. Scheff.   17 ἐφ'] ἀφ' Herch., sed ἐφ' etiam Ael. 2, 4 post ἁρμάτων lacunae signa posuit Herch., iniuria   20 δυοῖν gl. mil. δυεῖν F   21 ἐπ' F et gl. mil. ἐς Herch.

ἐστιν, πλήν γε δὴ ὅτι καὶ πύργους ἔφερον ἔστιν ὅτε [δὲ]
οἱ ἐλέφαντες· τῶν δὲ καὶ οἱ ὀδόντες σιδήρῳ ὀξεῖ ὡπλι-
σμένοι ἦσαν, τοῦ τε τομώτεροι εἶναι καὶ τοῦ μὴ ἀπο-
θραύεσθαι εὐπετῶς. ἡ δὲ ἀπὸ τῶν ἁρμάτων μάχη πο- 5
λυειδεστέρα ταύτης· ἢ γὰρ ψιλὰ ἦν τὰ ἅρματα, καθάπερ
τὰ Τρωϊκά, ἢ δρεπανηφόρα, ὡς ὕστερον τὰ Περσικά,
καὶ ἢ πεφραγμένων τῶν ἵππων ἢ ἀφράκτων, καὶ ἢ ἁπλοῦ
τοῦ ῥυμοῦ ἢ διπλοῦ, τὰ δὲ καὶ πολύρρυμα.

αἱ δὲ πεζικαί τε καὶ ἱππικαὶ τάξεις καὶ ὁπλίσεις 3
πολυειδεῖς τε καὶ πολύτροποί εἰσιν. αὐτίκα τῶν πεζῶν
ἡ ὅπλισις, ὥς γε δὴ τὰ ἀνωτάτω τεμεῖν, τριχῇ νενέ-
μηται, ἔς τε τὸ ὁπλιτικὸν καὶ ἐς τὸ ψιλὸν καὶ ἐς τὸ
πελταστικόν. τὸ μὲν δὴ βαρύτατον ⟨τὸ⟩ ὁπλιτικὸν 2
θώρακας ἔχει καὶ ἀσπίδας ἢ θυρεοὺς παραμήκεις καὶ
μαχαίρας καὶ δόρατα, ὡς Ἕλληνες, ἢ σαρίσας, ὡς οἱ
Μακεδόνες. τὸ δὲ ψιλὸν ἐναντιώτατα ἔχει τῷ ὁπλιτικῷ 3
πάντα, ὅτιπερ ἄνευ θώρακος καὶ ἀσπίδος καὶ κνημῖδος
καὶ κράνους ἐκηβόλοις τοῖς ὅπλοις διαχρώμενον, τοξεύ-
μασιν ἢ ἀκοντίοις ἢ σφενδόναις ἢ λίθοις ἐκ χειρός. τὸ 4
πελταστικὸν δὲ κουφότερον μὲν τυγχάνει ὂν τοῦ ὁπλι-
τικοῦ — ἡ γὰρ πέλτη σμικρότερον τῆς ἀσπίδος καὶ ἐλα-
φρότερον, καὶ τὰ ἀκόντια τῶν δοράτων καὶ σαρισῶν
λειπόμενα —, βαρύτερον δὲ τοῦ ψιλοῦ. τῷ δὲ ἀκριβεῖ 5

Arr. 3, 1—4 cf. gl. mil. 24

Arr. 3, 1—4 cf. Ael. 2, 7—9; Ascl. 1, 2

---

1 καὶ del. Herch. [δὲ] del. Haase p. 104 3 τοῦ μὴ Müll. τῷ μὴ F 8 πολύρυμα F, corr. Müll. 12 ἔς τε Müll. ἔστε F ἔστω ψιλὸν καὶ ἔστω πελταστικόν F, corr. Scheff. 13 ⟨τὸ⟩ add. Herch. 15 ἢ Köchly καὶ F οἱ del. Herch. 16 ἐναντιώτατα et 17 πάντα Köchly ἐναντιώτατα et πᾶν F ἐναντιώτατον et πᾶν margo Big. 17 ὅτιπερ] ἅτεπερ Köchly 18 τοῖς] ἐστὶν Herch., sed τοῖς etiam Ael. 2, 8; an τοῖς ὅπλοις ⟨ἐστὶ⟩? 21 σμικροτέρα et 21. 22 ἐλαφροτέρα Herch.; cf. ad p. 25, 28 22 καὶ ⟨τῶν⟩ σαρισῶν Herch.; cf. Tact. 19, 1 σαρεισῶν F, corr. Köchly

καὶ βαρεῖ ὁπλιτικῷ καὶ κράνη πρόσκειται, ἢ πῖλοι Λα-
κωνικοὶ ἢ Ἀρκαδικοί, καὶ κνημῖδες, ὡς τοῖς πάλαι Ἕλ-
λησιν, ἢ ὡς Ῥωμαίοις κνημὶς μία πρὸ τῆς κνήμης τῆς
ἐν ταῖς μάχαις προβαλλομένης, καὶ θώρακες, οἳ μὲν φο-
λιδωτοί, οἳ δὲ ἁλύσεσι λεπταῖς σιδηραῖς ἐπηλλαγμένοι.
4 τῆς δ' ἱππικῆς ὁπλίσεως ἣ μὲν κατάφρακτος τυγ-
χάνει οὖσα, ἣ δὲ ἄφρακτος. καὶ κατάφρακτος μὲν ⟨ἡ⟩
τούς τε ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρεχο-
μένη, τοὺς μὲν θώραξι φολιδωτοῖς ἢ λινοῖς ἢ ἐκ κερά-
των καὶ παραμηριδίοις, τοὺς ἵππους δὲ παραπλευριδίοις
2 καὶ προμετωπιδίοις· ἄφρακτος δὲ ἡ ἐναντία. τούτων δὲ
οἳ μὲν δορατοφόροι εἰσὶν ἢ κοντοφόροι ἢ λογχοφόροι,
3 οἳ δὲ ἀκροβολισταὶ μόνον. δορατοφόροι μὲν οἱ πε-
λάζοντες ταῖς τάξεσι τῶν πολεμίων καὶ δόρασιν ἀπομα-
χόμενοι ἢ κοντοῖς ἐν τῇ ἐπελάσει ἐξωθοῦντες ὡς Ἀλα-
νοὶ καὶ Σαυρομάται, ἀκροβολισταὶ δὲ οἱ πόρρωθεν
ἀκροβολισμοῖς διαχρώμενοι, καθάπερ Ἀρμένιοι καὶ Παρ-
4 θυαίων ὅσοι μὴ κοντοφόροι. τῆς προτέρας δὲ ἰδέας οἳ
μὲν καὶ θυρεοὺς φέρουσιν καὶ καλοῦνται θυρεαφόροι,
οἳ δὲ ἄνευ τούτων αὐτὸ μόνον δόρασι καὶ κοντοῖς μά-

Arr. 4, 1—6 cf. gl. mil. 25b Arr. 4, 1 cf. Leo VI 30 (31) Arr. 4, 3 cf. Leo VI 31 (32)

Arr. 4, 1—6 cf. Ael. 2, 11—13; Ascl. 1, 3

3. 4 τῆς ἐν Müll. ὡς ἐν F 7 ⟨ἡ⟩ add. Köchly 8 τούς τε scripsi ex Ael. 2, 11 τούστ' F τοὺς vulg. 9. 10 ἐκ κεράτων F ἐκ κεράτων ἐπιπεπλεγμένοις Leo κράτων pro κεράτων Vari ad Leon., sed cf. Pausan. I 21, 6; Amm. Marcell. XVII 12, 2 10 περιμηριδίοις F, corr. G. Dind. in Stephani Thesauro VI p. 866C παραμηρίοις iam Scheff. e Leone 11 ἀφράκτοις F, corr. margo Big. 12 ἢ κοντ. ἢ λογχ. del. Köchly quasi e § 7 ascripta, non habet ea verba Ael. 2, 12, sed ipsius Arriani additamenta videntur, cf. gl. mil. δορατοφόροι ἢ κοντοφοροι ἢ ξυστοφόροι· καλοῦνται γὰρ τοῖς τρισὶν ὀνόμασιν 15 ἢ κοντοῖς — 16 Σαυρομάται del. Köchly 17. 18 παρθυέων F, corr. Müll. 19 μὲν καὶ] καὶ del. Herch. θυρεαφόροι F (etiam Ael. 2, 12); cf. Lobeck ad Phrynich. p. 657 20 καὶ κοντοῖς del. Köchly

χονται, οἳ δὴ καὶ ⟨ἰδίως⟩ δορατοφόροι ἢ κοντοφόροι
ὀνομάζονται, ἔστιν δὲ ὑφ' ὧν ξυστοφόροι. ἀκροβολι- 5
σταὶ δὲ λεχθεῖεν ἂν οἱ μὴ ἐς χεῖρας ἰόντες ἀλλὰ πόρρω-
θεν ἐξακοντίζοντες. καὶ τούτων οἳ μὲν δορατίοις δια-
χρῶνται ἐς τὸν ἀκροβολισμόν, οἳ δὲ τόξοις. οἱ μὲν δὴ
δορατίοις ἀκροβολιζόμενοι Ταραντῖνοι ὀνομάζονται,
οἱ δ' ἕτεροι ἱπποτοξόται. καὶ αὐτῶν δὲ τῶν Ταραν- 6
τίνων οἳ μὲν αὐτὸ μόνον πόρρωθεν ἀφιστάμενοι ἢ ἐς
κύκλους παριππεύοντες διαχρῶνται τῷ ἀκροβολισμῷ, οἳ
δὴ καὶ εἰλικρινεῖς Ταραντῖνοί εἰσιν· οἳ δὲ τὰ πρῶτα
ἐξακοντίζοντες ἔπειτα συμπλέκονται τοῖς πολεμίοις, ἢ
δόρυ ἓν ὧν ἔσχον ὑπολειπόμενοι ἢ καὶ σπάθῃ διαχρώ-
μενοι, καὶ αὐτοὶ καλοῦνται ἐλαφροί. — Ῥωμαίοις δὲ 7
οἱ ἱππεῖς οἳ μὲν κοντοὺς φέρουσιν, καὶ ἐπελαύνουσιν
ἐς τὸν τρόπον τὸν Ἀλανικὸν καὶ τῶν Σαυροματῶν, οἳ
δὲ λόγχας ἔχουσι. σπάθη δὲ μακρὰ καὶ πλατεῖα ἀπήρ- 8
τηται αὐτοῖς ἀπὸ τῶν ὤμων, καὶ θυρεοὺς πλατεῖς παρα-
μήκεις φέρουσιν καὶ κράνος σιδηροῦν καὶ θώρακα τὸν
πεπλεγμένον καὶ κνημῖδας μικράς. λόγχας δὲ ἐς ἀμφό- 9
τερα φέρουσι, καὶ ἀκοντίσαι μακρόθεν, ὁπότε τούτου
δέοι, καὶ ἐγγύθεν ἐκ χειρὸς ἀπομάχεσθαι, συμπλακῆναί
τε εἰ δεήσειεν εἰς χεῖρας ἐλθόντας, ταῖς σπάθαις μά-
χονται. οἳ δὲ καὶ πελέκεις μικροὺς φέρουσι πάντοθεν
ἐν κύκλῳ ἀκωκὰς ἔχοντας.

Arr. 4, 9 i. f. cf. Leo VI 32 (33), 1518 sqq.

---

1 ⟨ἰδίως⟩ addidi ex Ael. 2, 12 ⟨ἰδίᾳ⟩ add. Eberh. οἳ δὲ ἁπλῶς δορατοφόροι gl. mil. ἢ κοντοφόροι del. Köchly 7 καὶ del. Herch.; cf. ad p. 20, 4 8 ἐφιστάμενοι F, corr. Köchly 9 περιιππεύοντες Köchly, sed cf. Anab. V 16, 1 10 εἰλικρινῶς Herch. ἰδίως Ael. 2, 13 et gl. mil. τὰ ⟨μὲν⟩ Herch. 11 ἐξακοντίσαντες Köchly ἐξακοντίζουσιν Herch. 12 ἓν Scheff. ἐν F ⟨τῇ⟩ σπάθῃ Herch. 13 οὗτοι Müll., cf. ad p. 46, 9 17 θυρσοὺς F, corr. Scheff. 18 τὸν del. Herch. 22 τε] δὲ Müll. δεήσοι F, corr. Herch. 24 ἀκωκὰς ἔχοντας] ἔχοντας ἀκωκὰς ὀξείας ὡς ὀδόντας ἠκονημένους Leo; cf. Cumont, Mon. et mém. Piot XXVI (1923), p. 35

(3K) 5 ἑκάστης δὲ τάξεως πεζικῆς τε καὶ ἱππικῆς συστή-
ματά τ' ἐστὶ καὶ ἡγεμόνες καὶ ἀριθμὸς καὶ ὀνό-
ματα, ὡς δέχεσθαι ὀξέως τὰ παραγγελλόμενα· ὑπὲρ ὧν
2 ἤδη λεκτέον. πρῶτον μὲν δὴ καὶ μέγιστον [τὸν] ἐν στρα-
τηγίᾳ ἔργον παραλαβόντα πλῆθος ἀνθρώπων ἀθρόον
καὶ ἄτακτον ἐς τάξιν καὶ κόσμον καταστῆσαι· τὸ δ' ἔστιν
καταλοχίσαι τε καὶ ξυλλοχίσαι, ἀριθμόν τε ἐπι-
θεῖναι τῷ πλήθει παντὶ ξύμμετρον καὶ ἐπιτήδειον ἐς
3 τὰς μάχας. τὸ γὰρ συντεταγμένον στράτευμα ἔν τε τῇ
πορείᾳ κουφότερον καὶ ἐν στρατοπεδείᾳ ἀσφαλέστερον
καὶ ἐς τὰς μάχας ὠφελιμώτερον, ὥστε ἤδη καὶ μεγάλα
στρατόπεδα καὶ εὐοπλοῦντα δι' ἀταξίαν διαφθαρέντα
ἴσμεν ὑπὸ ἐλάττονός τε στρατιᾶς καὶ οὐκ ἀκριβῶς ὡπλι-
σμένης, τὰ δὲ ἀσθενέστερα καὶ οὐκ εὐοπλοῦντα κρατή-
(4K) 4 σαντα τοῦ πλήθους τῇ εὐταξίᾳ. τὸ μὲν δὴ καταλο-
χίσαι ἐστὶν εἰς λόχους συντάξαι· ὁ δὲ λόχος ὀνομά-
ζεται ἀριθμὸς ἀνδρῶν ἀπὸ τοῦ ἡγουμένου καὶ τῶν μετὰ
τοῦτον κατόπιν τεταγμένων ἔστε ἐπὶ τὸν τελευταῖον
5 κατὰ τὸ βάθος, ὃς δὴ οὐραγὸς καλεῖται. ἀριθμὸν δὲ
τοῦ λόχου οἱ μὲν ὀκτὼ ἀνδρῶν ἐποίησαν, οἱ δὲ δέκα, οἱ
δὲ δύο ἐπὶ τοῖς δέκα, οἱ δὲ καὶ ἑκκαίδεκα. ὑποκείσθω δὲ
ἡμῖν τὸ βαθύτατον αὐτοῦ ἐς ἑκκαίδεκα. σύμμετρον γὰρ
τοῦτο πρός τε τὴν ἐπὶ μῆκος τάξιν καὶ πρὸς τὴν ἐς βά-
θος τῆς φάλαγγος καὶ πρὸς τὸ ὑπερτοξεύεσθαί τε καὶ

Arr. 5, 4—6 cf. gl. mil. 1—3

Arr. 5, 1—3 cf. Ael. 3, 1—3; Ascl. 1, 4 Arr. 5, 4—6ª cf. Ael. 4, 1—3; Ascl. 2, 1

---

3 ὡς — παραγγελλόμενα del. Herch., sed cf. Ael. 3, 1 χάριν τῶν παραγγελλομένων 4 [τὸν] del. Haase p. 104 τῶν margo Big. τῶν ἐν στρατηγίᾳ ἔργων Köchly 10 ⟨τῇ⟩ στρατοπεδείᾳ Herch. 15 τοῦ] περισσοῦ Herch. 17 τῶν Scheff. τὸν F 18 κατόπιν del. Herch., sed cf. Ael. 4, 1 καὶ τῶν μετ' αὐτὸν ὄπισθεν ἑπομένων ἔστε Scheff. ἔσται F 21 ὑποκείσθω scripsi coll. p. 138, 17 et Ascl. 2, 7 i. f. ἐκκείσθω F κείσθω Herch.

ὑπερακοντίζεσθαι πρὸς τῶν ψιλῶν τῶν ἐφεστηκότων.
καὶ εἴτε διπλασιάσαι δεήσειεν τὸ βάθος ἐπὶ τριάκοντα 6
δύο ἄνδρας, ἡ τάξις σύμμετρος ἔσται· εἴτε αὖ μηκῦναι
τὸ μέτωπον ἐς ὀκτώ, ἔσται οὐ πάντη ἀβαθὴς ἡ φάλαγξ.
τὴν δὲ εἰς ὀκτὼ εἰ ἐκτεῖναι ἐθελήσειας ἐπὶ τέσσαρας,
ἀβαθὴς γίγνεται. χρὴ οὖν τὸν λοχαγόν, ἅτε πρῶτον (5 K)
τοῦ λόχου ταττόμενον, τὸν κράτιστον ἐπιλέγεσθαι· ὃ δὲ
αὐτὸς καὶ πρωτοστάτης καὶ ἡγεμὼν καλεῖται.

τὸν δὲ λόχον καὶ στίχον ἤδη τινὲς ὀνομάζουσιν, οἳ 6
δὲ δεκανίαν, τυχὸν οἷς ἐκ δέκα ὁ λόχος ἦν. ὑπὲρ δὲ 2
τῆς ἐνωμοτίας ἀμφιγνοούμενόν ἐστιν· οἳ μὲν γὰρ ἄλλο
ὄνομα τῷ λόχῳ εἶναι τοῦτο, οἳ δὲ τὸ τέταρτον τοῦ λόχου
ἐνωμοτίαν καλοῦσιν, καὶ ἐνωμοτάρχην τὸν τούτου
ἡγούμενον, τὰς δὲ δύο ἐνωμοτίας διμοιρίαν καὶ τὸν
ἡγούμενον τούτου διμοιρίτην. Ξενοφῶν δὲ πόστον 3
μὲν μέρος τοῦ λόχου ἡ ἐνωμοτία ἐστὶν οὐ διασαφεῖ· ὅτι
δὲ μεῖον καὶ πάντως γε τῷ ἡμίσει, δηλοῖ ἐν ᾧ λέγει
ὅτι οἱ λοχαγοὶ κατ' ἐνωμοτίας ἕκαστος ἐποιήσαντο τὸν
αὐτοῦ λόχον. ὁ μὲν δὴ τοῦ λοχαγοῦ κατόπιν ἑστὼς 4
ἐπιστάτης καλεῖται, ὁ δὲ αὖ κατόπιν τούτου πρωτοστάτης, ὁ δ' ἐπὶ τούτῳ ἐπιστάτης, ὡς τὸν πάντα

Arr. 6, 1. 2 cf. gl. mil. 4. 5 Arr. 6, 4 cf. gl. mil. 6

Arr. 5, 6b—6, 2 cf. Ael. 5, 1. 2; Ascl. 2, 2 Arr. 6, 3 cf. Xen. Anab. IV 3, 26 Arr. 6, 4 cf. Ael. 5, 4; Ascl. 2, 3

---

4 post *μέτωπον* intercidisse quaedam, e. g. ⟨*ὥστε συναιρεθῆναι τὸ βάθος*⟩ *ἐς ὀκτώ*, aut voces *ἐς ὀκτὼ* tamquam e versu insequenti ascitas delendas esse putat Eberh., coll. Ael. 4, 3 *ἐάν τε . . . διπλασιάζηται τὸ βάθος . . . ἢ συναιρῆται καὶ ἐπ' ὀκτὼ ἄνδρας βαθύνηται.* Lectio tradita apud Arr. si vera est, notabili breviloquentia est usus. Possis etiam ⟨*καὶ συνελεῖν τὸ βάθος*⟩ *ἐς ὀκτὼ* 15 *τούτων* Herch., cf. ad p. 138, 22 17 *καὶ* del. Herch. *γε* Müll. *τε* F 19 *αὑτοῦ* F, corr. Müll. 21 *τούτῳ* Herch. *τούτων* F post *ἐπιστάτης* Herch. addit ⟨*καὶ ἐφεξῆς ὡσαύτως*⟩ coll. p. 136, 12. 15, sed cf. Ael. 5, 4, cuius ipsa fere verba Arrianus hic describit

τοῦ λόχου στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν τε-
5 *τάχθαι παραλλὰξ ἱσταμένων. χρὴ δὲ μὴ μόνον τὸν λο-*
χαγὸν τὸν κράτιστον τοῦ λόχου εἶναι, ἀλλὰ καὶ τὸν οὐ-
ραγὸν οὐ πολύ τι ἀποδέοντα ἐπιλέγεσθαι· πολλὰ γὰρ
καὶ τούτῳ καὶ οὐ τὰ φαυλότατα ἐν τοῖς πολεμικοῖς ἐπι-
6 *τέτραπται. εἴη ἂν οὖν ὁ λόχος στίχος ἐξ ἐπιστατῶν καὶ*
πρωτοστατῶν ἐν μέσῳ λοχαγοῦ τε καὶ οὐραγοῦ συντετα-
γμένος.

(6 K) 7 *συλλοχισμὸς δ' ἐστὶν παράθεσις λόχου ἑτέρῳ λόχῳ.*
γίγνεται δὲ εἰ τῷ τοῦ πρώτου στίχου λοχαγῷ ὁ τοῦ δευ-
τέρου λοχαγὸς ἐπισταθείη, τῷ δὲ τούτου ἐπιστάτῃ ὁ τοῦ
2 *δευτέρου λοχαγοῦ ἐπιστάτης, καὶ ἐφεξῆς οὕτως. παρα-*
στάτης δὲ πᾶς ὁ συζυγῶν ὀνομάζεται, λοχαγὸς μὲν ὁ
πρῶτος τῷ δευτέρῳ λοχαγῷ, ἐπιστάτης δὲ ὁ πρῶτος τῷ
δευτέρῳ ἐπιστάτῃ, καὶ τοῦτο ἐφεξῆς ἔστε ἐπὶ τοὺς οὐ-
ραγοὺς τῶν λόχων. ἐπειδὰν οὖν πολλοὶ ἐφεξῆς λόχοι
ταχθῶσι, συλλοχισμὸς τὸ τοιόνδε καλεῖται.

(7 K) 8 *τὸ δὲ σύμπαν σύνταγμα τοῦ πλήθους φάλαγξ ὀνο-*
μάζεται· ἧς μῆκος μὲν τὸ πρῶτον ἂν εἴη ἐκ τῶν λοχαγῶν
σύνταγμα, ὅπερ καὶ μέτωπον ἤδη τινὲς ὀνομάζουσιν,
ἔστιν δὲ οἳ πρόσωπον καὶ ζυγόν, καὶ στόμα δὲ [οἱ]
2 *ἄλλοι ταὐτὸ τοῦτο, καὶ πρωτολοχίαν ἄλλοι. τὸ δὲ κατ-*
όπιν τοῦ μετώπου ἅπαν ἔστε ἐπὶ τοὺς οὐραγούς, βά-
θος ὀνομάζεται. καὶ τὸ μὲν κατὰ μῆκος ἐπ' εὐθείας εἶναι
τοῖς πρωτοστάταις ἢ τοῖς ἐπιστάταις συζυγεῖν καλοῦσι,

Arr. 7, 1. 2 cf. gl. mil. 7, 8 Arr. 8, 1—4 cf. gl. mil. 20—23

Arr. 6, 5. 6 cf. Ael. 5, 5. 6 Arr. 7, 1. 2 cf. Ael. 6, 1. 2; Ascl. 2, 4 Arr. 8, 1—4 cf. Ael. 7, 1—3; Ascl. 2, 5. 6

5 *πολεμίοις* F, corr. Müll. 10 *εἰ* Scheff. *ἐν* F 12 *λοχαγοῦ* Köchly *λόχου* F *οὕτως*] *ὡσαύτως* Herch. 13 *ζυγῶν* Köchly ex Ael. 15 *ἔσται* F, corr. Scheff. 17 *συλλογισμὸς* F, corr. Scheff. 21 [*οἱ*] del. Köchly 22 *ταὐτὸ* Herch. *ταυτὸν* F 23 *ἔστε* Herch. *ὅ ἐστιν* F, cf. Ael. 7, 1 i. f. *μέχρι τῶν οὐραγῶν* 25 *τοὺς πρωτοστάτας καὶ τοὺς ἐπιστάτας* Herch.

στοιχεῖν δὲ τὸ κατὰ βάθος [τῷ] ἐπ' εὐθείας εἶναι τοῖς
οὐραγοῖς καὶ λοχαγοῖς. τέμνεται δὲ ἡ φάλαγξ εἰς μέρη 3
τὰ μέγιστα δύο, δίχα διαιρουμένου τοῦ παντὸς μετώπου
ἔστε ἐπὶ τὸ πᾶν βάθος. καὶ τούτου τὸ μὲν ἥμισυ τὸ ἐν
δεξιᾷ δεξιὸν καλεῖται κέρας καὶ κεφαλή· τό δ' ἐν
ἀριστερᾷ εὐώνυμον κέρας καὶ οὐρά. ἵνα δὲ [ὅπου] ἡ 4
διχοτομία γίνεται τοῦ μήκους, ὀμφαλὸς ὀνομάζεται καὶ
στόμα καὶ ἀραρός.

ἐπὶ δὲ τοῖς ὁπλίταις τὸ πολὺ οἱ ψιλοὶ τάττονται, ὡς 9
αὐτοῖς μὲν τὴν σκέπην ἐκ τῶν ὅπλων εἶναι, τοῖς δὲ ὁπλί-
ταις αὖ τὴν ὠφέλειαν ἐκ τῶν κατόπιν ἀκοντισμάτων.
οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλῃ χώρᾳ ἤδη ψιλοὶ ἐτάχθησαν, 2
ὁπότε οὕτω δέοι, ἐπὶ κέρως ἑκατέρου ἤ, εἴ πρόβλημα
εἴη τοῦ ἑτέρου κέρως ποταμὸς ἢ τάφρος ἢ θάλασσα, ἐπὶ
τοῦ ἑτέρου μόνου, ⟨ἐν⟩ ὑπερδεξίῳ τοῦ χωρίου, τοῦ ἀπο-
κρούεσθαι τῶν πολεμίων τὴν ταύτῃ ἔφοδον ἢ ἐς κώλυ-
σιν κυκλώσεως· καὶ γὰρ αἱ τῶν ἱππέων τάξεις ἄλλοτε
ἄλλῃ καθίστανται, ὅπως ἂν μέλλωσι ταχθέντες ὠφέλιμοι
ἔσεσθαι. τὸ μὲν οὖν ἅπαν πλῆθος τῆς στρατιᾶς ὁπόσους 3 (8 K)
χρὴ εἶναι, οὐκ ἐπὶ τῷ στρατηγῷ ἑλέσθαι· τὸ δὲ ὂν ὅπως
συντάξει τε καὶ ἀσκήσει καὶ ἐκ τάξεως ἐς τάξιν ἄλλην

Arr. 9, 1. 2 cf. Ael. 7, 4. 5 Arr. 9, 3—6 cf. Ael. 8, 1—3; Ascl. 2, 7

⟨τοὺς πρωτοστάτας⟩ τοῖς πρωτοστάταις καὶ ⟨τοὺς ἐπιστάτας⟩ τοῖς ἐπιστάταις Eberh., auctorem corrigentes, nam eadem habet Ael. 7, 2 ζυγεῖν Köchly ex Ael. (e quo ζυγεῖν etiam gl. mil. 22)

1 [τῷ] del. Köchly, neque id habet Ael. 1. 2 τοὺς οὐραγοὺς καὶ λοχαγούς Herch., sed cf. Ael. 4 ἔσται F, corr. Scheff. 6 κέρας Scheff. μέρος F, sed κέρας vs. 5, quod utroque loco habent Ael. 7, 3 et gl. mil. 23 [ὅπου] del. Haase p. 104 12 ⟨οἱ⟩ ψιλοὶ Köchly 13 οὕτω] τούτου Herch. δέοι Haase p. 104 δὲ οἱ F ⟨ἢ⟩ ἐπὶ Müll. 15 μόνον Haase p. 104 μὲν F ⟨ἐν⟩ add. Köchly τοῦ χωρίου] χωρίῳ Herch. τινὶ χωρίῳ Eberh. 17 ἵππων F, corr. Scheff. 18 ὅπῃ Köchly ὅπου Herch.; cf. Ael. 7, 6 πῶς 19. p. 138, 3 στρατείας F, corr. Müll. 19 ὁπόσον Scheff. 20 δὲ ὂν Köchly δέον F δὲ παρὸν Herch.

4 εὐπετῶς μετακινήσει, τοῦτο ἐπασκητέον. τοσόνδε μέντοι
συμβουλεύσαιμ' ἂν τῷ στρατηγῷ, ἐκ τοῦ παντὸς πλήθους
τῆς στρατιᾶς τοσούτους ἐς τὰς μάχας ἐξάγειν, ὁπόσοι
ἐπιτήδειοι ἔσονται πρὸς τὰς μεταβολάς τε τῶν τάξεων
καὶ τὰς μετακινήσεις, οἷον τοὺς διπλασιασμοὺς καὶ πο-
λυπλασιασμοὺς καὶ ὅσαι πτύξεις ἢ ἐξελιγμοὶ ἢ εἰ δή τινες
5 ἄλλαι μεταβολαὶ τάξεων. ἔνθεν δὴ τούτους μάλιστα τοὺς
ἀριθμοὺς ἐπελέξαντο οἱ δεινοὶ ἀμφὶ ταῦτα, ὅσοι ἀριθ-
μοὶ μέχρι μονάδος οἷοί τε δίχα διαιρεῖσθαι, ὁποία ἐστὶν
ἡ τῶν μυρίων καὶ ἑξακισχιλίων καὶ τριακοσίων καὶ ἐπὶ
τούτοις τεσσάρων καὶ ὀγδοήκοντα τάξις εἰ τύχοι οὖσα
ὁπλιτική· ταύτης δὲ ἡμίσειαν τὴν τῶν ψιλῶν, καὶ ταύτης
ἔτι ἡμίσειαν τὴν τῶν ἱππέων. οὗτος γάρ τοι ὁ ἀριθμὸς
μέχρι μονάδος δίχα τέμνεται, ὥστε διπλασιάζειν αὐτὸν
ἐς τὸ βάθος ξυνάγοντα καὶ αὖ ἐκτείνειν ἀναπτύσσοντα
6 εὐμαρὲς καθίστασθαι, ὁπότε τούτου δεήσειεν. αὐτίκα
ἐπεὶ τῷ λόγῳ ἑκκαίδεκα ἀνδρῶν τὸ βάθος ὑπεθέμεθα,
τέσσαρες καὶ εἴκοσι ἐπὶ τοῖς χιλίοις ἔσονται οἱ λόχοι ἐν
τῷδε τῷ ἀριθμῷ, καὶ οὗτοι μεμερισμένοι ἐς τάγματα, ὧν
ἑκάστῳ καὶ ὄνομα οἰκεῖον πρόσκειται.
(9K) 10 οἱ μέν γε δύο λόχοι διλοχία καλεῖται, ἐξ ἀνδρῶν δύο
καὶ τριάκοντα, καὶ διλοχίτης ὁ τούτου ἡγούμενος· ⟨οἱ

Arr. 9, 5 cf. Urb. prooem. p. 467, 1 sqq. Arr. 10, 1—9 cf. Urb. prooem. p. 467, 3—23; gl. mil. 9—19

Arr. 10, 1—3[a] cf. Ael. 9, 1—4[a]; Ascl. 2, 8

---

1 μετακινήση F, corr. Köchly ἐπισκοπητέον Köchly ἐπισκεπτέον Herch. 3 ἐξαγαγεῖν Müll. 5 τοὺς del. Herch. 6 ὅσαι πτύξεις ἢ ἐξελιγμοὶ scripsi ὅσας πτύξεις ἢ ἐξελιγμοὺς F πάσας πτύξεις ἢ ἐξελιγμοὺς Köchly [ὅσας] πτύξεις καὶ ἐξελιγμοὺς Herch. εἰ δή Scheff. εἴδη F 12 sq. accusativi ἡμίσειαν verbo unde pendeant carent, non item apud Ael. 8, 3, quem Arrianus descripsit 14 αὐτὸν] phalangem quae ex eo numero militum constat intellige 15 τὸ del. Herch. 17 ἐπεὶ Müll. (et Ael. 8, 3) ἐπὶ F 20 προκεῖται F, corr. Köchly 21 ἐξ del. Herch., non habet Ael. 22 τούτων

δὲ τέσσαρες λόχοι ***τετραρχία***, *καὶ ὁ τούτου ἡγούμε-*
νος⟩ ***τετράρχης*** *τεσσάρων καὶ ἑξήκοντα ἀνδρῶν ἔξαρχος.*
αἱ δὲ δύο τετραρχίαι ***τάξις***, *λόχων μὲν ὀκτώ, ἀνδρῶν* 2
δὲ ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὁ τούτων ἡγούμενος
ταξιάρχης. *ὅπου δὲ ἓξ ἑκατὸν γίγνεται τὸ τάγμα,* ***ἑκα-*** 3
τοντάρχης *ὁ τούτου αὖ ἡγεμὼν ὀνομάζεται. ⟨αἱ δὲ δύο*
τάξεις ***σύνταγμα*** *καλεῖται,⟩ λόχων μὲν ἑκκαίδεκα, ἀν-*
δρῶν δὲ ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, καὶ ὁ τού-
του αὖ ἡγούμενος ***συνταγματάρχης***. *οἱ δὲ* ***ξεναγίαν***
τοῦτο ὀνομάζουσι, καὶ ***ξεναγὸν*** *τὸν τούτου ἡγούμενον.*
καθ' ἑκάστην δὲ σύνταξιν τῶν ἓξ καὶ πεντήκοντα καὶ 4
διακοσίων ἐπίλεκτοί εἰσι ***σημειοφόρος***, ***οὐραγός***,
σαλπιγκτής, ***ὑπηρέτης***, ***στρατοκήρυξ***· *καὶ τὸ πᾶν*
σύνταγμα ἐς τετράγωνον σχῆμα ταχθὲν ἐς ἑκκαίδεκα
ἔχει τὸ μῆκος καὶ τὸ βάθος. τὰ δὲ δύο συντάγματα γί- 5
νεται ἀνδρῶν δώδεκα καὶ πεντακοσίων, λόχων δύο καὶ
τριάκοντα, καὶ τούτων ὁ ἡγούμενος ***πεντακοσιάρχης***.
τοῦτο δὲ δὴ διπλασιασθὲν γίγνεται ***χιλιαρχία***, *⟨ἀν-*
δρῶν μὲν⟩ τεσσάρων καὶ εἴκοσι καὶ χιλίων, λόχων δὲ

Arr. 10, 3[b] cf. Ael. 9, 4[b] Arr. 10, 4 cf. Ael. 9, 4[c]; Ascl. 2, 9 Arr. 10, 5—9 cf. Ael. 9, 5—10; Ascl. 2, 10

Herch. *τούτου τοῦ τάγματος* Ael. 9, 1; Arrianus hoc capite in talibus locutionibus neutrum sing. (p. 139, 6. 8. 10. 18; p. 140, 1. 3. 7. 8. 17) et masculinum plur. (p. 139, 4. 17) variavit
22 sq. (p. 138) ⟨*οἱ δὲ — ἡγούμενος*⟩ add. Scheff. partim ex Ael. 9, 2 (*τούτων* Herch.)

2 *τετράρχης* F cum Ael., Urb., gl. mil. 10 *τέτραρχος* Herch., qui sine causa idonea pro codicis F formis in -*άρχης* exeuntibus ubique formas in -*αρχος* posuit 3 *τάξεις* F, corr. Blanc. 5 *τὸ τάγμα* Köchly *τι σύνταγμα* F 6. 8; p. 140, 3. 7 *τούτου*] *τούτων* Herch., cf. ad p. 138, 22 6. 7 ⟨*αἱ δὲ — καλεῖται*⟩ add. Scheff. ex Ael. 9, 4, nisi quod Hercher Arrianeum *σύνταγμα καλεῖται* restituit pro Aeliani *καλοῦνται σύνταγμα*
9 *οἱ δὲ* ⟨*καὶ*⟩ Herch.; cf. gl. mil. 12 *τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι* 18 *δὴ* om. vulg. 18. 19 ⟨*ἀνδρῶν μὲν*⟩ add. Herch. ex Ael. 9, 6

τεσσάρων καὶ ἑξήκοντα, καὶ ὁ ἐπὶ τούτῳ χιλιάρχης. αἱ
δὲ δύο χιλιαρχίαι μεραρχία, δισχιλίων ἀνδρῶν καὶ
ὀκτὼ καὶ τεσσαράκοντα, καὶ ὁ τούτου ἔξαρχος μεράρ-
χης, λόγων ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν· οἳ δὲ καὶ τέλος
6 τοῦτο ὀνομάζουσιν. αἱ δὲ δύο μεραρχίαι φαλαγγαρχία,
τετρακισχιλίων ἀνδρῶν καὶ ἓξ καὶ ἐνενήκοντα, λόχων ἓξ
καὶ πεντήκοντα καὶ διακοσίων, καὶ ὁ τούτου αὖ ἡγούμε-
7 νος φαλαγγάρχης. οἳ δὲ στρατηγίαν τοῦτο ὀνομά-
ζουσι, καὶ τὸν ἡγούμενον στρατηγόν. αἱ δὲ δύο φα-
λαγγαρχίαι διφαλαγγία, δύο ἀνδρῶν καὶ ἐνενήκοντα
καὶ ἑκατὸν καὶ ὀκτακισχιλίων, λόχων δώδεκα καὶ πεντα-
κοσίων. ἔστι δὲ τὸ τάγμα τοῦτο καὶ μέρος καὶ κέρας.
8 αἵ γάρ τοι δύο διφαλαγγίαι τετραφαλαγγία τε καλεῖ-
ται καὶ λόχων γίγνεται χιλίων καὶ εἴκοσι καὶ τεττάρων,
ἀνδρῶν μυρίων ἑξακισχιλίων τριακοσίων ὀγδοήκοντα
9 ἐπόντων τεσσάρων, ὅντινα τὸν πάντα ἀριθμὸν τῇ πε-
ζικῇ τάξει ὑπεθέμεθα, καὶ εἶεν ⟨ἂν⟩ ἐν τούτῳ κέρατα
μὲν δύο, φαλαγγαρχίαι δὲ τέσσαρες, καὶ μεραρχίαι δὲ
ὀκτώ, χιλιαρχίαι δὲ ἑκκαίδεκα, πεντακοσιαρχίαι δὲ δύο
καὶ τριάκοντα, συνταγματαρχίαι δὲ τέσσαρες καὶ ἑξή-
κοντα, ταξιαρχίαι δὲ ⟨ὀκτὼ⟩ καὶ εἴκοσι καὶ ἑκατόν, τε-
τραρχίαι δὲ ἓξ καὶ πεντήκοντα καὶ διακόσιαι, διλοχίαι
δὲ πεντακόσιαι καὶ δεκαδύο, λόχοι δὲ εἴκοσι καὶ χίλιοι
τεσσάρων ἐπόντων.

---

1 τούτοις Herch., cf. ad p. 138, 22   4 verba λόγων—ἑκατόν post vocem τεσσαράκοντα (vs. 3) posuit Herch., sed cf. Ael. 9, 7   8 οἳ δὲ ⟨καὶ⟩ Herch.; cf. gl. mil. 17 πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο   10 et 13 διφαλαγγαρχία et διφαλαγγαρχίαι Scheff. ex Ael. 9, 9. 10, sed διφαλαγγία et διφαλαγγίαι etiam gl. mil. 18. 19   13 τετραφαλαγγαρχία Scheff. cum Ael. 9, 10 et gl. mil. 19   14 λόχον F, corr. Scheff.   16 ἐπόντων Müll. λειπόντων F   17 ὑπεθέμεθα] p. 138, 10. 11   εἴη Herch., cf. Praef. adn. 5   ⟨ἂν⟩ add. Herch.   18 καὶ del. Herch.   21 ⟨ὀκτὼ⟩ add. Scheff. ex Ael. 9, 10

τάττεται δὲ ἡ φάλαγξ ἐπὶ μῆκος μὲν ὅπου ἀραιοτέραν 11 (11 K)
χρὴ τετάχθαι, εἴ ἥ τε χώρα παρέχοι καὶ ὠφελιμώτερον
εἴη, ⟨κατὰ βάθος⟩ δὲ ὅπου πυκνοτέραν, εἰ αὐτῇ τῇ πυκ-
νότητι καὶ τῇ ῥύμῃ τοὺς πολεμίους ἐξῶσαι δέοι — κα- 2
θάπερ Ἐπαμεινώνδας ἔν τε Λεύκτροις αὐτοὺς τοὺς Θη-
βαίους ἔταξε καὶ πρὸς Μαντινείας τοὺς πάντας Βοιω-
τούς, ὥσπερ ἔμβολον ποιήσας καὶ ἐπάγων τῇ τάξει τῶν
Λακεδαιμονίων —, ἢ αὖ εἰ δέοι τοὺς ἐπελαύνοντας
ἀποκρούσασθαι, καθάπερ πρὸς τοὺς Σαυρομάτας τε καὶ
τοὺς Σκύθας χρὴ τάττειν. καὶ ἔστι πύκνωσις μὲν ἡ ἐκ 3
τοῦ ἀραιοτέρου ἐς τὸ πυκνότερον συναγωγὴ κατὰ παρα-
στάτην τε καὶ ἐπιστάτην, ὅπερ ἔστι κατὰ μῆκός τε καὶ
βάθος· συνασπισμὸς δὲ ἐπὰν εἰς τοσόνδε πυκνώσῃς 4
τὴν φάλαγγα ὡς διὰ τὴν συνέχειαν μηδὲ κλίσιν τὴν ἐφ'
ἑκάτερα ἔτ' ἐγχωρεῖν τὴν τάξιν. καὶ ἀπὸ τοῦδε τοῦ συν-
ασπισμοῦ τὴν χελώνην Ῥωμαῖοι ποιοῦνται, τὸ πολὺ
μὲν τετράγωνον, ἔστιν δὲ ὅπου καὶ στρογγύλην ἢ ἑτε-
ρομήκη ἢ ὅπως ἂν προχωρῇ. οἱ μὲν ἐν κύκλῳ τοῦ πλιν- 5
θίου ἢ τοῦ κύκλου ἑστηκότες τοὺς θυρεοὺς προβέβλην-
ται πρὸ σφῶν, οἱ δ' ἐφεστηκότες αὐτοῖς ὑπὲρ τῶν κε-
φαλῶν ἄλλος ὑπὲρ τοῦ ἄλλου ὑπεραιωρήσας προβάλλεται.

Arr. 11, 1 cf. Urb. 1, p. 467, 24—26; Psellus 6 a Arr. 11, 3. 4 cf. gl. mil. 26. 27 Arr. 11, 4—6 cf. Urb. 2, p. 467, 27—468, 2

Arr. 11, 1. 3. 4ª cf. Ael. 11, 1—4; Ascl. 4, 1—3

---

1 sqq. μὲν ὅπου cet.] ὅπου μὲν ἀραιοτέρα . . . ὅπου δὲ πυκνοτέρα (hoc cum F) Müll., qui voces χρὴ τετάχθαι delet neque addit ⟨κατὰ βάθος⟩ 3 ⟨κατὰ βάθος⟩ add. Herch. ⟨ἐπὶ βάθος⟩ iam Köchly δὲ ὅπου Köchly ὅπου δὲ F πυκνοτέραν (sc. χρὴ τετάχθαι) scripsi πυκνοτέρα F ⟨δεῖ⟩ πυκνοτέραν ⟨εἶναι⟩ Köchly; cf. Psell. 6 τακτέον δὲ αὐτῷ τὴν φάλαγγα ποτὲ μὲν ἀραιοτέραν, ποτὲ δὲ πυκνοτέραν, ὡς ἡ χρεία δοκιμάσοι εἰ Müll. εἴη F 5 ἐπαμινώνδας F, corr. Köchly 10 τάττειν margo Big. ταύτην F 14 ὡς] ὥστε Herch.; cf. ad p. 59, 28 20 πρὸ margo Big. πρὸς F 21 τοῦ del. Herch. ὑπερεωρήσας F, corr. Lobeck ad Phrynich. p. 717

6 καὶ τὸ πᾶν οὕτω ἀκριβῶς φράττεται, ὥστε καὶ ἀκοντιστὰς
ἄνωθεν καθάπερ ἐπὶ στέγης διαθέοντας δέχεσθαι, καὶ
λίθους ἀμαξιαίους μὴ διαλύειν τὴν σύγκλεισιν, ἀλλὰ κα-
τακυλιομένους τῇ ῥύμῃ ὑπερπίπτειν εἰς τὸ δάπεδον.
(13K)12 ἀγαθὸν δὲ εἴπερ τι ἄλλο καὶ τὸ τοὺς λοχαγοὺς τοὺς
μεγίστους τε καὶ κρατίστους εἶναι καὶ τῶν κατὰ πόλεμον
2 δαημονεστάτους· τοῦτο γάρ τοι τὸ ζυγὸν ξυνέχει τὴν
πᾶσαν φάλαγγα, καὶ τὸ ἴσον παρέχεται ἐν ταῖς μάχαις
ὅ τι περ τὸ στόμωμα τῷ σιδήρῳ· ὁποῖον γὰρ αὖ τοῦτο
[ἡ τομὴ τοῦ σιδήρου], οὕτω καὶ ὁ πᾶς σίδηρος τὸ αὐτὸ
ἐργάζεται. ἡ μέν γε τομὴ αὐτῷ κατὰ τὸ στόμωμα γίγνε-
ται, τὸ δὲ ὑπόλοιπον, καὶ εἰ μαλθακὸν τύχοι ὄν, τῷ
βάρει ὅμως ξυνεπερείδει τῷ τεμόντι· οὕτω καὶ τῆς φά-
λαγγος στόμωμα μὲν θείη τις ἂν τὸ ἐκ τῶν λοχαγῶν
σύνταγμα, ὄγκον δὲ καὶ βάρος τὸ κατόπιν τούτων πλῆ-
3 θος. δευτέρους δ' ἐπὶ τούτοις κατ' ἀρετὴν χρὴ εἶναι
τοὺς τῶν λοχαγῶν ἐπιστάτας· καὶ γὰρ τὸ τούτων δόρυ
ἐξικνεῖται ἔστε ἐπὶ τοὺς πολεμίους, καὶ τοὺς ὠθισμοὺς
4 τοῖς προτεταγμένοις σφῶν ἐγγύθεν συνερείδουσιν. ἤδη
δέ τις καὶ μαχαίρᾳ τοῦ ἐναντίου ἐφικέσθαι ἠδυνήθη,
ὑπερενεγκὼν ὑπὲρ τὸν ἔμπροσθεν τεταγμένον τὴν πλη-
γήν, καὶ πεσόντος ἡγεμόνος ἢ καὶ τρωθέντος ὡς ἀπόμα-
χον γενέσθαι, προπηδήσας ὁ πρῶτος ἐπιστάτης ἐς λοχα-
γοῦ τάξιν τε καὶ ἀξίωσιν κατέστη, καὶ ἀρραγῆ τὴν πᾶσαν
5 φάλαγγα παρέσχετο. τὸ δὲ τρίτον καὶ τέταρτον ζυγὸν

Arr. 12, 1. 2 cf. Urb. 3, p. 468, 3—8

Arr. 12, 1—5 cf. Ael. 13, 1—5; Ascl. 3, 5. 6

---

3 ἀμαξίους F, corr. margo Big. ἀμαξαίους Urb. 3. 4 κατακυλιομένους Urb. (et margo Big.) κατακλειομένους F 6 κατὰ πόλεμον Urb. (et margo Big.) καταπολέμων F 9. 10 αὖ τοῦτο del. Herch., ego delevi [ἡ τομὴ τοῦ σιδήρου] 10 οὕτω] ταὐτὸ τοῦτο Herch., qui post σίδηρος delet τὸ αὐτὸ 13 τέμνοντι Scheff.
25 τρίτον καὶ τέταρτον] γ' καὶ α' F γ' καὶ δ' Scheff. fortasse ζυγὸν <καὶ τὰ ἑξῆς>, cf. Ael. 13, 5 τὸ δὲ τρίτον ζυγὸν καὶ τὰ ἑξῆς

κατὰ λόγον ἤδη τῆς ἀπὸ τοῦ πρώτου ἀποστάσεως ἐπιλε-
γομένους τακτέον. ταύτῃ τοι καὶ ἡ Μακεδονικὴ ⟨φάλαγξ⟩ 6(14K)
φοβερὰ τοῖς πολεμίοις οὐκ ἐν τῷ ἔργῳ μόνον ἀλλὰ καὶ
ἐν τῇ ὄψει ἐφαίνετο. ἀνὴρ γὰρ ὁπλίτης εἱστήκει αὐτοῖς
κατὰ πύκνωσιν ἐν δύο πήχεσι μάλιστα, τὸ δὲ μέγεθος 7
τῶν σαρισῶν πόδας ἐπεῖχεν ἑκκαίδεκα. καὶ τούτων οἱ
μὲν τέσσαρες ⟨ἐς⟩ τὴν χεῖρά τε τοῦ κατέχοντος καὶ τὸ
ἄλλο σῶμα ἀπετείνοντο, οἱ δώδεκα δὲ προεῖχον πρὸ τῶν
σωμάτων ἑκάστου τῶν πρωτοστατῶν. οἱ δ' ἐν τῷ δευ- 8
τέρῳ ζυγῷ ὑποβεβηκότες ἐκείνων ποσὶ δυσὶ τὴν σάρισαν
αὖ εἶχον προβεβλημένην ὑπὲρ τοὺς πρωτοστάτας ἐς δέκα
πόδας, οἱ δ' ἐν τῷ τρίτῳ ἔτι καὶ οὗτοι ὑπεραίρουσαν 9
ὑπὲρ τοὺς πρωτοστάτας πόδας ὀκτώ. καὶ ἔτι οἱ ἐν τῷ
τετάρτῳ ἐς ἕξ, καὶ ἔτι οἱ ἐν τῷ πέμπτῳ τέσσαρας, οἱ δ'
ἐν τῷ ἕκτῳ ἐς δύο. καθ' ἕκαστον οὖν τῶν πρωτοστατῶν 10
ἓξ σάρισαι προβεβλημέναι ἦσαν, ἐν κύκλῳ ἐφεξῆς ὑπο-
βαίνουσαι, ὥστε ἕκαστον ὁπλίτην ἓξ σαρίσαις πεφράχθαι
καὶ ἓξ δυνάμεσιν ἐπερείδειν ὅποι ἐπιβρίσειαν. καὶ οἱ τῷ
ἕκτῳ δ' ἐφεστηκότες εἰ μὴ καὶ αὐταῖς ταῖς σαρίσαις τῷ
γε βάρει τῶν σωμάτων ξυνεπήρειδον τοῖς πρὸ σφῶν
τεταγμένοις, ὡς τήν τε ἐμβολὴν τὴν ἐς τοὺς πολεμίους
τῆς φάλαγγος οὐ φορητὴν γίγνεσθαι καὶ τοῖς πρωτο-

Arr. 12, 6ᵃ cf. Polyb. XXIX 17, 1; Appian. Syr. 19 in.
Arr. 12, 6—10 cf. Ael. 14, 1—6; Ascl. 5

---

2 ⟨φάλαγξ⟩ add. Scheff. 4 ἐν del. Krüger ad Arr. Anab. III 14, 3 6 πόδας Arrianus in describenda sarissae longitudine de suo posuit, cum Aelianus 14, 2 secutus Polybium XVIII 29 (12), 2 sq. πήχεις recte habeat, cf. Kromayer, Herm. 35 (1900), p. 223 7 ⟨ἐς⟩ add. Köchly ⟨διὰ⟩ Herch., qui vs. 8 ἀπεγίγνοντο pro ἀπετείνοντο scripsit; cf. Xen. Anab. I 8, 10 10 ποσὶ Arrianus hoc loco male pro πήχεσι, cf. vs. 5 et vide ad vs. 6 13 ⟨ἐς⟩ πόδας Herch. 14 ⟨ἐς⟩ τέσσαρας Müll. 18 ἓξ δυνάμεσιν scripsi ταῖς δυνάμεσιν F, cf. Ael. 14, 5 τοῦ ἀνδρὸς πέντε σαρίσαις πεφραγμένου καὶ πέντε δυνάμεσιν ἐπερειδομένου 19 μὴ καὶ] καὶ μὴ Herch. 20 γε Herch. τε F ξυνεπέρειδον F, corr. Eberh. πρὸ Blanc. πρὸς F

11 στάταις αὖ ἄπορον τὴν φυγήν. τοὺς δὲ οὐραγοὺς οὐ κατ' ἀλκὴν ὡς κατὰ σύνεσιν καὶ ἐμπειρίαν τῶν πολεμικῶν ἐπιλέκτους χρὴ εἶναι, ὡς ἐπιμελεῖσθαι τοῦ στοιχεῖν τὰ ζυγὰ καὶ τοῖς ἐθελοκακοῦσι μὴ ἐφιέναι ἀποδιδράσκειν ἔξω τῆς τάξεως. ὅπου τε συνασπισμοῦ δεήσειεν, οὗτός ἐστιν ὁ μάλιστα ἐς πυκνότητα τοὺς πρὸ ἑαυτοῦ τεταγμένους ξυνάγων, ὃ τὴν πᾶσαν ἰσχὺν τῷ συντάγματι τούτῳ παρέχεται.

(15K)13 τούς γε μὴν ψιλοὺς ἄλλοτε ἄλλῃ τακτέον· ἄλλοτε γὰρ ἄλλῃ καὶ ὠφέλιμοι γίγνονται τεταγμένοι, ὅπως ἂν ἢ τὰ τῆς χώρας ἔχῃ, ἵνα ἡ παράταξις γίγνεται, ἢ τῶν πολε-
2 μίων ἡ παρασκευή, πρὸς οὕστινας ἀντιταττόμεθα. ποτὲ μὲν γὰρ προτετάχθαι δεήσει τῆς φάλαγγος, ἄλλοτε δὲ ἐν τοῖς δεξιοῖς νῦν δὲ ἐν τοῖς εὐωνύμοις τετάχθαι· τὸ πολὺ δὲ καὶ κατόπιν τῶν ὁπλιτῶν ἱστάμενοι ὠφελοῦσιν· ἤδη δὲ καὶ ἐς λόχους καταχωρισθέντων τῶν πεζῶν, λόχοι ἐνεβλήθησαν ἐναλλὰξ τῶν ψιλῶν.

14 τὸν δὲ ἀριθμὸν τάξεώς τε ἑκάστης καὶ τὰ ὀνόματα
2 αὐτῆς τε καὶ τῶν ἡγουμένων ἤδη λεκτέον. πρῶτα μὲν δὴ ἐπὶ τῶν πεζῶν ἡμίσεας τοὺς ψιλούς φαμεν χρῆναι ἔχειν, εἰ σύμμετροι ἔσονται πρὸς τὸ ἔργον, καὶ τοὺς λόχους αὐτῶν οὐχὶ ἑκκαίδεκα ἀνδρῶν χρὴ εἶναι ἀλλὰ ὀκτώ, ὥστε τοὺς χιλίους καὶ τέσσαρας καὶ εἴκοσι λόχους τὸν

Arr. 12, 11 cf. Urb. 3, p. 468, 8—11 Arr. 14, 1. 2 cf. Urb. 4, p. 468, 12—21

Arr. 12, 11 cf. Ael. 14. 8. 9; Ascl. 3, 6 Arr. 13, 1. 2 cf. Ael. 15, 1; Ascl. 6, 1 Arr. 14, 1—6 cf. Ael. 15, 2; 16, 2—4; Ascl. 6, 2. 3

---

1 αὖ Eberh. αὐτῶν F, om. Ael. 14, 6 οὐ] οὐ<χ οὕτω τι> Herch. coll. Tact. 33, 2; Anab. I 8, 8; V 21, 3 2 ἐμπορείαν F, corr. Scheff. 7 ὃ Köchly ὅς F, cf. Ael. 14, 9 τοῦτο γάρ ἐστι τὸ τὴν ἰσχὺν τῷ τάγματι παρεχόμενον 9 τούς γε Müll. τούστε F ψιλοὺς ἄλλοτε Köchly ψιλοὺς ἄλλους F 10 καὶ del. Herch. 17 παρενεβλήθησαν Herch. φίλων F, corr. Scheff.; verba τῶν ψιλῶν post vocem λόχοι posuit Herch.

ἥμισυν ἀριθμὸν ἐκπιμπλάναι τῆς πεζικῆς φάλαγγος, καὶ
εἶναι ἀνδρῶν ὀκτακισχιλίων καὶ ἑκατὸν καὶ δυοῖν ἐπὶ
τοῖς ἐνενήκοντα. ὀνόματα δὲ αὐτῶν καὶ τάξεις αἵδε εἰσίν. 3 (16 K)
οἱ τέσσαρες λόχοι τῶν ψιλῶν καλοῦνται σύστασις, καὶ
εἰσὶν ἐξ ἀνδρῶν δύο καὶ τριάκοντα· αἱ δὲ δύο συστάσεις
πεντηκονταρχία, τεσσάρων καὶ ἑξήκοντα ἀνδρῶν· αἱ
δὲ δύο πεντηκονταρχίαι ἑκατονταρχία ὀκτὼ καὶ εἴκοσι
ἀνδρῶν καὶ ἑκατόν. καθ' ἑκάστην δὲ ἑκατονταρχίαν ἔκ- 4
τακτοι ἄνδρες τέσσαρες ἔστων, σημειοφόρος καὶ σαλ-
πιγκτὴς καὶ ὑπηρέτης καὶ στρατοκήρυξ. αἱ δὲ δύο
ἑκατονταρχίαι εἰσὶ μὲν ἀνδρῶν ἓξ καὶ πεντήκοντα
καὶ διακοσίων, καλεῖται δὲ τὸ σύνταγμα ψιλαγία· αἱ
δὲ δύο ψιλαγίαι ξεναγία, δώδεκα ἀνδρῶν καὶ πεντακο-
σίων. αἱ δὲ δύο ξεναγίαι, ἀνδρῶν τεσσάρων καὶ εἴκοσι 5
καὶ χιλίων, σύστρεμμα καλεῖται. τὰ δὲ δύο συστρέμ-
ματα ἐπιξεναγία ὀνομάζεται, ὀκτὼ καὶ τεσσαράκοντα
ἀνδρῶν καὶ δισχιλίων· αἱ δὲ δύο ἐπιξεναγίαι στῖφος,
ἓξ καὶ ἐνενήκοντα ἀνδρῶν καὶ τετρακισχιλίων. τὰ δὲ δὴ
δύο στίφη ἐπίταγμα ὀνομάζουσι, λόχων μὲν τεσσάρων
καὶ εἴκοσι καὶ χιλίων, ἀνδρῶν δὲ ὀκτακισχιλίων ἑκατὸν
ἐνενήκοντα δυοῖν ἐπόντοιν. δεῖ δὲ καὶ τούτοις συντε- 6
τάχθαι ἄνδρας ὀκτὼ ἐπιλέκτους, ὧν τέσσαρες μὲν ἔσον-
ται ἐπιξεναγοί, τέσσαρες δὲ συστρεμματάρχαι.

ὠφέλιμοι δ' ἐν μάχῃ τοξόται τε καὶ ἀκοντισταὶ 15 (17 K)
καὶ σφενδονῆται καὶ πάντες ὅσοι ἐκηβόλοις ὅπλοις
διαχρῶνται, πολλαχῇ· καὶ γὰρ ὅπλα συντρῖψαι τῶν πολε- 2
μίων ἱκανοί, μάλιστα δὲ οἱ τοῖς λίθοις ἀκροβολιζόμενοι,

Arr. 14, 3—6 cf. Urb. 4, p. 468, 22—35; gl. mil. 30

Arr. 15 cf. Ael. 17; Ascl. 7, 1

---

1 ἥμισυ F, corr. Müll. 2. 21 δύο F, corr. Herch. 4 συστά-σεις F, corr. Scheff. ex Ael. 16, 1 5 ἐξ del. Herch., cf. p. 138, 21
8. 9 ἔκτακτοι Scheff. ἔκτατοι F (etiam Ael. 9, 4 ἐκλεκτοὶ Ael. 16, 2) cum gl. mil. codice Coisliniano et editione Vascosani

καὶ τραύματα ἐκ μακροῦ ἐμβαλεῖν, εἰ δὲ βιαιοτέρα πληγὴ
3 γένοιτο, καὶ κατακτανεῖν. χρήσιμοι δ' ἐκκαλέσασθαι ἐκ χωρίου ὀχυροῦ πολεμίους τῷ διὰ μακροῦ τὰ βέλη ἀφιέντες ἐλπίδα παρέχειν ὅτι ἐπιόντας οὐκ ἂν δέξαιντο.
4 χρήσιμοι δὲ καὶ φάλαγγα τεταγμένην διαλῦσαι καὶ ἵππον ἐπιφερομένην ἀναστεῖλαι καὶ χωρία ὑπερδέξια καταλαβέσθαι τῷ τε ταχεῖς εἶναι διὰ κουφότητα καὶ τῷ, εἰ καταλάβοιεν, τῇ συνεχείᾳ τοῦ ἀκροβολισμοῦ μηδένα πελά-
5 σαι αὐτοῖς ἄνευ πολλῶν τραυμάτων. χρήσιμοι δὲ καὶ ἀποκρούσασθαι ἀπὸ χωρίου τοὺς κατειληφότας, οὐχ ὑπομένοντας τὰ τραύματα, ἐπιτήδειοι δὲ καὶ τὰ ὕποπτα χωρία διερευνήσασθαι, ὠφέλιμοι δὲ καὶ ἐς ἐνέδραν ἐγκαθέξεσθαι, ἐνί τε λόγῳ καὶ προαγωνίζεσθαι τῶν πεζῶν ἀγαθοὶ [δὲ] καὶ συναγωνίζεσθαι ὠφέλιμοι καὶ ἐπιμαχόμενοι ἱκανοὶ τελέαν τὴν ἧτταν τοῖς βαρβάροις τοῖς πρὸς τῶν πεζῶν τραπεῖσι καταστῆσαι.

(18 K) 16 τῶν δὲ δὴ ἱππέων ποικίλαι καὶ πολυειδεῖς αἱ τάξεις, αἳ μὲν *τετράγωνοι*, αἳ δὲ *ἑτερομήκεις*, αἳ δὲ *ῥομ-*
2 *βοειδεῖς*, αἳ δὲ ἐς *ἔμβολον* ξυνηγμέναι. ἀγαθαὶ δὲ ξύμπασαι αὗται αἱ τάξεις ἐν καιρῷ ταττόμεναι, καὶ μίαν οὐκ ἄν τις ἐπιλεξάμενος αὐτῶν προκρίνειεν τῶν ἄλλων, ὅτι ἐν ἄλλῳ χωρίῳ καὶ πρὸς ἄλλους πολεμίους καὶ ἐν καιρῷ ἄλλῳ εὕροι ἂν τῆς προκριθείσης ἄλλην ὠφελιμωτέραν.
3 τῇ μὲν δὴ *ῥομβοειδεῖ* τάξει τὸ πολὺ Θεσσαλοὶ ἐχρήσαντο, καὶ Ἰάσων, ὡς λόγος, ὁ Θετταλὸς τὸ σχῆμα τοῦτο

Arr. 16, 1—5 cf. Ael. 18, 1—3; Ascl. 7, 2

---

2 κατακανεῖν Herch.; cf. Tact. 43, 3; κατακανεῖν Cyneg. 25, 2 i. f. 3. 4 ἐφιέντες F, corr. Eberh. 8. 9 ἀπελάσαι F, corr. margo Big. 13. 14 προαγωνίσασθαι et συναγωνίσασθαι Herch.; cf. Ael. 17, 1 προαγωνιζόμενοι καὶ συναγωνιζόμενοι 14 [δὲ] del. Müll., post συναγωνίζεσθαι posuit Köchly 15 τοῖς βαρβάροις — 16 τραπεῖσι Köchly τῆς πρὸς τοὺς βαρβάρους τῶν πεζῶν τραπεῖσι F τοῖς pro τῆς iam margo Big. 19 ἐμβολὴν F, corr. Köchly ἐμβολοειδεῖς Ael. 18, 1 23 ἄλλην Müll. ἀλλήλων F 25 Ἰάσων Köchly ex Ael. 18, 2 εἰλεῶν F, vetus mendum, cf.

πρῶτος ἐξεῦρεν, ἐμοὶ δὲ δοκεῖν, προεξευρημένῳ πολλῷ
χρησάμενος ἀπ' αὐτοῦ εὐδοκίμησεν. καὶ ἔστιν ἐς πᾶσάν 4
τε μεταβολὴν ἁρμοδιώτατον καὶ πρὸς τὸ ἥκιστα κατὰ
νώτου ἢ πλαγίους ἁλίσκεσθαι ἀσφαλέστερον. κατὰ μὲν 5
γὰρ τὰς γωνίας τοῦ ῥόμβου τοὺς ἡγεμόνας τεταγμένους
ἔχει, ἐπὶ μὲν τῆς ἔμπροσθεν τὸν ἰλάρχην, ἐπὶ δὲ τῆς
δεξιᾶς καὶ εὐωνύμου τοὺς καλουμένους πλαγιοφύλακας,
ἐπὶ δὲ τῆς ὑπολοίπου τὸν οὐραγόν, κατὰ δὲ τὰς πλευρὰς
τοῦ ῥόμβου τοὺς ἀρίστους τῶν ἱππέων, ὡς καὶ τούτους
ἐν ταῖς μάχαις μεγάλα ἐπωφελεῖν. ταῖς δὲ δὴ ἐμβο- 6
λοειδέσι τάξεσι Σκύθας κεχρῆσθαι μάλιστα ἀκούομεν,
καὶ Θρᾷκας, ἀπὸ Σκυθῶν μαθόντας. Φίλιππος δὲ ὁ Μα-
κεδὼν καὶ Μακεδόνας ταύτῃ τῇ τάξει χρῆσθαι ἐπήσκη-
σεν. ὠφέλιμος δὲ καὶ αὕτη δοκεῖ ἡ τάξις, ὅτι ἐν κύκλῳ 7
οἱ ἡγεμόνες τεταγμένοι εἰσί, καὶ τὸ μέτωπον ἐς ὀξὺ ἀπο-
λῆγον εὐπετῶς πᾶσαν τάξιν πολεμίαν διακόπτειν παρέ-
χει, καὶ τὰς ἐπιστροφάς τε καὶ ἀναστροφὰς ὀξείας ποι-
εῖσθαι δίδωσιν. αἱ γὰρ τετράγωνοι τάξεις δυσπεριάγωγοί 8
εἰσιν· ἡ δ' εἰς ὀξὺ προηγμένη, εἰ καὶ προϊοῦσα ἐς βάθος
προχωρεῖ, ἀλλ' αὐτῇ γε τῇ ἀρχῇ δι' ὀλίγου ἐπιστρέφουσα
τὴν πᾶσαν τάξιν εὐμαρῶς ἐξελισσομένην παρέχεται. ταῖς 9
δὲ δὴ τετραγώνοις τάξεσι Πέρσαι μάλιστα ἐχρήσαντο,
καὶ οἱ ἐν Σικελίᾳ βάρβαροι καὶ τῶν Ἑλλήνων οἱ πλεῖ-
στοι καὶ ἱππικώτατοι· εὐσύντακτός τε γὰρ ἥδε ἡ τάξις 10
ἄλλης μᾶλλον, ἅτε καὶ κατὰ στίχον καὶ κατὰ ζυγὸν τε-

Arr. 16, 6—8 cf. Ael. 18, 4; Ascl. 7, 3ᵃ Arr. 16, 9—14 cf. Ael. 18, 5—8; Ascl. 7, 4ᵃ

---

additamenta Byzantina ad Aelianum 43, 1; 45, 1 (Griech. Kriegsschr. II 1, p. 537, 539)

1 *δοκεῖ* F, corr. Müll. 4 *ἀσφαλέστερα* F, corr. Scheff. *ἀσφαλέστατον* Köchly 9 *ὡς* — 10 *ἐπωφελεῖν* del. Herch., non habet Ael. 18, 3 i. f. 20 *γε* Müll. *τε* F 25 *στίχον* Köchly ex Ael. 18, 5 *στοῖχον* F; cf. *στίχος* Tact. 6, 1. 4. 6; 7, 1; 17, 2; 24, 1; *στοῖχος* in Tacticae parte altera (cf. Praef. § 11 in.) 36, 2; 40, 6; 42, 5

ταγμένων, καὶ τὰς ἐπελάσεις τε καὶ ἀπελάσεις εὐμαρεστέρας παρέχεται, καὶ μόνον τούτων πάντες οἱ ἡγεμόνες
11 ἀθρόοι ἐμπίπτουσι τοῖς πολεμίοις. ἄρισται δέ εἰσιν αἱ διπλασίονα τὸν ἀριθμὸν ἐν τῷ μήκει ἤπερ ἐν τῷ βάθει ἔχουσαι· οἷον εἰ ἐπὶ δέκα κατὰ μέτωπον τεταγμένοι εἶεν καὶ ἐπὶ πέντε εἰς τὸ βάθος, ἢ ἐπὶ εἴκοσι μὲν κατὰ μέτ-
12 ωπον, ἐπὶ δέκα δ' ἐς βάθος. αἱ γὰρ τοιαῦται τάξεις τῷ μὲν ἀριθμῷ ἑτερομήκεις εἰσί, τῷ δὲ σχήματι ἐς τετράγωνον καθίστανται. τὸ γὰρ τοῦ ἵππου μῆκος ἀπὸ κεφαλῆς ἐπ' οὐρὰν ἐκπίπλησι τοῦ τετραγώνου ὅ τι περ ἐς βάθος τῷ ἀριθμῷ ἐνδέον· ὥστε ἤδη τινὲς καὶ τριπλασίονα τὸν ἀριθμὸν τῶν ἐν τῷ μήκει ταττομένων ἐποίησαν πρὸς τὸ βάθος, οὕτως οἰόμενοι ἐς ἀκριβὲς τετράγωνον καταστήσειν τὸ σχῆμα, ὡς τριπλάσιον τὸ μῆκος τοῦ ἵππου ὑπὲρ τὸ πλάτος τοῦ ἀνθρώπου τὸ κατὰ τοὺς ὤμους ἐπέχον, ὥστε ἐννέα κατὰ μῆκος ἐν τῷ μετώπῳ τάττοντες
13 τρεῖς ἐν τῷ βάθει ἐπέταττον. ἐπεὶ οὐδ' ἐκεῖνο χρὴ ἀγνοεῖν, ὅτι οἱ ἐς βάθος ἐπιτεταγμένοι ἱππεῖς οὐ τὴν ἴσην ὠφέλειαν παρέχουσιν, ἥνπερ τὸ ἐπὶ τῶν πεζῶν βάθος· οὔτε γὰρ ἐπωθοῦσι τοὺς πρὸ σφῶν, διὰ τὸ μὴ δύνασθαι ἐπερείδειν ἵππον ἵππῳ, καθάπερ ἐκεῖ κατὰ τοὺς ὤμους
14 καὶ τὰς πλευρὰς αἱ ἐνερείσεις γίγνονται τῶν πεζῶν, οὔτε συνεχεῖς γιγνόμενοι τοῖς πρὸ σφῶν τεταγμένοις ἕν τι βάρος τοῦ παντὸς πλήθους ἀποτελοῦσιν, ἀλλ' εἰ ξυνερείδοιεν καὶ πυκνοῖντο, ἐκταράσσουσι μᾶλλον τοὺς ἵππους.
(19K)17 ὁ δὲ ῥόμβος ὧδε ἔχει. ὁ μὲν εἰλάρχης πρῶτος τάτ-

Arr. 17, 1 cf. Ael. 19, 1; Ascl. 7, 5

---

2 μόνον τούτων πάντες scripsi μόνων τούτων πάντων F μόνον ἐν ταύτῃ πάντες Köchly μόνον οὕτω πάντες Eberh.; cf. Ael. 18, 5 τήν τε γὰρ σύνταξιν εὐχερεστέραν ἔχειν κατά τε στίχον καὶ κατὰ ζυγὸν τεταγμένων ⟨καὶ μόνον⟩ τούτων πάντας τοὺς ἡγεμόνας ἀθρόως ἐμπίπτειν τοῖς πολεμίοις, ubi ⟨καὶ μόνον⟩ inserui ex Arriano 5 τεταγμέναι F, corr. Blanc. 10 ἐκπίμπλησι Müll.; cf. ad p. 12, 3

*τεται, οἱ δ' ἐφ' ἑκάτερα αὐτοῦ ἱππῆς οὐκ ἐξ ἴσου αὐτῷ
στοιχοῦσιν, ἀλλὰ ἐς τοσόνδε ὑποβεβηκότες ὡς τὰς κεφα-
λὰς ⟨τῶν ἵππων⟩ κατὰ τοὺς ὤμους μάλιστα τοῦ ἵππου
τετάχθαι, ὅτῳ ὁ εἰλάρχης ἐποχεῖται. καὶ οὕτω τοὺς ἐφε-* 2
*ξῆς στίχους πλατύνοντες ἔστε ἐπὶ τὸ ἥμισυ τοῦ παντός,
ἐνθένδε αὖ κατὰ ταὐτὰ ἐς στενὸν ξυνάγοντες τὸν ῥόμβον
ἐκπληροῦσι. τὸ δὲ ἥμισυ τοῦ ῥόμβου ἔμβολόν ἐστιν,* 3
*ὥστ' ἐν ταὐτῷ δεδήλωταί μοι καὶ τοῦ ἐμβόλου τὸ
σχῆμα. ἑτερομήκης δ' ἐστὶν τάξις ἡ τὸ βάθος τοῦ με-
τώπου μεῖζον ἔχουσα ἢ τοῦ βάθους τὸ μέτωπον, ἥπερ
ἀμείνων τῆς προτέρας εἰς τοὺς ἀγῶνας, εἰ μή που ἐκπε-
σεῖν διὰ πολεμίας τάξεως ἐθέλοιμεν — τότε γὰρ ἡ βα-* 4
*θυτάτη τε καὶ κατὰ μέτωπον στενοτάτη τάξις αὕτη ἂν
εἴη ὠφελιμωτάτη —, ἢ εἴ ποτε ἀποκρύψαι δέοι τῶν ἱπ-
πέων τὸ πλῆθος, ὡς προκαλέσασθαι τοὺς πολεμίους ἐς
θάρσος ἀξύμφορον. ἡ δ' ἐφ' ἕνα ἐπὶ μετώπου ἀβαθὴς* 5
*τάξις ἐς λεηλασίας ἀνυπόπτους ἐπιτήδειος, ἢ ⟨εἴ⟩ που
καταπατῆσαί τι ἢ ἀφανίσαι ἐθέλοιμεν· ἐς δὲ τοὺς ἀγῶ-
νας τὸ πολὺ ἀξύμφορος.*

εἰ τοίνυν ⟨ὁ⟩ ἀριθμὸς εἴη τῶν ἱππέων ἐς ὅσον ὑπε- 18(20K)
*θέμεθα ἀποδέων τῶν τε ὁπλιτῶν καὶ τοῦ τῶν ψιλῶν
πλήθους, εἴη ἂν ἐς τετρακισχιλίους καὶ ἓξ καὶ ἐνενήκοντα*

Arr. 17, 3ᵃ cf. gl. mil. 31   Arr. 18 cf. Urb. 5, p. 469, 1—15

Arr. 17, 3ᵃ cf. Ael. 19, 5; Ascl. 7, 3   Arr. 18 cf. Ael. 20; Ascl. 7, 10. 11

---

2 *στοιχοῦσιν*] *ζυγοῦσιν* Scheff. ex Ael. 19, 1 *τῷ εἰλάρχῃ ζυγεῖν ὀφείλουσιν*, Arrianum corrigens *ὑποβεβληκότες* F, corr. Köchly, cf. Ael. 19, 1 *ὑποβεβηκέναι* *ὡς*] *ὥστε* Herch.; cf. ad p. 59, 28
3 ⟨*τῶν ἵππων*⟩ add. Herch. 11. 12 *διεκπεσεῖν* Herch. 13 *αὕτη* del. Herch. 15 *προσκαλέσασθαι* F, corr. Müll. 16 *ἐφ' ἑνὸς* Herch.; cf. Ac. 2; Helb. p. 67 17 ⟨*εἴ*⟩ add. Köchly 20 ⟨*ὁ*⟩ add. Herch. 20. 21 *ὑπεθέμεθα*] Tact. 9, 5
21 *ἀποδέων τῶν* scripsi *ἀποδεόντων* F *ἀποδεόντων* ⟨*τῶν*⟩ Müll. *τοῦ τῶν* Köchly *τούτων* F

2 ἱππέας. εἴλην δ' ἑκάστην ἐποίουν ἐκ τοσοῦδε ἀριθμοῦ
ἑξήκοντα καὶ τεσσάρων ἱππέων, καὶ ειλάρχας τοὺς ἐφ'
ἑκάστῃ εἴλῃ τεταγμένους. αἱ δὲ δύο εἶλαι ἐπειλαρχία
αὐτοῖς ὠνομάζετο, καὶ ἦν ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατὸν ἱπ-
3 πέων· αἱ δὲ δύο ἐπειλαρχίαι ταραντιναρχία, ἓξ καὶ
πεντήκοντα ἱππέων ἐπὶ τοῖς διακοσίοις· αἱ δὲ δύο τα-
ραντιναρχίαι ἱππαρχία, δώδεκα καὶ πεντακοσίων ἱππέων,
4 ἥντινα Ῥωμαῖοι εἴλην καλοῦσιν· αἱ δὲ δύο ἱππαρχίαι
ἐφιππαρχία, τεσσάρων καὶ εἴκοσι ἀνδρῶν καὶ χιλίων·
τέλος δὲ αἱ δύο ἐφιππαρχίαι, ὀκτὼ καὶ τεσσαράκοντα καὶ
δισχιλίων· τὰ δὲ δύο τέλη ἐπίταγμα ἤδη ὠνόμαζον, ἓξ
καὶ ἐνενήκοντα καὶ τετρακισχιλίων.

(22K)19 τὸ δὲ τῶν ἁρμάτων καὶ ἐλεφάντων τάς τε τά-
ξεις καὶ τὰ ὀνόματα τῶν τάξεων καὶ τὰς ἡγεμο-
νίας καὶ τὰ τούτων αὖ ὀνόματα ἐπεξιέναι ματαίου
πόνου εἶναί μοι ἔδοξεν, ὅτι ἐκλελειμμένα ἐκ παλαιοῦ ἤδη
2 λέξειν ἔμελλον. Ῥωμαῖοι μὲν γὰρ οὐδὲ ἐπήσκησάν ποτε
τὴν ἀπὸ τῶν ἁρμάτων μάχην, οἱ βάρβαροι δὲ οἱ μὲν
Εὐρωπαῖοι οὐδὲ αὐτοὶ διεχρήσαντο ἅρμασιν, πλήν γε
δὴ οἱ ἐν ταῖς νήσοις ταῖς Βρεττανικαῖς καλουμέναις
3 ⟨τῆς⟩ ἔξω τῆς μεγάλης θαλάσσης. οὗτοι γὰρ συνωρίσιν
τὸ πολὺ ἐχρῶντο ἵππων καὶ σμικρῶν καὶ πονηρῶν, οἱ
δίφροι δὲ αὐτοῖς ἐπιτήδειοί εἰσιν ἐς τὸ ἐλαύνεσθαι κατὰ
χωρίων παντοίων καὶ τὰ ἱππάρια ἐς τὸ ταλαιπωρεῖσθαι.
4 τῶν δὲ Ἀσιανῶν πάλαι μὲν Πέρσαι ἐπήσκησαν τὴν τῶν

Arr. 18, 2—4 cf. gl. mil. 32

Arr. 19 cf. Ael. 22. 23; Ascl. 8. 9

---

1 ἐκ τοσοῦδε ἀριθμοῦ] *a tanto hoc numero profecti, secundum hunc numerum 4096 equitum*: Eberh. 3 ἐπειλαρχίαι, 5 ταραντιναρχίαι, 7 ἱππαρχίαι F, singularem ubique restituit Scheff. ex Ael. 20, 2 8 εἴλην] ἄλην Köchly 18 καὶ ⟨τῶν⟩ Herch., cf. p. 131, 22 16 ἐκλελειμμένας F, corr. Herch. 17 ωμαῖοι (sic, in initio lineae) F 21 ⟨τῆς⟩ addidi, cf. Anab. III 23, 1; Ind. 5, 2; et vide Grundm. p. 41 22 χρῶνται Herch.

δρεπανηφόρων τε ἁρμάτων καὶ καταφράκτων ἵππων δι-
φρείαν, ἀπὸ Κύρου ἀρξάμενοι, ἔτι δὲ πρὸ τούτων οἱ 5
σὺν Ἀγαμέμνονι Ἕλληνες καὶ οἱ σὺν Πριάμῳ Τρῶες τὴν
τῶν ἀφράκτων. καὶ Κυρηναῖοι δ' ἐπὶ πολὺ ἀπὸ ἁρμά-
των ἐμάχοντο. ἀλλὰ ξύμπαντα ταῦτα τὰ ἀσκήματα ἐκλέ- 6
λειπται, καὶ ἡ τῶν ἐλεφάντων δὲ χρεία ἐς τοὺς πο-
λέμους ὅτι μὴ παρ' Ἰνδοῖς τυχὸν ἢ τοῖς ἄνω Αἰθίοψιν
καὶ αὕτη ἐκλέλειπται.

νυνὶ δὲ τὰ ὀνόματα ἐπέξιμεν τῶν κινήσεων κατ' 20 (24 K)
ἰδέαν ἄλλου καὶ ἄλλου στρατοπέδου, καὶ τὸν νοῦν ἑκά-
στου τοῦ ὀνόματος. καλεῖται δὲ τὸ μέν τι κλίσις, καὶ 2
ταύτης ἰδέαι διτταί, ἡ μὲν ἐπὶ δόρυ, ἡ δ' ἐπ' ἀσπίδα·
τὸ δὲ μεταβολή, τὸ δέ τι ἐπιστροφή, καὶ ἀνα-
στροφὴ ἄλλο. καὶ περισπασμὸς δέ τι ὠνομάζετο, καὶ
ἐκπερισπασμὸς ἄλλο, καὶ στοιχεῖν καὶ ζυγεῖν, καὶ
ἐς ὀρθὸν ἀποδοῦναι ⟨καὶ ἐξελίσσειν⟩ καὶ διπλα-
σιάζειν. λέγεται δέ τις καὶ ἐπαγωγή, καὶ δεξιὰ [καὶ] 3
παραγωγὴ καὶ ἄλλη εὐώνυμος παραγωγή, καὶ πλα-
γία δὲ φάλαγξ ἐστί τις, καὶ ὀρθία φάλαγξ ἄλλη, καὶ
λοξὴ φάλαγξ, καὶ παρεμβολή, ἔτι μὴν πρόσταξις
⟨καὶ ἔνταξις⟩ καὶ ὑπόταξις.

κλίσις μὲν δή ἐστιν ἡ κατ' ἄνδρα κίνησις, καὶ τῆς 21 (25 K)
κλίσεως ἐπὶ δόρυ μὲν καλεῖται ἡ ἐπὶ ⟨τὰ⟩ δεξιά, ἵνα-

Arr. 21 cf. Urb. 6, p. 469, 16—25 Arr. 21, 1 cf. gl. mil. 33

Arr. 20 cf. Ael. 24; Ascl. 10, 1 Arr. 21, 1 cf. Ael. 25, 1; Ascl. 10, 2

---

6 ⟨ἡ⟩ ἐς Herch. 10 εἰδέαν F, corr. Scheff. 12 εἰδέαι F, corr. Müll. 13 τὸ δέ ⟨τι⟩ μεταβολή Herch. coll. Ael. 24, 2 λέγεται δέ τις καὶ μεταβολή 14 ὀνομάζεται Eberh. 16 ⟨καὶ ἐξελίσσειν⟩ add. Eberh. ex Ael. 24, 2, coll. Arr. Tact. 23. 24 17 [καὶ] del. Blanc., non habet Ael. 24, 3 20 ἔτι ⟨γε⟩ Herch. προτάξεις F, corr. Scheff. ex Ael. 24, 3; cf. Arr. Tact. 26, 5 21 ⟨καὶ ἔνταξις⟩ add. Eberh. ex Ael. 24, 3, coll. Arr. Tact. 26, 6 ὑποτάξεις F, corr. Scheff. ex Ael. 23 ἐπὶ ⟨τὰ⟩ δε-

περ τὸ δόρυ ἐστὶ τῷ ὁπλίτῃ, ἐπ' ἀσπίδα δὲ ἡ ἐπὶ τὰ
2 λαιά, ἵνα φέρει τὴν ἀσπίδα. καὶ εἰ μὲν ἁπλῆ ⟨ἡ⟩ κλίσις,
ἐς τὰ πλάγια μόνον παράγει τὴν τάξιν· εἰ δὲ διπλῆ γέ-
νοιτο, ἀποστρέφει τὴν ὄψιν ἐς τὸ κατόπιν τοῦ ὁπλίτου·
3 τουτὶ δὲ ἤδη [ἡ] μεταβολὴ καλεῖται. ἐπιστροφὴ δέ
ἐστιν, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ πα-
ραστάτην καὶ ἐπιστάτην καθάπερ ἑνὸς ἀνδρὸς σῶμα
ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ
τῷ ⟨πρώτῳ⟩ λοχαγῷ παντὸς τοῦ τάγματος περιελιχθέν-
τος, καὶ μεταλαβόντος τόπον μὲν τὸν ἔμπροσθεν, ἐπι-
φάνειαν δὲ τὴν ἐκ δεξιῶν ⟨ἢ εὐωνύμων⟩, διαμενόντων
4 ἑκάστῳ τῶν τε ἐπιστατῶν καὶ παραστατῶν. ἀναστροφὴ
δέ ἐστιν ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς ἐς τὴν προ-
τέραν χώραν. περισπασμὸς δὲ καλεῖται ἡ ἐκ δυοῖν ἐπι-
στροφῶν τοῦ τάγματος κίνησις, ὡς μεταλαβεῖν τὸν ὀπίσω
5 τόπον· ἐκπερισπασμὸς δὲ ἡ ἐκ τριῶν ἐπιστροφῶν συν-
εχῶν τοῦ παντὸς κίνησις, ὥστε μεταλαμβάνειν, εἰ μὲν

Arr. 21, 2 cf. gl. mil. 34[a] Arr. 21, 3 cf. gl. mil. 35 Arr. 21, 4. 5 cf. gl. mil. 36. 37

Arr. 21, 2 cf. Ael. 25, 2; Ascl. 10, 3 Arr. 21, 3 cf. Ael. 25, 5; Ascl. 10, 4 Arr. 21, 4 cf. Ael. 25, 7. 8; Ascl. 10, 6. 7 Arr. 21, 5 cf. Ael. 25, 9; Ascl. 10, 8

ξιά scripsi (coll. Urb. ἡ ἐπὶ τὰ δεξιὰ μέρη, gl. mil. 33 ἡ ἐπὶ τὰ δεξιὰ κλίσις), ἐν δεξιᾷ F ἐς δεξιά Blanc. ἐς ⟨τὰ⟩ δεξιά Herch. ἐπὶ δεξιά Köchly

1. 2 ταλαιά F, corr. Scheff. 2 ⟨ἡ⟩ add. Herch. 3 τάξιν] ὄψιν Scheff. 3. 4 γίνοιτο Müll. 4 τοῦ ὁπλίτου del. Herch., sed cf. Ael. 25, 2 5 [ἡ] del. Köchly, non habet Ael. 8 περὶ κέντρῳ Köchly ex Ael. 25, 5 9 ⟨πρώτῳ⟩ addidi ex Ael. 25, 5 ὡς ἂν περὶ κέντρον τὸν πρῶτον λοχαγὸν ὅλου τοῦ τάγματος περιενεχθέντος (cf. Ascl. 10, 4), om. F et gl. mil. 35, vetus igitur mendum 11 ⟨ἢ εὐωνύμων⟩ add. Köchly, om. F (etiam Ael. 25, 5) et gl. mil. 12 ἐπιστατῶν καὶ παραστατῶν F et Ael. παραστατῶν καὶ ἐπιστατῶν gl. mil. 14 δυοῖν gl. mil. 37 δυεῖν F δύο Urb. 14. 15 ἐπιστροφῶν F cum Ael. 25, 8, Urb., gl. mil. 37 ἐπιστροφαῖν Scheff.

ἐπὶ δόρυ γίγνοιτο, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν, εἰ δὲ
ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

στοιχεῖν δὲ λέγεται τὸ ἐπὶ εὐθείας εἶναι τῷ λοχαγῷ 22 (26 K)
καὶ τῷ οὐραγῷ, σῴζοντα τὰ ἴδια διαστήματα· *ζυγεῖν* δὲ
τὸ ἐπ' εὐθείας εἶναι κατὰ μῆκος ἕκαστον τῶν ἐν τῷ λόχῳ
τῷ ζυγοῦντι. συζυγοῦσι δὲ τῷ μὲν λοχαγῷ οἱ λοχαγοὶ 2
πάντες, τῷ δὲ τούτου ἐπιστάτῃ οἱ τῶν ἄλλων λοχαγῶν
ἐπιστάται, καὶ ἐφεξῆς ὡσαύτως. καὶ μὴν *ἐς ὀρθὸν* 3
ἀποδοῦναι λέγεται τὸ εἰς τὴν καθεστῶσαν ἐξ ἀρχῆς
ἐπιφάνειαν ἀποκαταστῆσαι τοὺς ὁπλίτας τὴν ὄψιν, οἷον
εἴ τις ἐπὶ τοὺς πολεμίους τετραμμένος κελευσθείη ἐπὶ
δόρυ κλῖναι, ἔπειτα αὖ παραγγελθείη αὐτῷ ἐς ὀρθὸν
ἀποκαταστῆσαι, δεήσει πάλιν αὐτὸν ἐπὶ τοὺς πολεμίους
τετράφθαι.

ἐξελιγμῶν δὲ διτταὶ ἰδέαι, ἡ μὲν *κατὰ λόχους*, ἡ 23 (27 K)
δὲ *κατὰ ζυγά*. τούτων δὲ αὖ ἑκατέρα τριχῇ νενέμηται.
ὃ μὲν γάρ τις ἐξελιγμὸς *Μακεδών*, ὃ δὲ *Λάκων*, ὃ
δὲ *Κρητικὸς* ὀνομάζεται· τὸν αὐτὸν δὲ τοῦτον καλού-
μενον εὑρίσκω καὶ *Περσικὸν* καὶ *χόριον*. *Μακεδὼν* 2

Arr. 22 cf. Urb. 6, p. 469, 25—30 Arr. 22, 3 cf. gl. mil. 38 Arr. 23, 1—4 cf. Urb. 7, p. 469, 31—p. 470, 4 Arr. 23, 1—5 cf. gl. mil. 39

Arr. 22, 1. 2 cf. Ael. 26, 1. 2; Ascl. 2, 6 Arr. 22, 3 cf. Ael. 26, 3; Ascl. 10, 12 Arr. 23, 1. 2 cf. Ael. 27, 1. 2; Ascl. 10, 13

3. 5 *εἶναι* scripsi ex Ael 26, 1 et Urb. (et ita Arr. Tact. 8, 2) *ἰέναι* F 4 *σώζοντας* Scheff., sed cf. Ael. 26, 1 i. f. *φυλάσσοντα* *ἴδια*] *ἴσα* Scheff. ex Ael. 6 *ζυγοῦντι*] *συζυγοῦντι* Eberh., sed *ζυγοῦντι* etiam Ael. 10 *ἀποκαταστῆσαι* scripsi ex Ael. 26, 3, Urb., gl. mil. 38 *καταστῆσαι* F, cf. vs. 13 et cap. 32, 1 i. f. *τοὺς ὁπλίτας* del. Herch., sed cf. Ael. 26, 3 *τὸ εἰς τὴν προκαθεστῶσαν ἀπ' ἀρχῆς τοῦ ὁπλίτου ἐπιφάνειαν ἀποκαταστῆσαι τὴν ὄψιν*; gl. mil. 38 *τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταστῆσαι ἄνδρα ἕκαστον* 17., 19 *Μακεδών* Blanc. cum Ael. 27, 1 et gl. mil. 39 *μακεδόνων* F et Urb., vetus igitur mendum; recte *μακεδὼν* F habet p. 154, 20, *μακεδόνα* p. 162, 19

*μὲν οὖν ἐστιν ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμ-
προσθεν τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας*
3 *τὴν κατόπιν· Λάκων δὲ ὁ μεταλαμβάνων τῆς φάλαγγος
τὸν ὀπίσω τόπον, καὶ ὡσαύτως ἀντὶ τῆς ἔμπροσθεν ἐπι-*
4 *φανείας τὴν κατόπιν. ὁ δὲ Κρητικός τε καὶ Περσικὸς
ὀνομαζόμενος τὸν αὐτὸν μὲν ἐπέχειν ποιεῖ τόπον τῆς
φάλαγγος τὸ πᾶν σύνταγμα, τῶν δ' ἐν τῷ μέρει ὁπλι-
τῶν ἕκαστον ἀνθ' οὗ πρότερον ἐπεῖχεν τόπου ἕτε-
ρον μεταλαμβάνειν, τὸν μὲν λοχαγὸν τὸν τοῦ οὐραγοῦ,
τὸν δὲ οὐραγὸν τὸν τοῦ λοχαγοῦ, καὶ ἀντὶ τῆς κατὰ*
5 *πρόσωπον ἐπιφανείας τὴν κατόπιν. οἱ δὲ δὴ κατὰ ζυγὰ
ἐξελιγμοὶ γίγνονται ἐπειδὰν ἀπὸ τῶν ἀποτομῶν βου-
ληθῇ τις τὰ κέρατα καθιστάναι, τὰς δὲ ἀποτομὰς ἐπὶ
τῶν κεράτων, καὶ τὸ μέσον τῆς πάσης φάλαγγος ἀποτε-
λέσαι καρτερόν· ὡσαύτως δὲ καὶ τὰ δεξιὰ ἐν τοῖς εὐω-*
6 *νύμοις καθίστησι, καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς. εἰ δὲ
μὴ παρέχοι κατὰ μείζονα μέρη τῆς φάλαγγος ἐξελιγμοὺς
ποιήσασθαι, πελαζόντων ἤδη τῶν πολεμίων, δέοι δὲ
ἐξελίξαι τὴν τάξιν, τότε δὴ κατὰ συντάγματα ἐξελίττουσι.*
(28K)24 *καὶ ὁ μὲν κατὰ στίχους ἐξελιγμὸς Μακεδὼν αὖ
καλεῖται, ἐπειδὰν ὁ λοχαγὸς μὲν μεταβάληται, οἱ δὲ
ὀπίσω ἐκ δόρατος παραπορευόμενοι ἐφεξῆς ἀλλήλων*
2 *ἱστῶνται. Λάκων δ' ἐξελιγμὸς ὀνομάζεται, ἐπειδὰν ὁ
λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος ὅλον τὸν λόχον μετ-*

Arr. 23, 3 cf. Ael. 27, 3; Ascl. 10, 14 Arr. 23, 4 cf. Ael. 27, 4; Ascl. 10, 15 Arr. 23, 5. 6 cf. Ael. 27, 5. 6; Ascl. 10, 16 Arr. 24, 1 cf. Ael. 28, 1; Ascl. 10, 13 Arr. 24, 2 cf. Ael. 28, 2; Ascl. 10, 14

---

1 *φάλαγγας* F, corr. Scheff. 3 *άκων* F in initio lineae 4 *ἔμπροσθεν* scripsi ex Ael. 27, 3 et gl. mil. 39 *πρόσθεν* F *κατὰ πρόσωπον* Herch. 12 *ἀπὸ* F cum gl. mil. codice Coisliniano et editione Vascosani *ἐπὶ* Scheff. ex Ael. 27, 5 19 *κατὰ* Köchly ex Ael. 27, 6 *καὶ τὰ* F 21 *μεταβάλληται* Scheff., sed *μεταβάληται* hic etiam Ael. 28, 1; p. 155, 3 *μεταβάλληται* F et Ael. 28, 2 24 *μεταβαλλόμενος* F *μεταβαλόμενος* Herch., sed *μεταβαλλόμενος* etiam Ael. 28, 2. 3

ἀλλάξῃ ἐς ἄλλον ἴσον τῷ πρόσθεν τόπον, οἱ δὲ λοιποὶ
ἑπόμενοι ἐφεξῆς αὐτῷ τάττωνται· ⟨ἢ⟩ ὁπόταν ὁ μὲν οὐ-
ραγὸς μεταβάλληται, ὁ δὲ ὀπίσω αὐτοῦ τεταγμένος ἐκ
δόρατος τοῦ οὐραγοῦ παραπορευόμενος ἔμπροσθεν αὐ-
τοῦ τάττηται, καὶ οἱ λοιποὶ ὡσαύτως ἄλλος πρὸς ἄλλου
ἐπιταχθεὶς τὸν λοχαγὸν αὖ πρωτοστάτην ποιήσωνται.
χόριος δ' ἐξελιγμὸς γίγνεται, ἐπειδὰν ὁ λοχαγὸς μετα- 3
βαλλόμενος ἐπὶ δόρυ προΐῃ ἐπὶ τοῦ λόχου, ἔστ' ἂν κα-
τάσχῃ τὸν τοῦ οὐραγοῦ τόπον, ὁ δὲ οὐραγὸς τὸν τοῦ
λοχαγοῦ. οὗτοι μὲν οὖν κατὰ λόχους γίγνονται· ὡσαύ- 4
τως δὲ καὶ οἱ κατὰ ζυγὰ συντελούμενοι, οὐ χαλεποὶ
γνωσθῆναι.

διπλασιασμῶν δὲ διττὰ γένη τυγχάνει ὄντα, ἤτοι 25(29K)
κατὰ ζυγὰ ἢ κατὰ βάθος. καὶ τούτων ἕκαστον ἢ τῷ
ἀριθμῷ διπλασιάζεται ἢ τῷ τόπῳ. ἀριθμῷ μέν, εἰ 2
ἀντὶ χιλίων εἴκοσι τεσσάρων τὸ μῆκος δισχιλίων τεσ-
σαράκοντα ὀκτὼ ποιήσαιμεν, τὸν τόπον τὸν αὐτὸν ἐπε-
χούσης τῆς πάσης φάλαγγος. γίγνεται δὲ τοῦτο, παρεμ- 3
βαλλόντων ἐς τὰ μεταξὺ τῶν ὁπλιτῶν τοὺς ἐν τῷ βάθει
ἐπιστάτας. καὶ οὕτω πυκνοῦται ἡμῖν τὸ μέτωπον τῆς
φάλαγγος. ἀποκαταστῆσαι δὲ ἐπειδὰν βουληθῶμεν, παρ- 4
αγγελοῦμεν ὧδε· ὁ ἐς τὸ μῆκος ἐντεταγμένος, ἐπάν-
ιθι ἐς τάξιν. εἰ δὲ καὶ τῷ τόπῳ διπλασιάσαι ἐθέλοι- 5

Arr. 25 cf. Urb. 7, p. 470, 5—7; gl. mil. 40

Arr. 24, 3. 4 cf. Ael. 28, 3. 4; Ascl. 10, 15 Arr. 25 cf. Ael. 29; Ascl. 10, 17—20

1 τόπῳ F, corr. Herch. ex Ael. 28, 2 2 ⟨ἢ⟩ add. Köchly ex Ael. 5. 6 πρὸς ἄλλου ἐπιταχθεὶς scripsi πρὸς ἄλλους ἐπιταχθεὶς F [πρὸς] ἄλλου προταχθεὶς Köchly (cf. Ael. 28, 2 πρὸ ἄλλου τάσσηται) πρὸς ἄλλου ταχθεὶς Herch. 8 προΐῃ ἐπὶ] ἐπὶ del. Scheff. προάγῃ τοῦ λόχου Ael. 28, 3 post λόχου lacunam, in qua excidisse fere quae sunt apud Ael. οἱ δὲ λοιποὶ ἐπακολουθῶσιν, statuit Köchly, Arrianum corrigens 18. 19 παρεμβαλόντων ⟨ἡμῶν⟩ Herch. 22 ἐντεταγμένος Herch. coll. p. 157, 4. 6 ἐπιτεταγμένος F

*μεν τὸ μῆκος, ὡς ἀντὶ σταδίων πέντε ἐς δέκα ἐκτεῖναι
τὴν τάξιν, τοὺς ἐκ τοῦ βάθους παρεμβληθέντας ἐς τὸ
κατὰ μῆκος μέσον τῶν ὁπλιτῶν διάστημα ⟨τοὺς μὲν ἡμί-
σεας⟩ ἐπὶ τὰ δεξιὰ κελεύσομεν ἐξελίσσεσθαι, τοὺς δὲ
λοιποὺς [καὶ] ἡμίσεας αὐτῶν ἐπὶ τὰ εὐώνυμα, ἀπὸ τῶν
πρὸς τοῖς κέρασι δευτέρων λόχων ἀρχόμενοι, καὶ οὕτω*
6 *διπλάσιον ἐφέξει χωρίον ἡ πᾶσα τάξις. ἀποκαταστῆσαι δὲ
ἐπειδὰν βουληθῶμεν, ⟨κελεύσομεν⟩ αὖ ἐξελίσσειν τοὺς
κατὰ ⟨τὰ⟩ πέρατα τεταγμένους ⟨ἐς οὕσ⟩τινας πρότερον*
7 *εἶχον τόπους. οὐ πάνυ δὲ ὠφέλιμοι οἱ διπλασιασμοὶ εγ-
γὺς ὄντων πολεμίων, ὅτι ταραχῆς τε τοῦ ἡμετέρου στρα-
τεύματος δόξαν παρέξουσιν ἐκείνοις, καὶ αὐτὸ τὸ στρά-
τευμα ἐν τῇ μετακινήσει ἀσθενέστερον ἅμα καὶ ἀτακτό-*
8 *τερον καθιστᾶσιν. ἀλλὰ τοὺς ψιλοὺς ἐπεκτείνειν ἄμεινον
καὶ τοὺς ἱππέας, ὡς τὴν ἐκ τοῦ διπλασιασμοῦ ἔκπληξιν
ἄνευ κινήσεως τῆς πεζικῆς φάλαγγος τοῖς πολεμίοις ἐμ-*
9 *ποιῆσαι. γίνεται δὲ τὸ διπλασιάζειν ἀναγκαῖον, ἢ ὑπερ-
φαλαγγῆσαι ἡμῶν θελησάντων ὑπὲρ τὸ τῶν πολεμίων*
10 *κέρας, ἢ κωλῦσαι ὑπερφαλαγγῆσαι ἐκείνους. τό βάθος
δὲ διπλασιάζεται, εἰ ὁ δεύτερος λόχος τῷ πρώτῳ ἐπι-
ταχθείη, ὥστε τὸν τοῦ δευτέρου λόχου λοχαγὸν ἐπιστά-
την τοῦ πρώτου λοχαγοῦ γενέσθαι, τὸν δ' ἐπιστάτην
τὸν πρῶτον τοῦ μὲν ἐκείνου ἐπιστάτου ἐπιστάτην γενέ-*
11 *σθαι· οὕτως γὰρ ὁ μὲν πρόσθεν πρῶτος ὢν τοῦ δευτέ-*

---

8. 4 ⟨*τοὺς μὲν ἡμίσεας*⟩ add. Köchly 5 [*καὶ*] del. Eberh., coll. p. 160, 15. 16; 184, 19. 20 *καὶ ἡμίσεας* del. Köchly 8 ⟨*κελεύσομεν*⟩ addidi e vs. 4 ⟨*παραγγελοῦμεν*⟩ add. Herch. 9 ⟨*τὰ*⟩ add. Müll. *πέρατα*] *κέρατα* Scheff. ⟨*ἐς οὕσ*⟩*τινας* Müll. *τινας* F ⟨*εἰς*⟩ *οὓς* pro *τινας* Scheff. ⟨*οὕσ*⟩*τινας* margo Big. 17 *διπλασιάζειν* ⟨*κατὰ μῆκος*⟩ Köchly coll. Ael. 29, 7 *διπλασιάζεται δὲ τὸ μῆκος τῆς φάλαγγος* 18 *ὑπὲρ* del. Herch. 23 *πρῶτον*] epistatam sc. ductoris lochi secundi; cf Ael. 29, 8 *τὸν δὲ ἐν τῷ δευτέρῳ λόχῳ δεύτερον τοῦ πρώτου λόχου τέταρτον ταγῆναι* *μὲν* del. Herch. vel vs. 21 post voces *ὥστε τὸν* ponit *ἐκείνου*] sc. ductoris secundi lochi, qui factus est epistata ductoris lochi primi

ρου λόγου δεύτερός ἐστι τοῦ πρώτου λόγου, ὁ δὲ δεύτε-
ρος ἐν τῷ δευτέρῳ τέταρτος τοῦ πρώτου, καὶ ὡσαύτως
ἐφεξῆς, ἔστ' ἂν ἅπας ὁ δεύτερος λόγος κατὰ τὸν πρῶτον
ἐπ' εὐθείας ἐναλλὰξ ἐνταχθῇ ἐς βάθος. οὕτω γάρ τοι καὶ
ὁ τέταρτος λόγος τὸν τρίτον βαθυνεῖ, συνταχθεὶς αὐτῷ,
καὶ ἁπλῶς οἱ ἄρτιοι εἰς τοὺς περιττοὺς ἐνταχθήσονται.
οὐ χαλεπὸν δὲ γνῶναι, ὅπως καὶ αὐτοῦ τοῦ κατὰ βά- 12
θος χωρίου διπλασιασμὸς ἔσται, καὶ ἡ ἀπὸ τοῦδε ἀπο-
κατάστασις.

καὶ μὴν πλαγία μὲν φάλαγξ ἐστὶν ἡ τὸ μῆκος τοῦ 26(30K)
βάθους πολλαπλάσιον ἔχουσα, ὀρθία δέ, ὅταν ἐπὶ κέρως
πορεύηται· οὕτω δὲ αὖ τὸ βάθος τοῦ μήκους πολλαπλά-
σιον παρέχεται. ὅλως τε παράμηκες μὲν τάγμα ὀνομά- 2
ζεται ὅ τι περ ἂν τὸ μῆκος ἔχῃ ἐπὶ πλεῖον τοῦ βάθους,
ὄρθιον δὲ ὅ τι περ ἂν τὸ βάθος τοῦ μήκους. λοξὴ 3
δὲ ὀνομάζεται φάλαγξ ἡ τὸ μὲν ἕτερον κέρας, ὁπό-
τερον ἂν ὁ στρατηγὸς βούληται, τοῖς πολεμίοις πελάζον
ἔχουσα καὶ αὐτῷ μόνῳ ἀγωνιζομένη, τὸ ἕτερον δὲ δι'
ὑποστολῆς σῴζουσα. παρεμβολὴν δὲ ὀνομάζουσιν, ἐπει- 4(31K)
δὰν προτεταγμένων τινῶν κατὰ διαστήματα ἐκ τῶν ἐπι-
τεταγμένων ἐγκαθιστῶνται αὐτοῖς ἄλλοι ἐπ' εὐθείας, ὡς
ἀναπληρῶσαι τὸ πρόσθεν ἀπολειπόμενον κενὸν τῆς φά-
λαγγος· πρόσταξιν δέ, ὅταν ἢ ἐξ ἑκατέρων τῶν μερῶν 5
τῆς τάξεως ἢ ἐκ θατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ
τι στῖφος τῇ πάσῃ φάλαγγι κατ' εὐθὺ τοῦ μετώπου τῆς
τάξεως. ἔνταξιν δὲ ὀνομάζουσιν, ἐπειδὰν τοὺς ψιλοὺς 6
ἐς τὰ διαστήματα τῶν πεζῶν ἐντάξωσιν, ἄνδρα παρ'

Arr. 26, 1. 2 cf. gl. mil. 41. 42 Arr. 26, 3—6 cf. gl. mil. 43—46 Arr. 26, 4—7 cf. Urb. 7, p. 470, 7—14

Arr. 26, 1—3 cf. Ael. 30; Ascl. 10, 21 Arr. 26, 4—7 cf. Ael. 31; Ascl. 6, 1

---

11 ἐπὶ κέρως Eberh. ἐπικαίρως F ἐπὶ κέρας Scheff. ex Ael. 30, 1 23 πρόσταξις F, corr. Scheff.

7 *ἄνδρα ἱστάντες· ὑπόταξιν δέ, ἐπειδὰν τοὺς ψιλοὺς ὑπὸ
τὰ πέρατα τῆς φάλαγγος ὑποτάξῃ τις ὡς ἐς ἐπικάμπιον.*
(35 K) 27 *χρὴ δὲ τὰ παραγγέλματα ἐθίζειν τὴν στρατιὰν ὀξέως
δέχεσθαι, τὰ μὲν φωνῇ, τὰ δὲ ὁρατοῖς σημείοις, τὰ δὲ τῇ*
2 *σάλπιγγι. καὶ σαφέστερα μὲν τυγχάνει ὄντα τὰ λέξει δηλούμενα, ὅτι καὶ παντὸς τοῦ νοῦ ἡ δήλωσις οὕτω γίγνεται,
οὐχὶ δὲ σύμβολόν τι αὐτοῦ μόνον ὁρᾶται ἢ ἀκούεται.*
3 *ἀλλ' ἐπειδὴ πολλὰ τὰ ἐξείργοντά ἐστιν ἐν ταῖς μάχαις
πρὸς τὰς διὰ φωνῆς δηλώσεις, ὁ κτύπος τε ὁ ἐκ τῶν
ὅπλων καὶ αἱ παρακελεύσεις ἀλλήλοις καὶ οἰμωγαὶ τιτρωσκομένων καὶ παριππασία δυνάμεως ἱππικῆς [ψόφος τε
τῶν ὅπλων] καὶ χρεμετισμὸς τῶν ἵππων καὶ ⟨θόρυβος⟩
σκευοφόρων παριόντων, προσεθιστέον τὴν στρατιὰν καὶ*
4 *τοῖς ὁρατοῖς σημείοις. οὐ μὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἤδη
ἄπορα ἔστιν ἃ γίγνεται, οἷον ὁμίχλη ἢ κονιορτὸς πολὺς
ἄνω αἰρόμενος ἢ ἥλιος κατὰ προσώπου ἀντιλάμπων ἢ
νιφετὸς ξυνεχὴς ἢ ὕδωρ λάβρον ἐξ οὐρανοῦ ἢ τόποι σύνδενδροι ἢ γήλοφοι ἀνεστηκότες, ὡς μὴ πάσῃ τῇ φάλαγγι*
5 *ὁρατὰ γίγνεσθαι τὰ σημεῖα. ὁπότε μὲν δὴ γήλοφοι διακλείοιεν τὴν ὄψιν, πλείω τὰ ὁρατὰ σημεῖα ποιητέον·*

Arr. 27 cf. Urb. 8, p. 470, 15—25

Arr. 27 cf. Ael. 35; Ascl. 12, 10

---

1 *ὑπὸ* Köchly, et ita Ael. 31, 4 et Urb. *ἐπὶ* F 2 *κέρατα* Köchly, sed *πέρατα* etiam Ael. et Urb.; cf. p. 160, 21. 161, 1. 7 3 *ἐθίζειν* scripsi ex Ael. 35, 1 et Urb. *ἐθίζεσθαι* F 7 *αὐτοῦ*] *αὐτὸ* Herch. 9 *πρὸς* del. Herch. 11 [*ψόφος* — 12 *ὅπλων*] del. Köchly *ψόφος* — 13 *παριόντων* del. Herch.; cf. Ael. 35, 3 *τά τε γὰρ διὰ τῆς φωνῆς* (sc. *μηνυόμενα*) *ἐνίοτε δυσεξάκουστα γίνεται καὶ* (*ἢ* F) *διὰ ψόφον ὅπλων καὶ δυνάμεως ἱππικῆς παριππασίαν καὶ χρεμετισμὸν ἵππων καὶ θόρυβον σκευοφόρων καὶ τοῦ πλήθους παντὸς ἦχον*; Urb. 8 p. 470, 20 *οἷον κτύπος ὅπλων, ἵππων χρεμετισμός, τῶν πληττομένων στεναγμοί, αἱ πρὸς ἀλλήλους παρακελεύσεις* 12 *χρεματισμὸς* F, corr. Scheff. ex Ael. ⟨*θόρυβος*⟩ addidi ex Ael. ⟨*ψόφος*⟩ Köchly 16 *αἰρόμενος*] *φερόμενος* Herch. 18 *ἀνθεστηκότες* Köchly 19. 20 *διακρίνοιεν* F, corr. Herch.

πρὸς δὲ τὰ ἐκ τοῦ ἀέρος ἐμπόδια ἡ σάλπιγξ ἀγαθὸν
[ὠφέλιμος].

ὑπὲρ δὲ τῶν πορειῶν, ὅσας ποιεῖται τὰ στρατόπεδα, 28 (36 K)
ἐκεῖνο χρὴ ἐνθυμεῖσθαι, ὅτι ἡ μέν τις ἐπαγωγὴ ἐν ταῖς
πορείαις ἡ δὲ παραγωγὴ καλεῖται. καὶ ἐπαγωγὴ μέν 2
ἐστιν, ἐπειδὰν τάγμα τάγματι ἐπ' εὐθὺ ἕπηται, οἷον
ἡγουμένης τετραρχίας αἱ λοιπαὶ τετραρχίαι ταύτῃ ἐπιτε-
ταγμέναι πορεύωνται, ἢ αὖ ξεναγίας ἡγουμένης αἱ λοιπαὶ
ξεναγίαι ἕπωνται, ἑνί τε λόγῳ, ἐπειδὰν τοῦ προηγουμέ-
νου τάγματος τοῖς οὐραγοῖς οἱ τοῦ ἐφεξῆς τάγματος
ἡγεμόνες συνάπτωσιν. παραγωγὴ δ' ἐστίν, ἐπειδὰν ἡ 3
φάλαγξ πᾶσα πορεύηται τοὺς ἡγεμόνας ἤτοι ἐκ τῶν
εὐωνύμων ἢ ἐκ τῶν δεξιῶν ποιησαμένη. κἂν μὲν ἐκ τῶν
εὐωνύμων ποιήσηται, εὐώνυμος παραγωγὴ καλεῖται,
ἂν δὲ ἐκ τῶν δεξιῶν, δεξιά. ὅπως δ' ἂν ἡ πορεία γί- 4
γνηται, εἴτε κατ' ἐπαγωγὴν εἴτ' ἐν παραγωγῇ, ἤτοι ἐν
μονοπλεύρῳ τῷ τάγματι ἡ στρατιὰ βαδιεῖται, ἢ ἐν
διπλεύρῳ ἢ ἐν τριπλεύρῳ ἢ ἐν τετραπλεύρῳ·
μονοπλεύρῳ μέν, ἐπειδὰν ἕνα τόπον ὕποπτον ἔχῃ ὁ 5
στρατηγός· διπλεύρῳ δέ, ἐπειδὰν δύο· τριπλεύρῳ δέ,
ἐπειδὰν τρεῖς· τετραπλεύρῳ δέ, ἐπειδὰν πάντοθεν οἱ
πολέμιοι ἐπιστήσεσθαι πιθανοὶ δοκῶσι. καὶ μὴν ποτὲ μὲν 6
μονοφαλαγγίᾳ ἡ πορεία γίγνεται, ποτὲ δὲ διφαλαγ-

Arr. 28, 2 cf. gl. mil. 47   Arr. 28, 3—5 cf. gl. mil. 48

Arr. 28 cf. Ael. 36; Ascl. 11, 1. 2

---

2 [ὠφέλιμος] del. Haase p 104; ἀγαθὸν del., ὠφέλιμος retinuit Müll. μᾶλλον (pro ἀγαθὸν) ὠφέλιμος Köchly; cf. ad p. 25, 28   3 πορίων F, corr. Scheff.   4 ἐκεῖνα F, corr. Köchly; cf. Ael. 36, 1 τοσοῦτον προεροῦμεν   8 πορεύονται F, corr. Köchly   14 ποιήσεται F, corr. Müll.   16 ἐν παραγωγῇ gl. mil. 48 et iam Scheff. ex Ael. 36, 4 ἐν ἐπαγωγῇ F   17 ἡ στρατιᾶ F, corr. Scheff.   23 μονοφαλαγγία, διφαλαγγία, p. 160, 1 τριφαλαγγία, τετραφαλαγγία F, dativos restituit Köchly ex Ael. 36, 6, praepositionem ἐν iis praeposuit Herch.

γίᾳ, καὶ οὕτως τριφαλαγγίᾳ τε καὶ τετραφαλαγγίᾳ. καὶ ταῦτα οὐ χαλεπὸν ξυμβάλλειν ἀπὸ τῶν πρόσθεν τάξεων.

(37 K)29 *ἔτι δὲ ἀμφίστομος μὲν φάλαγξ καλεῖται ἡ τοὺς*
ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ
2 *σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι· διφαλαγγία δὲ*
ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ⟨ἔχει⟩
ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους,
τοὺς μὲν ἐν δεξιᾷ τοὺς δὲ ἐν εὐωνύμῳ, ⟨τοὺς δὲ οὐρα-
γοὺς ἔσω τεταγμένους· ἀντίστομος δὲ διφαλαγγία,
ἡ τοὺς μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους,⟩ τοὺς
δὲ οὐραγοὺς ἔξω ἐστραμμένους ἐξ ἑκατέρων τῶν μερῶν
3 *ἐν παραγωγαῖς. ἑτερόστομος δὲ φάλαγξ ἐστὶν ἡ τὸ*
μὲν ἡγούμενον ἥμισυ ἐν τῇ πορείᾳ ἔχουσα ἐν εὐωνύμῳ
παραγωγῇ, τοῦτ' ἔστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου, τοῦ
δὲ λοιποῦ ἡμίσεος τῆς φάλαγγος τοὺς ἡγεμόνας ἐν δεξιᾷ
4 *παραγωγῇ. ὁμοιόστομος δ' ἐν πορείᾳ διφαλαγγία*
ἐστίν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν
αὐτῶν μερῶν ἔχει τεταγμένους, ἢ ἐκ δεξιῶν ἢ ἐκ τῶν
5 *εὐωνύμων ἑκατέρας τῆς φάλαγγος. ὅταν δὲ ἡ ἀμφίστο-*
μος διφαλαγγία τὰ μὲν ἡγούμενα πέρατα ἀλλήλοις συν-
άψῃ, τὰ δὲ ἑπόμενα διαστήσῃ, τὸ τοιοῦτον ἔμβολον κα-
6 *λεῖται. ἐπὰν δὲ ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα*

Arr. 29, 1—7 cf. gl. mil. 49—55

Arr. 29, 1—8ᵃ cf. Ael. 37; Ascl. 11, 3—6

---

1 οὕτως] ὡσαύτως Herch. 7 ⟨ἔχει⟩ add. Herch. ex Ael. 37, 2 (unde fluxit gl. mil. 50), om. F 9 δεξιᾷ ⟨παραγωγῇ⟩ Herch. ex Ael. 9—11 ⟨τοὺς δὲ — μέσους τεταγμένους⟩ add. Scheff. ex Ael., om. F 12 ἔξω] ἔξω ἔχουσα Ael. 37, 3 et gl. mil. 50 τεταγμένους Ael. et gl. mil. τετραμμένους Herch. 16 ἡμίσεως F, corr. Müll. 17 ἐν ⟨τῇ⟩ Herch. ex Ael. 37, 5, sed τῇ om. etiam gl. mil. 52 19 ἐκ ⟨τῶν⟩ δεξιῶν Herch., sed τῶν om. etiam Ael 37, 5 et gl. mil. 52 19. 20 ἐκ τῶν εὐωνύμων] ἐξ εὐωνύμων Ael. et gl. mil. 21. p. 161, 1 πέρατα F et Ael. 37, 6 κέρατα gl. mil. 53. 54 23 ⟨ἡ⟩ ἀντίστομος Herch. e gl. mil. 54 ἡ om. F et Ael. 37, 7

πέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ, τὸ τοιόνδε
κοιλέμβολον καλεῖται. πλαίσιον δὲ ὀνομάζεται ὁπό- 7
ταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἐν ἑτερομήκει
σχήματι· πλινθίον δέ, ὅταν ἐν τετραγώνῳ σχήματι 8
ταὐτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου
πλαίσιον ἰσόπλευρον καλεῖ. [ὃ] καὶ ὑπερφαλάγγησιν (38 K)
μὲν ὀνομάζουσι τὴν καθ' ἑκάτερον τὸ πέρας τῆς φάλαγ-
γος ὑπεροχὴν ὑπὲρ τοὺς πολεμίους, ὑπερκέρασιν δὲ 9
τὴν καθ' ἓν ὁπότερον οὖν κέρας. καὶ τῇ μὲν ὑπερφα-
λαγγήσει ἡ ὑπερκέρασις ἑπόμενόν ἐστιν, ἀνάπαλιν δὲ
οὔ. οὕτω τοι κέρατι μὲν ὁποτέρῳ οὖν ὑπερέχειν καὶ 10
ἐλάττονας κατὰ πλῆθος δυνατόν, καὶ ἐν ἴσῳ βάθει φυ-
λάττοντας τὴν πᾶσαν τάξιν· ὑπερφαλαγγῆσαι δὲ ἐν ἴσῳ
τῷ πλήθει ἢ καὶ μείονι, μὴ ἐπὶ λεπτὸν ἐπεκτείναντα,
οὐχ οἷόν τε.

αἱ δὲ τῶν σκευοφόρων ἀγωγαὶ ξὺν ἡγεμόνι γι- 30 (39 K)
γνέσθωσαν. τρόποι δὲ αὐτῶν πέντε· ἢ γὰρ ἡγεῖσθαι
αὐτὰ χρὴ τῆς στρατιᾶς σὺν οἰκείᾳ φυλακῇ, ἢ ἕπεσθαι,
ἢ ἐκ πλαγίου ἰέναι — καὶ τοῦτο διττόν· ἢ γὰρ ἐκ δε-
ξιῶν ἢ ἐξ ἀριστερῶν —, ἢ ἐντὸς τῶν ὅπλων ἄγεσθαι.
πρὸ μὲν δὴ τῆς φάλαγγος χρὴ ἄγειν τὰ σκευοφόρα, 2
ἐπειδὰν ἐκ πολεμίας ἀπάγῃς· ἑπόμενα δὲ τῇ φάλαγγι,

Arr. 29, 8ᵃ cf. gl. mil. 56 Arr. 29, 8ᵇ cf. gl. mil. 61 Arr. 29, 9ᵃ cf. gl. mil. 62 Arr. 30 cf. Urb. 11, p. 471, 17—25; Leo X 19

Arr. 29, 8ᵃ cf. Xen. Anab. III 4, 19 Arr. 29, 8ᵇ—10 cf. Ael. 38; Ascl. 10, 18 Arr. 30 cf. Ael. 39; Ascl. 11, 8

---

5 ταὐτὸ gl. mil. 56 (et Scheff.) ταυτὸν F Γρύλλου gl. mil. (et Scheff.) γρύλου F 6 πλαίσιον Blanc. διπλαίσιον F διπλάσιον gl. mil. 56 codex Coislinianus et editio Vascosani ⟨καὶ⟩ πλαίσιον Scheff. [ὃ] del. Herch. ὃ καὶ del. Köchly 10 ἑπομένη Herch., cf. ad p. 25, 28 14 ἐπὶ λεπτὸν Scheff. ἐπιλεπτὸν F 15. 16 οὐχ οἷόν τε. αἱ δὲ Köchly οὐκ οἴονται δὲ F οὐχ οἷόν τε iam margo Big.

ἐπειδὰν εἰς πολεμίαν ἐμβάλλῃς· παράγειν δὲ ὁποτέρᾳ
οὖν, ἐπειδὰν τὰ πλάγια φοβώμεθα· ἐντὸς δὲ τῆς φά-
λαγγος, ἐὰν τὰ πανταχόθεν ὕποπτα ᾖ.
(40K)31 τὰ δὲ παραγγέλματα χρὴ συντομώτατά τε ὡς οἷόν
τε καὶ σαφέστατα ποιεῖσθαι. ἔσται δὲ τοῦτο, εἰ ὅσα ἀμ-
φιβόλως δέξασθαι δυνατοὶ εἶεν οἱ στρατιῶται, ταῦτα φυ-
2 λαττοίμεθα. αὐτίκα εἰ κλῖνον λέγοις [ἐν] ᾧ προστιθείης
τὸ ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα, οἱ ὀξέως κατακούειν εἰθισ-
μένοι τῶν παραγγελμάτων ἄλλοι ἄλλο δεξάμενοι ἔπραξαν.
οὔκουν ὧδε χρὴ λέγειν κλῖνον ἐπὶ δόρυ ἢ κλῖνον
ἐπ' ἀσπίδα, ἀλλ' ἀναστρέψαντα ἐπὶ δόρυ κλῖνον ἢ
ἐπ' ἀσπίδα κλῖνον· οὕτω γὰρ ξύμπαντες τὸ αὐτὸ
3 ἀκούσονταί τε καὶ δράσουσιν. οὔκουν οὐδὲ μεταβαλοῦ
ἢ ἐξέλιξον χρὴ παραγγέλλειν· ταῦτα γὰρ τοῦ γένους
τὴν πρᾶξιν δηλοῦντα ἐπὶ διάφορα ἔργα ἄξει τοὺς ἀκούον-
τας. ἀλλὰ τὰ εἴδη γὰρ προτακτέον πρὸ τῶν γενῶν, οἷον
4 ἐπὶ δόρυ μεταβαλοῦ ἢ ἐπ' ἀσπίδα. καὶ αὖ ὧδε
ἐροῦμεν τὸν Λάκωνα ἐξέλισσε, ἢ τὸν χόριον, ἢ
⟨τὸν⟩ Μακεδόνα. εἰ δὲ μὴ προσθεὶς ὅντινα, αὐτὸ
μόνον ἐξέλισσε φαίης, ἄλλοι ἐπ' ἄλλον ἐξελιγμὸν ἥξου-
5 σιν. οὐδὲν δὲ ὡσαύτως ἀγαθὸν ἔν τε πορείαις καὶ ἐν
μάχαις ὡς σιγὴ τοῦ παντὸς στρατεύματος. καὶ τοῦτό γε
καὶ Ὅμηρος ἐν τῇ ποιήσει ἐδήλωσεν· περὶ μὲν γὰρ τῶν
ἡγεμόνων τῶν Ἑλλήνων φησὶν ὅτι

'κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων',

Arr. 31, 1—4 cf. Urb. 9, p. 470, 26—471, 4 Arr. 31, 5. 6 cf. Urb. 10, p. 471, 13—16

Arr. 31, 1—4 cf. Ael. 40; Ascl. 12, 11[a] Arr. 31, 5. 6 cf. Ael. 41 Arr. 31, 5 cf. Iliad. IV 428—431

---

1 ἐμβάλλῃς Leo (et Scheff.) ἐμβάλλῃ F παράγειν margo Big. παραγωγὴν F δὲ ⟨ἐν⟩ Herch. 7 ᾧ προστιθείης scripsi ἐν ᾧ προστιθεὶς F ἐν ᾧ προστιθείης Köchly [ἐν ᾧ] προστιθεὶς Herch. 12 οὗτοι F, corr. Blanc. 19 ⟨τὸν⟩ add. Müll. ex Ael. 40, 4 et Urb. προσθῇς F, corr. Müll.

περὶ δὲ τῆς στρατιᾶς ὅτι

'οἱ δ' ἄλλοι ἀκὴν ἴσαν (οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν)
σιγῇ δειδιότες σημάντορας.'

τῶν δὲ δὴ βαρβάρων τὴν ἀταξίαν δηλῶσαι θελήσας, κλαγγῇ καὶ ἐνοπῇ φησὶν ἰέναι τοὺς Τρῶας ἴσα καὶ ὄρνιθας. καὶ αὖ ἐν ἄλλοις ἔπεσι 6

'τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν' φησὶν 'ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων'.

καὶ ἐπεξελθὼν τῶν ὀρνίθων τὸν θόρυβον

'ὣς Τρώων ἀλαλητὸς' φησὶν 'ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς.'

ὑπὲρ δὲ τῶν Ἑλλήνων

'οἳ δ' ἄρ' ἴσαν σιγῇ' φησίν 'μένεα πνείοντες Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.'

οὕτω γὰρ οἱ μὲν ἡγεμόνες ὀξέως παραγγελοῦσιν αὐτά, ἡ δὲ στρατιὰ ὀξέως δέξεται τὰ ἐνδιδόμενα.

τὰ παραγγέλματα δὲ ἔστω τοιάδε. ἄγε εἰς τὰ ὅπλα. 32 (42 K) ⟨ὁ⟩ ὁπλοφόρος ⟨μὴ⟩ ἀπίτω ἀπὸ τῆς φάλαγγος. σίγα καὶ πρόσεχε τῷ παραγγελλομένῳ. ἄνω τὰ δόρατα. κάθες τὰ δόρατα. ὁ οὐραγὸς τὸν λόχον ἀπευθυνέτω. τήρει τὰ διαστήματα. ἐπὶ δόρυ κλῖνον. ἐπ' ἀσπίδα κλῖνον. πρόαγε. ἐχέτω οὕτως. ἐς ὀρθὸν ἀπόδος. τὸ βάθος διπλασίαζε, ἀποκατάστησον. τὸν Λάκωνα ἐξέλιττε, ἀποκατάστησον. ἐπὶ δόρυ ἐκπερίσπα, ἀποκατάστησον.

Arr. 32, 1 cf. Urb. 10, p. 471, 5—12; Leo VII 81 (88)

Arr. 31, 6 cf. Iliad. II 459 sq; IV 436 sq.; III 8 sq. Arr. 32, 1. 2 cf. Ael. 42; Ascl. 12, 11[b]

3 στήθεσσιν F, corr. Scheff. 4 δεδιότες F, corr. Scheff. 16 αὐτά del. Herch., cf. ὅσα ἂν θέλωσιν Urb. 19 ⟨ὁ⟩ add. Herch. cum Urb., om. F et Leo ⟨μὴ⟩ addidi ex Urb. et Leone, om. F 23 ἐχέτω] ἔχου Ael. 42, 1 ἔχε Leo ἔχ' Vari ad Leon.

2 τάδε μέν, ὥσπερ ἐν τέχνῃ, δι' ὀλίγων ἐδήλωσα ἱκανὰ
ὑπέρ γε τῶν πάλαι Ἑλληνικῶν καὶ τῶν Μακεδονικῶν
3 τάξεων, ὅστις μηδὲ τούτων ἀπείρως ἐθέλοι ἔχειν· ἐγὼ
δὲ τὰ ἱππικὰ γυμνάσια, ὅσα Ῥωμαῖοι ἱππῆς γυμνάζον-
ται, ἐν τῷ παρόντι ἐπεξελθών, ὅτι τὰ πεζικὰ ἔφθην δη-
λῶσαι ἐν τῇ συγγραφῇ ἥντινα ὑπὲρ αὐτοῦ τοῦ βασιλέως
συνέγραψα, τόδε μοι ἔσται τέλος τοῦ λόγου τοῦ τακ-
τικοῦ.

33 καίτοι οὐκ ἀγνοῶ χαλεπὴν ἐσομένην τὴν δήλωσιν τῶν
ὀνομάτων ἑκάστων, ὅτι οὐδὲ αὐτοῖς Ῥωμαίοις τὰ πολλὰ
τῆς πατρίου φωνῆς ἔχεται, ἀλλὰ ἔστιν ἃ τῆς Ἰβήρων ἢ
Κελτῶν, ἐπεὶ τὰ πράγματα αὐτὰ Κελτικὰ ὄντα προσέλα-
βον, εὐδοκιμήσαντος αὐτοῖς ἐν ταῖς μάχαις τοῦ Κελτῶν
2 ἱππικοῦ. εἰ γάρ τοι ἐπ' ἄλλῳ τῳ, καὶ ἐπὶ τῷδε ἄξιοι
ἐπαινεῖσθαι Ῥωμαῖοι, ὅτι οὐ τὰ οἰκεῖα καὶ πάτρια οὕτως
τι ἠγάπησαν, ὡς τὰ πανταχόθεν καλὰ ἐπιλεξάμενοι οἰκεῖα
3 σφίσιν ἐποιήσαντο. οὕτω τοι εὕροις ἂν καὶ ὁπλίσεις
τινὰς παρ' ἄλλων λαβόντας — καὶ ἤδη Ῥωμαϊκαὶ ὀνο-
μάζονται, ὅτι κράτιστα Ῥωμαῖοι αὐταῖς ἐχρήσαντο —,
καὶ γυμνάσια στρατιωτικὰ παρ' ἄλλων, καὶ θρόνους ⟨τοὺς⟩
4 τῶν ἀρχόντων καὶ ἐσθῆτα τὴν περιπόρφυρον. οἳ δὲ καὶ
θεοὺς αὐτοὺς ἄλλους παρ' ἄλλων λαβόντες ὡς οἰκείους
σέβουσιν. τὰ γοῦν ἐπ' αὐτοῖς δρώμενα εἰς τοῦτο ἔτι τὰ

---

15 sqq. cf. Posidon. fr. 59 Jac. (FGH II p. 260, 8—19) apud Athenaeum VI p. 273 E. F.; Ineditum Vaticanum ed. Arnim 3 (Hermes 27, 1892, p. 118); Diod. V 40, 1. 2; XXIII 2

---

2 καὶ τῶν] τε καὶ Herch. 3.4 ἐγὼ δὲ] hinc novum librum, Arriani sc., initium capere, quum praecedentia Aeliani essent, putavit Köchly, iniuria, vide Praef. § 11 A et cf. quae iam Scheff. adnotaverat: *docet hic locus esse scriptoris unius totum hoc opusculum et cohaerere inter se, maleque fecisse qui sequentia novo titulo* [cf. ad p. 165, 10] *ab his sejunxerunt* 5 πεζικὰ Haase p. 103 πάγῃ καὶ (spatio 7 vel 8 litterarum inter eas voces vacuo relicto) F παρ' Ἕλλησιν Müll. 7 τόδε μοι ἔσται τέλος] τέλος ποιήσομαι Herch., Arrianum corrigens 20 ⟨τοὺς⟩ add. Herch. 21 οἳ δὲ καὶ] οἳ καὶ vel ἔτι δὲ καὶ Herch.

μὲν Ἀχαιῶν νόμῳ δρᾶσθαι λέγεται, τὰ δὲ κοινῶς Ἑλλή-
νων. δρᾶται δὲ ἔστιν ἃ καὶ Φρύγια· καὶ γὰρ ἡ Ῥέα αὐ-
τοῖς ἡ Φρυγία τιμᾶται ἐκ Πεσσινοῦντος ἐλθοῦσα, καὶ
τὸ πένθος τὸ ἀμφὶ τῷ Ἄττῃ Φρύγιον ⟨ὂν⟩ ἐν Ῥώμῃ
πενθεῖται, καὶ τὸ λουτρὸν δ' ἡ Ῥέα, ἐφ' οὗ τοῦ πένθους
λήγει, τῶν Φρυγῶν νόμῳ λοῦται. καὶ μὴν τῶν νόμων, 5
οὓς ἐν ταῖς δώδεκα δέλτοις τὰ πρῶτα ἐγράψαντο, τοὺς
πολλοὺς εὕροις ἂν παρ' Ἀθηναίων λαβόντας. καὶ ταῦτα 6
πολὺ ἂν ἔργον εἴη ἐπεξιέναι, ὅπως τε ἕκαστα ἔχουσι καὶ
παρὰ τίνων προσποιηθέντα· ἐμοὶ δὲ ὑπὲρ τῶν γυμνα-
σίων τῶν ἱππικῶν ὥρα ἤδη λέγειν.

τὸ μὲν χωρίον, ἵναπερ τὰ γυμνάσια αὐτοῖς τελεῖται, 34
οὐχ ὁμαλὸν ἐπιλέγονται μόνον, ἀλλ' ἐς τοσόνδε προσ-
εξεργάζονται, ὡς σκάπτειν τε τὸ μέσον αὐτοῦ ἐς βάθος
σύμμετρον καὶ τὰς βώλους συγκόπτειν ἐς λεπτότητά τε
καὶ μαλακότητα, ἀποτεμνόμενοι τοῦ παντὸς πεδίου τὸ
πρὸ τοῦ βήματος ἐς πλαισίον ἰσοπλεύρου σχῆμα. αὐτοὶ 2
δὲ ὡπλισμένοι παριᾶσι κράνεσι μὲν σιδηροῖς ἢ χαλκοῖς
κεχρυσωμένοις, ὅσοι κατ' ἀξίωσιν αὐτῶν διαπρεπεῖς ἢ
καθ' ἱππικὴν διαφέροντες, ὡς καὶ αὐτῷ τούτῳ ἐπάγειν
ἐπὶ σφᾶς τῶν θεωμένων τὰς ὄψεις. τὰ κράνη δὲ ταῦτα 3
οὐ καθάπερ τὰ εἰς μάχην πεποιημένα πρὸ τῆς κεφαλῆς
καὶ τῶν παρειῶν προβέβληται μόνον, ἀλλὰ ἴσα πάντη
τοῖς προσώποις ποιεῖται τῶν ἱππέων, ἀνεῳγότα κατὰ τοὺς

---

21 sqq. cf. J. Curle, Journ. of Rom. Stud. 5, 1915, p. 81

---

1 κοινῷ Herch. 4 ⟨ὂν⟩ add. Herch. 5 ἀφ' οὗ Herch. 6 τῶν] τῷ Müll., del. Herch. 9 ἔχουσι Herch. ἔχῃ F 10 post προσποιηθέντα F novum titulum habet atramento rubro in duabus lineis scriptum: περὶ γυμνασίων ῥωμαϊκῶν καὶ ὅπως ἐγυμνάζοντο οἱ πάλαι ῥωμαῖοι; cf. Scheff. ad h. l.: *mihi non dubium quin hic titulus sit ab alio quam Arriano; ita namque haec cohaerent cum superioribus ut nisi per vim divelli a se nequeant* 12 χορίον F, corr. Blanc. 14 ὡς] ὥστε Herch.; cf. ad p. 59, 28 15 βόλους F, corr. margo Big. 24 πεποίηται Herch. πρόσκειται Dehn. p. 15

ὀφθαλμούς, ὅσον μὴ ἐπίπροσθεν τοῦ ὁρᾶν γιγνόμενα
4 *σκέπην ὅμως παρέχειν τῇ ὄψει. χαῖται δὲ ἀπήρτηνται*
αὐτῶν ξανθαί, οὐκ ἐπὶ χρείᾳ μᾶλλόν τι ἢ ἐς κάλλος τοῦ
ἔργου· καὶ αὗται ἐν ταῖς ἐπελάσεσιν τῶν ἵππων, εἰ καὶ
ὀλίγη πνοὴ τύχοι, καὶ ὑπὸ τῆς ὀλίγης ἡδίους φαίνονται
5 *ἀπαιωρούμεναι. καὶ θυρεοὺς δὲ φέρουσιν, οὐχ οὕσπερ εἰς*
τὰς μάχας, ἀλλὰ τῷ βάρει κουφοτέρους, ἅτε ἐπ' ὀξύτητι
καὶ κάλλει τὰς μελέτας ποιούμενοι, καὶ ἐς ἡδονὴν πεποι-
6 *κιλμένους· ἀντὶ δὲ τῶν θωράκων Κιμμερικὰ χιτώνια,*
ἴσα καὶ ὅμοια τοῖς θώραξιν, τὴν δὲ χροιὰν οἱ μὲν κόκ-
κου, οἱ δὲ ὑακίνθου, οἱ δὲ ἄλλῃ καὶ ἄλλῃ πεποικιλμένα·
7 *ἀναξυρίδας δὲ περὶ τοῖν σκελοῖν, οὐ καθάπερ Παρθυαῖοι*
καὶ Ἀρμένιοι κεχαλασμένας, ἀλλὰ περισφιγγομένας τοῖν
8 *σκελοῖν. ἵπποι δὲ αὐτοῖς προμετωπιδίοις μὲν ἐς ἀκρί-*
βειαν πεφραγμένοι εἰσί, παραπλευριδίων δὲ οὐδὲν δέον-
ται· ἀσίδηρα γὰρ ὄντα τὰ ἐπὶ τῇ μελέτῃ ἀκόντια τοὺς μὲν
ὀφθαλμοὺς τῶν ἵππων καὶ κακόν τι ἂν ἀπεργάσαιντο,
ταῖς πλευραῖς δὲ αὐτῶν ἄλλως τε καὶ τοῖς ἐφιππίοις τὸ
πολὺ μέρος σκεπομέναις ἀβλαβῶς προσπίπτει.

35 *πρῶτον μὲν δὴ ἐπέλασις αὐτοῖς ἐς τὸ ἀποδεδειγμένον πεδίον γίνεται ὡς διαπρεπέστατα ἐς κάλλος καὶ λαμπρότητα ἠσκημένη, ὁπόθεν ἂν μάλιστα ἐκ τοῦ ἀφανοῦς ἐπελαύνειν δόξειαν καὶ μὴ ἁπλῆν ἀλλ' ὡς ἔνι ποικίλην τὴν*

---

20 ad cap. 35 sqq. cf. Hadriani adlocutiones ad exercitum Africanum, C. I. L. VIII 2532, Suppl. 18042 (Dessau 2487), cum novis fragmentis, Festschrift f. Hirschfeld p. 192 (Dessau 9133 sqq.); S. Dehner, Hadriani reliquiae (Diss. Bonn. 1883); J. Plew, Quellenuntersuchungen zur Gesch. des Kaisers Hadrian (Argentorati 1890) p. 71 sqq. 22 *ἐκ τοῦ ἀφανοῦς*] cf. p. 169, 10; Hadriani adloc. D b 5: *e tecto transcurrat eques*

---

1 *τοῦ* Herch. *τῶ* F 2 *ὅμως* Müll. *ὁμοίως* F, del. Herch.; cf. cap. 35, 7 5 *ἡδίους*] *ἰδίως* Herch. *ἡδέως* Eberh. 6 *ἀπεωρούμεναι* F, corr. margo Big. *οὕσπερ* Herch. *ὥσπερ* F 13 *προσεσφιγμένας* Herch. 17 *καὶ* ⟨*ὡς*⟩ Müll. *καὶ* del. Herch. 18 *ἐφιππίοις* Scheff. *ἐφίπποις* F 19 *ἀβλαβῆ* Herch. 23 *ποικιλωτάτην* Herch. coll. p. 175, 22

ἐκδρομὴν ποιεῖσθαι. σημείοις δὲ διακεκριμένοι ἐπελαύ- 2
νουσιν, οὐ τοῖς Ῥωμαϊκοῖς μόνον ἀλλὰ καὶ τοῖς Σκυθι-
κοῖς, τοῦ ποικιλωτέραν τε καὶ ἅμα φοβερωτέραν γίγνε-
σθαι τὴν ἔλασιν. τὰ Σκυθικὰ δὲ σημεῖά ἐστιν ἐπὶ κον- 3
τῶν ἐν μήκει ξυμμέτρῳ δράκοντες ἀπαιωρούμενοι. ποι-
οῦνται δὲ ξυρραπτοὶ ἐκ ῥακῶν βεβαμμένων, τάς τε κε-
φαλὰς καὶ τὸ σῶμα πᾶν ἔστε ἐπὶ τὰς οὐρὰς εἰκασμένοι
ὄφεσιν, ὡς φοβερώτατα οἷόν τε εἰκασθῆναι. καὶ τὰ σο- 4
φίσματα ταῦτα ἀτρεμούντων μὲν τῶν ἵππων οὐδὲν πλέον
ἢ ῥάκη ἂν ἴδοις πεποικιλμένα ἐς τὸ κάτω ἀποκρεμάμενα,
ἐλαυνομένων δὲ ἐμπνεόμενα ἐξογκοῦνται, ⟨ὥσ⟩τε ὡς
μάλιστα τοῖς θηρίοις ἐπεοικέναι, καί τι καὶ ἐπισυρίζειν
πρὸς τὴν ἄγαν κίνησιν ὑπὸ τῇ πνοῇ βιαίᾳ διερχομένῃ.
καὶ ταῦτα τὰ σημεῖα οὐ τῇ ὄψει μόνον ἡδονὴν ἢ ἔκπλη- 5
ξιν παρέχει, ἀλλὰ καὶ ἐς διάκρισιν τῆς ἐπελάσεως καὶ
τὸ μὴ ἐμπίπτειν ἀλλήλαις τὰς τάξεις ὠφέλιμα γίγνονται.
οἱ μὲν γὰρ φέροντες αὐτά, οἱ δαημονέστατοι τῶν ἐξελι- 6
γμῶν τε καὶ ἐπιστροφῶν, εἰς ἄλλους καὶ ἄλλους κύκλους
ἢ ἄλλας καὶ ἄλλας ἐπ' εὐθὺ ἐκδρομὰς ἐπιλέγονται, τὸ
δὲ πλῆθος οὐδὲν ἄλλο μεμελέτηκεν ὅτι μὴ ἕπεσθαι τῷ
οἰκείῳ ἕκαστοι σημείῳ. καὶ οὕτως ποικίλαι μὲν αἱ ἐπι- 7
στροφαί, πολυειδεῖς δὲ οἱ ἔμπαλιν ἐξελιγμοί, πολύτροποι
δὲ ἄλλῃ καὶ ἄλλῃ αἱ ἐπελάσεις γιγνόμεναι ἀσυγχύτους

4 τὰ Σκυθικὰ — 13 διερχομένῃ cf. Suid. s. v. σημεῖα Σκυθικά

1 διακεκριμένοις F, corr. Dehn. p. 45 1. 2 ἀπελαύνουσιν F, corr. Herch. 5 ἀπεωρούμενοι F, corr. margo Big.; cf. Suid. ἀπῃώρηνται κοντῶν συμμέτρων 6 ῥακκων (sine acc.) F, corr. margo Big. 7 ἔσται F, corr. Müll. 9 interpunctionem, quam post ταῦτα habent omnes editiones (cf. Grundm. p. 54 sq.), sustuli; cf. Suid. τὰ δὲ σοφίσματα ταῦτα θεόντων ἢ καὶ ἵππους ἐπιβεβηκότων ἐξογκοῦται; vocem σοφίσματα de rebus callide inventis Arrianus etiam Anab. VII 7, 8 usurpavit 11 ἐξογκοῦται Herch. cum Suid., cf. Praef. adn. 5 ⟨ὥσ⟩τε ὡς Herch. τέως F ὥστε Blanc.; cf. Suid. ὡς μάλιστα δοκεῖν τοῖς θηρίοις ἐοικέναι 13 πνοῇ διερχομένῃ βίᾳ Suid. 19 εὐθεῖ F, corr. Müll. ἐπιφέρονται Eberh.

ὅμως τὰς τάξεις παρέχονται. συνενεχθὲν δὲ σημεῖον ση-
μείῳ ⟨ἢ⟩ ἵππος ἵππῳ ἐμπεσὼν ἀναταράξαι ἂν τὴν πᾶ-
σαν τάξιν καὶ οὐ τὸ κάλλος μόνον ἀλλὰ καὶ τὴν χρείαν
διαφθεῖραι τοῦ ἔργου.

36 ὁμοῦ δὲ ἥ τε ἐπέλασις αὐτοῖς ἀποπαύεται καὶ κατὰ
τὰ ἀριστερὰ τοῦ βήματος ὑπομένουσιν ἐπάλληλοι ⟨οἱ⟩
ἱππῆς, τὰς μὲν κεφαλὰς τῶν ἵππων εἰς τοὐπίσω ἀποστρέ-
ψαντες, τοὺς θυρεοὺς δὲ πρὸ τῶν νώτων τῶν σφετέρων
καὶ πρὸ τῶν ἱππείων οὕτω προβεβλημένοι. καὶ ἡ τάξις
αὕτη, καθάπερ ὁ ξυνασπισμὸς τῶν πεζῶν, χελώνη ὀνο-
2 μάζεται. δύο δὲ ἱππῆς, τοῦδε τοῦ στοίχου διέχοντες ὅσον
ἐκδρομὰς παρέχειν τοῖς φιλίοις ἱππεῦσι, προβέβληνται
πρὸ τοῦ δεξιοῦ κέρως τῆς χελώνης, τοῦ ἐκδέχεσθαι τοὺς
3 ἐξακοντισμοὺς τῶν ἐς εὐθὺ ἐπελαυνόντων. οὕτω μὲν οἱ
ἡμίσεες τῶν ἱππέων πεφραγμένοι ἵστανται ἐς προβολήν·
ἐπὰν δὲ σημήνῃ τῇ σάλπιγγι, οἱ ἡμίσεις αὖ ἐπελαύνου-
σιν, ὡς πλεῖστα καὶ συνεχέστατα ἀκόντια ἐξακοντίζον-
τες, πρῶτος ὁ πρῶτος κατ' ἀρετήν, καὶ ἐπὶ τούτῳ ὁ δεύ-
4 τερος, καὶ ἐφεξῆς ὡσαύτως. τὸ δὲ κάλλος τοῦ δρωμένου
ἐν τῷδε ἐστίν, ὅστις ὅτι πλεῖστα καὶ ξυνεχέστατα ἀκόν-
τια, ὀρθῷ ἐπελαύνων τῷ ἵππῳ, ἐς τοὺς δύο τοὺς προ-
βεβλημένους πρὸ τοῦ [ἀριστεροῦ] κέρως τῆς χελώνης
5 κατὰ αὐτῶν τῶν ὅπλων ὡς μάλιστα τύχοι ἀκοντίσας. ἐπε-
λάσαντες δὲ ἐπ' εὐθύ, ἐγκλίνουσιν αὖ ἐς τὰ πλάγια, ὡς

---

5 ad cap. 36 sqq. cf. H. Schneider, Bl. f. d. Gymn.-Schulw. hrsg. v. Bayer. Gymn.-Lv. 36, 1900, p. 244 sqq.; A. Müller, Manöverkrit. Kaiser Hadrians (Lips. 1900), p. 45 sqq.

---

2 ⟨ἢ⟩ add. Müll. ἀναταράξειεν, 4 διαφθείρειεν Herch. 6 ⟨οἱ⟩ addidi 9 οὕτω] νώτων Herch., qui etiam ὡσαύτως coniecit 12 φίλοις F, corr. Herch. 14 ἐπ' εὐθὺ Herch.; cf. Anab. V 7, 4; VI 5, 2 16 ἡμίσεες Herch. 19 καὶ ⟨οἱ⟩ Herch., cf. p. 136, 12 21 ὀρθῷ ἐπελαύνων τῷ Herch. ὀρθῶς ἐπελαύνοντι F 22 [ἀριστέρου] del. Eberh. coll. l. 13; p. 170, 2

ἐς κύκλον ἐπιστρέφοντες. ἡ κλίσις δὲ αὐτοῖς ἐπὶ τὰ δε-
ξιὰ σφῶν γίγνεται ἐπὶ δόρυ· οὕτως γὰρ τῷ τε ἀκοντίζειν 6
οὐδὲν ἐμποδὼν ἵσταται, καὶ οἱ θυρεοὶ προβέβληνται πρὸ
τῶν ἀκοντιζόντων ἐν τῇ ἐπελάσει.

καὶ χρὴ τοσαῦτα φέρειν ἀκόντια, ὡς διὰ πάσης τῆς 37
προβολῆς ἐξακοντίζειν παριππεύοντα. καὶ τοῦ τε ἀκρο-
βολισμοῦ τὸ συνεχὲς καὶ τοῦ κτύπου τὸ ⟨ἀν⟩έκλειπτον
ὥσπερ τι ἄλλο ἐκπληκτικὸν φαίνεται. μεταξὺ δὲ δὴ τοῦ 2
τε δεξιοῦ κέρως τῆς τάξεως καὶ τῆς προβολῆς τοῖν δυοῖν
ἱππέοιν ἐκ τοῦ ἀφανοῦς ἱππῆς ἐκθέουσι, προϊππεύον-
τες μὲν αὐτοὶ τῆς οἰκείας τάξεως, ἀκοντίζοντες δὲ ἐς
τοὺς παριππεύοντας. καὶ τούτοις ἐπ' ἀσπίδα ἡ ἐπίκλισις
γίγνεται, καὶ ταύτῃ ἀφρακτότεροι παριππεύουσιν. ἔνθα 3
δὴ καὶ μάλιστα ἀγαθοῦ δεῖ τοῦ ἱππέως, ὡς ὁμοῦ μὲν
ἐξακοντίζειν δυνατός τι γίγνηται ἐς τοὺς ἐπελαύνοντας,
ὁμοῦ δὲ σκέπειν τὴν δεξιὰν πλευρὰν τῇ προβολῇ τοῦ
ὅπλου. καὶ ἐν μὲν τῇ παρελάσει ὁ κατὰ δεξιὰν ἐπιστρο- 4
φὴν ἀκοντισμὸς ἀναγκαῖος αὐτῷ γίγνεται, ἐν δὲ τῇ παν-
τελεῖ ἐπιστροφῇ ὁ πέτρινος δὴ ὀνομαζόμενος τῇ Κελ-
τῶν φωνῇ, ὅς ἐστι πάντων χαλεπώτατος. χρὴ γὰρ ἐπι- 5
στραφέντα, ὅση δύναμις μαλακαῖν ταῖν πλευραῖν, ἐς τὸ
κατ' οὐρὰν τοῦ ἵππου ὡς ἔνι μάλιστα εὐθὺ ἐς τοὐπίσω
ἀκοντίσαι, καὶ τοῦτο δράσαντα ὀξέως αὖ ἐπιστρέψαντα
κατὰ νώτου λαβεῖν τὸ ὅπλον, ὅτι τὰ γυμνὰ οὕτω γε πα-
ραδίδοται τοῖς πολεμίοις, εἰ ἄνευ προβολῆς ἐπιστρέψειαν.

ὁμοῦ δὲ ἥ τε ἐπέλασις ἤδη ἀποπαύεται καὶ οἱ πρόσθεν 38
ἐπελάσαντες ἐν τάξει αὖ ἵστανται ἐπὶ δεξιᾷ τοῦ βήματος,

---

19 πέτρινος] cf. Hadriani adloc. B a 9 sq.; Dehn. p. 14

---

2 ἐπὶ δόρυ del. Herch. ἀκοντίζειν F, sed syllaba ζειν paene evanuit 7 ἀνέκλειπτον Herch. ἐκλεῖπον F 11 αὐτοὶ del. Herch. 12 ἔγκλισις Herch. 14 τοῦ del. Herch. 15 τι] τε Blanc. 21 ὅση Herch. ὡς ἡ F μαλακαῖν Müll. μάλα κἂν F 24 λαβεῖν] βαλεῖν Herch. γε Müll. τε F 25 ἐπιστρέψειεν Müll. 27 δεξιᾷ Blanc. δεξιὰ F

καθάπερ οἱ ἄλλοι ἐν ἀριστερᾷ, καὶ οἱ δύο ἱππῆς διέχοντες ἀπὸ τοῦ κέρως τῆς προβολῆς τὸ ἴσον ἵστανται, καὶ αὐτοὶ οἱ μεταξὺ αὐτοῖν τε τούτοιν καὶ τῆς πάσης τάξεως ἐκθέοντες ἐς τὸν αὐτὸν τρόπον ἐξακοντίζουσιν ἐς τοὺς παριππεύοντας. ἔνθα δὴ ὅ τι περ κράτιστον τῶν ἱππέων
2 ἐς τόνδε τὸν ἀκροβολισμὸν ἐπιλέγονται. οἱ μέν γε ἀπὸ τῶν δεξιῶν τοῦ βήματος ἀρχόμενοι οὐδὲν ἄλλο ἢ ⟨τὸ⟩ συνεχὲς τῆς ἀκροβολίσεως καὶ ⟨τὸ⟩ ἐπάλληλον τοῦ κτύπου προσδέχονται· οὐδὲ γὰρ ἄλλου τινὸς θέαν παρέχουσι τοῖς ἐπὶ τοῦ βήματος ὁρῶσιν, ἅτε ἀποστρόφου ἀπ' αὐτῶν τῆς δεξιᾶς τῶν ἱππέων ἐν τῇ τοιᾷδε ἐπελάσει
3 γιγνομένης. ὁπότε δὲ ἐκ τῶν ἀριστερῶν ἐπελαύνοιεν, τότε δὴ πᾶς ὁ ἀκροβολισμὸς ἀρίδηλος γίνεται, καὶ τῶν θυρεῶν ἡ προβολή, καὶ ἡ ἐκ τῆς ἀριστερᾶς χειρὸς ἐς τὴν δεξιὰν ὕφεσις τῶν ἀκοντίων ὀξεῖα, καὶ ἡ δεξιὰ ὅπως αὐτὰ ὑπολαβοῦσα καὶ ὑπὲρ τῆς κεφαλῆς περιενεγκοῦσα ὁμοῦ μὲν ὥσπερ ἐν τροχοῦ περιδινήσει τὸ ληφθὲν ἐξηκόντισεν, ὁμοῦ δὲ ὑπέλαβεν [τὸ ληφθὲν] καὶ τοῦτο αὖ ὑπερενεγκοῦσα ἐξηκόντισεν, ἥ τε καθέδρα ἡ ἐπὶ τοῦ ἵππου αὐτοῦ τοῦ ἱππέως ⟨ὅπως⟩ ἀεὶ εὐσχήμων καὶ ὀρθὴ ἐν τῷ ἀκροβολισμῷ σῴζεται, ταύτῃ μᾶλλον, ὅτι ἐπελαυνόντων ὁρᾶται καὶ τῶν ὅπλων ἡ λαμπρότης καὶ τῶν ἵππων ἡ ὠκύτης τε καὶ τὸ ἐν ταῖς ἐπιστροφαῖς εὐκαμπές, καὶ ὅπως ἐν ἴσοις τοῖς διαστήμασιν αἱ ἐπελάσεις
4 γίγνονται τῶν ἱππέων. αἱ μέν γε ἐπὶ μέγα διαλιποῦσαι αὐτῷ τούτῳ τὸ ξυνεχὲς τοῦ ἀκροβολισμοῦ ἀφανίζουσιν,

---

2 προσβολῆς F, corr. Scheff. 3 αὐτοὶ] αὖ Herch. 4 τόπον F, corr. Scheff. 7 τοῦ βήματος del. Eberh. 7. 8 ⟨τὸ⟩ συνεχὲς Herch. συνεχεῖς F 8 ⟨τὸ⟩ ἐπάλληλον Herch. ἐπαλλήλου F; cf. p. 169, 7: 170, 26 9 προσδέχονται corruptum videtur παρέχονται Müll. et Herch. 17 voces ὁμοῦ μὲν post περιδινήσει collocavit Müll. τὸ ληφθὲν (prius) del. Herch. 18 [τὸ ληφθὲν] (alterum) delevi τὸ λειφθὲν scripsit Herch., an ἄλλο pro τὸ ληφθέν? 19 post ἐξηκόντισεν et 23. 24 post εὐκαμπὲς lacunae signa posuit Herch., iniuria 20 ⟨ὅπως⟩ addidi 21 σώζηται F, corr. Müll. ⟨καὶ⟩ ταύτῃ Herch.

αἱ δὲ ἄγαν ἐπάλληλοι τῇ ἀκριβείᾳ τῆς θεωρίας ἐμποδὼν
ἵστανται τὸ δίκαιον αὐτῆς ἀφαιρούμεναι· τόν τε γὰρ
ἀγαθὸν ἱππέα ἐγγὺς αὐτῷ ἐπελαύνων ὁ κακὸς ἤδη ἠφά-
νισεν, καὶ τοῦ κακοῦ ἄλλος αὖ ἀγαθὸς εὐσχημόνως ἐπι-
φερόμενος τὴν ἀπρέπειαν συνεσκίασεν. ἀλλὰ χρὴ τοῦ 5
ξυνεχοῦς σῳζομένου τόν τε ἔπαινον τῷ ἀγαθῷ σῷον
εἶναι καὶ πρέποντα, καὶ τῷ κακῷ τὸ ὀφειλόμενον ὄνειδος
ἀποδίδοσθαι.

δὶς δὲ ἀμείψαντες τὰς τάξεις τε καὶ τὰς προβολὰς καὶ 39
τοὺς ἀκροβολισμούς τε καὶ τὰς ἐπιστροφάς, ἐπειδὰν τὴν
δευτέραν τε καὶ ἀριστερὰν ἐπέλασιν ποιῶνται, οὐχ
ἁπλῶς ἐγκλίναντες ἐπὶ δόρυ καὶ παρὰ τὸ βῆμα παρελά-
σαντες τοὺς ἵππους ἀπαλλάττονται, ἀλλὰ οἱ ὀξύτατοι
αὐτῶν ἐς τὸ ἔργον ὑπολείπονταί σφισιν ἓν ἕκαστος
ἀκόντιον, οἱ δὲ ἄκροι καὶ δύο. καὶ ἐπειδὰν πελάσωσι τῷ 2
βήματι παριππεύοντες, ἐς κύκλον μὲν ἐπέστρεψαν τὸν
ἵππον, ἔτι δὲ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ ἔχοντες ἐπὶ τὸ πέ-
ρας τοῦ πεδίου λοξὸν ἠκόντισαν, καὶ τοῦτο ὡς ἐπὶ μή-
κιστόν τε καὶ ὡς μάλιστα κραδαινόμενον χρὴ ἐξικέσθαι.
οἳ δὲ καὶ δύο ὑπολειπόμενοι ἐπειδὰν ἐπελαύνωσιν, ἤδη 3
τὸ ὑπολειφθὲν ὑπὸ τὸν θυρεὸν ἐγκλίναντες ὀλίγον τὴν
κεφαλὴν καὶ τὴν δεξιὰν πλευράν, ὡς ἀνυστόν, περιελί-
ξαντες ἐς τοὐπίσω σφῶν ἐξηκόντισαν.

ἐν τούτῳ δὲ Κανταβρική τις καλουμένη ἐπέλασις 40
γίνεται, ὡς δοκεῖν ἔμοιγε ἀπὸ Καντάβρων Ἰβηρικοῦ γέ-
νους ταύτῃ ὀνομασθεῖσα, ὅτι ἐκεῖθεν αὐτὴν προσεποίη-
σαν σφίσι Ῥωμαῖοι. ἔχει δὲ ὧδε. ἡ προβολὴ μὲν ἡ τῶν 2
ἱππέων, καθάπερ ἐξ ἀρχῆς, ἐν ἀριστερᾷ τοῦ βήματος

---

24 Κανταβρική] cf. Hadriani adloc. A a 7: *Cantabricus densus*

---

1 ἅπαν F, corr. Herch. 11 ποιῶνται Müll. ποιοῦντας F 12 ἐγκλίναντας F, corr. Müll. 17 αὐτοῦ Herch. αὐτῶν F 20 ἐπελάσωσιν Herch. 21 ὑποληφθὲν F, corr. Herch. 24 ἐν] ἐπὶ Müll. 26 ταύτῃ] τοῦτο Herch. αὕτη Eberh. 26. 27 προσεποιήσαντο Herch.

πεφραγμένη ἐκτέτακται, πλήν γε δὴ τῶν δύο ἱππέων τῶν
3 ἐκδεχομένων τὰ ἐπ' εὐθὺ ἀκόντια. ἐπελαύνουσι δὲ ἀπὸ
τῶν δεξιῶν ὥσπερ καὶ τὸ πρόσθεν ἐγκλίνοντες ἐπὶ δόρυ,
ἐπελαυνόντων δὲ αὐτῶν ἐν ἀριστερᾷ τοῦ βήματος ἀρξα-
4 μένη ἄλλη ἐπέλασις γίγνεται ἐς κύκλον ἐπιστρέφουσα. οἵ
δὲ ἱππῆς οὗτοι οὐκ ἀκοντίοις κούφοις διαχρῶνται ἔτι,
ἀλλὰ ξυστοῖς δόρασιν, ἀσιδήροις μέν, τῷ βάρει δὲ οὔτε
τοῖς ἐξακοντίζουσιν εὐφόροις, οὔτε ἐφ' οὓς ἐκπέμπεται
5 ἀκινδύνοις. καὶ ἐπὶ τῷδε παραγγέλλεται μήτε τοῦ κρά-
νους στοχάζεσθαι τῶν παριππευόντων μήτε ἐς τὸν ἵπ-
πον τὸ δόρυ μεθιέναι, ἀλλὰ γὰρ πρὶν ἐγκλῖναι τὸν
ἱππέα καὶ παραγυμνῶσαί τι τῆς πλευρᾶς ἢ ἐκφῆναι τοῦ
νώτου ἐπιστραφέντα, αὐτοῦ δὴ τοῦ θυρεοῦ στοχαζόμε-
6 νον ὡς βιαιότατα ἐναράξαι τὸ δόρυ. καὶ τὸ ἀκριβὲς τοῦδε
τοῦ ἔργου ἐν τοῖσδ' ἐστίν, εἰ ὡς ἐγγυτάτω τοῖς παριπ-
πεύουσι πελάσας ὁ ἐς τὸν Κανταβρικὸν τοῦτον κύκλον
καθεστηκὼς ὡς μάλιστα κατὰ μέσου τοῦ θυρεοῦ τὸ δόρυ
ἐξακοντίσειεν, τὸ δ' ἐμπεσὸν τῷ θυρεῷ κτυπήσειεν ἢ καὶ
διέλθοι δι' αὐτοῦ διαμπάξ, καὶ ὁ δεύτερος ἐπὶ τούτῳ τοῦ
δευτέρου ἐξίκοιτο, καὶ ὁ τρίτος ὡσαύτως τοῦ τρίτου, καὶ
7 οἱ ἐφεξῆς τῶν ἐφεξῆς ἐν στοίχῳ κατὰ τὰ αὐτά. ὅ τε
γὰρ κτύπος ἀμέλει ἐκπληκτικός, καὶ ὁ ἐξελιγμὸς ἐν τῷ
τοιῷδε εὐσχήμων φαίνεται, καὶ τοῖς μὲν εὐστοχίας τε
καὶ σφοδρότητος ἐν τῷ ἀκοντισμῷ μελέτη γίγνεται, τοῖς
8 δὲ ἀσφαλείας τε καὶ φυλακῆς πρὸς τοὺς ἐπιόντας. ἐπὶ
τούτοις δὲ τῆς συνεχείας τοῦ ἐξακοντισμοῦ μελέτη τε
καὶ ἐπίδειξις ποιεῖται ἐκ τῶν ἱππέων οὐ πάντων — οὐ
γὰρ πάντες ἐπιτήδειοι ἐς τήνδε τὴν ὀξύτητα —, ἀλλὰ γὰρ
9 ὅσοι αὐτῶν ἄκροι ἐς ἱππικὴν οὗτοι καθιστᾶσι μὲν τοὺς
ἵππους, ἐν δεξιᾷ ἔχοντες ἄκρον τὸ βῆμα, ἐκεῖθεν δὲ ἀτρέ-
μα προϊόντος τοῦ ἵππου ἔστε ἐπὶ τὴν ὀφρῦν τοῦ ἐσκαμμέ-

3 οἵπερ F, corr. Müll. ἐκκλίνοντες F, corr. Herch. 12. 13 τὰ νῶτα vel ⟨τι⟩ τοῦ νώτου Herch. 29 punctum post ἱππικὴν sustuli 31 ἐστὰ δ' ἐπὶ (sic) F, corr. Müll.

νου χωρίου, χρὴ ὡς πλεῖστα καὶ ὡς συνεχέστατα καὶ ὡς
ἐπὶ μήκιστόν τε καὶ ἐς τὸ ἀνώμαλον καὶ ἅμα κραδαινό-
μενα μεθιέναι. καὶ ἀγαθὸς μὲν ὅστις πεντεκαίδεκα ἀκόν- 10
τια μεθιέναι ὡς χρὴ πρὶν ἐκβῆναι τοῦδε τοῦ χωρίου τὸν
ἵππον ἐξήνυσεν. πολὺ δὲ τούτου ἐνδικώτερον ἐπαινοῖτο 11
ἂν ὅστις καὶ ἐς τὰ εἴκοσι προύβη. ὡς τό γε ὑπὲρ ταῦτα
οὐκέτι τῆς ἀκριβείας ἐχομένων γίγνεται, ἀλλὰ κλεπτόν-
των τὸ πολὺ κατὰ τὴν στάσιν τοῦ ἵππου ἐπὶ πλεῖον γι-
γνομένην, ὡς ἔτι ἑστηκότος φθάσαι δύο ἢ τρία ἀκοντί-
σαι, ἢ ὑπερβάντος τὴν ὀφρῦν τοῦ ἐσκαμμένου. ἀλλ' 12
ἔγωγε πολὺ μᾶλλον ἐπαινῶ τὸ ἐννόμως δρώμενον ἤπερ
τὸ ἐς ἔκπληξιν τῶν δρώντων σοφιζόμενον.

ἐνθένδε ἤδη ὡς ἐς μάχην ὁπλίζονται θώραξί τε σι- 41
δηροῖς καὶ κράνεσι καὶ θυρεοῖς οὐ τοῖς κούφοις ἔτι. καὶ 2
πρῶτα μὲν αἱ τάξεις σπουδῇ ἐπελαύνουσι τοὺς ἵππους·
μίαν δὲ λόγχην φέροντας, τήνδε πρὶν πελάσαι τῷ βή-
ματι χρὴ ὡς οἷόν τε κραδαινομένην τε καὶ ἅμα ἐπανακτυ-
ποῦσαν ἐξακοντίσαι τοῦ σκοποῦ στοχαζομένους, ὃς δὴ ἐν
ἀριστερᾷ τοῦ βήματος ἐπ' αὐτῷ τούτῳ τῷ ἔργῳ πέπηγεν.
καὶ ὅσοι γε ἀγαθοὶ αὐτῶν, καὶ δεύτερον ἐπελαύνουσιν 3
οὗτοι καὶ τρίτον, οὐ πρὸς ἀνάγκην ἀλλ' αὐτῷ τῷ τε
ἔργῳ καὶ τῷ ἐξ αὐτοῦ ἐπαίνῳ ἀγαλλόμενοι. ἡ δευτέρα δὲ 4
ἐπέλασις ξὺν δυοῖν λόγχαιν γίγνεται, καὶ ταύτας χρὴ
ἐξακοντίσαι ὀρθῷ ἐπελαύνοντα τῷ ἵππῳ ὡς μάλιστα οἷόν
τε ἐπίσκοπα.

ἐπὰν δὲ ἐκπεριέλθῃ καὶ τοῦδε τοῦ ἀκοντισμοῦ τὸ 42
ἑκούσιον, ἐνταῦθα δὴ ὅσοι ἀγαθοὶ στρατιᾶς ἡγε-
μόνες, ὀνομαστὶ ἀνακαλεῖσθαι κελεύουσι πάντας ἐφε-
ξῆς τοὺς ἱππέας, δεκαδάρχην πρῶτον καὶ διμοιρίτην

---

29 sq. *δεκαδάρχην*] decurionem; *διμοιρίτην*] duplicarium;

---

1 sq. *ὡς ἐπὶ μήκιστόν τε καὶ ἅμα κραδαινόμενα [καὶ] ἐς τὸ ἀνώμαλον* scripsit Herch. 8 *μεθιέναι ⟨τὰ ἀκόντια⟩* Scheff. 5 *ἐπαινοῖντο* F, corr. Müll. 13 *ὁπλίζων* F, corr. Scheff. 16 *φέρων* F, corr. Scheff. 21 *τε* del. Herch. 24 *ὀρθῶς* F, corr. Herch.

*ἐπὶ τούτῳ καὶ ὅστις ἐν ἡμιολίῳ μισθοφορᾷ, ἔπειτα
τοὺς ἐφεξῆς τῆς δεκαδαρχίας. καὶ οὕτως διὰ πασῶν*
2 *τῶν δεκαδαρχιῶν ἡ κλῆσις γίγνεται. τὸν κληθέντα
δὲ χρὴ ὁμοῦ μὲν ὑπακοῦσαι τῷ καλοῦντι μεγάλῃ τῇ βοῇ
ὅτι 'πάρειμι', ὁμοῦ δ' ἐξελαύνειν τὸν ἵππον τρεῖς λόγχας
φέροντα. καὶ τὴν μὲν πρώτην ἀπὸ ἄκρου τοῦ χωρίου
τοῦ ἐσκαμμένου ἐξακοντίζειν ὡς ἐπὶ τὸν σκοπόν, τὴν
δευτέραν δὲ ἀπὸ αὐτοῦ τοῦ βήματος, καὶ ταύτην ἔτι
ὀρθῷ τῷ ἵππῳ· τὴν τρίτην δέ, εἰ τὰ ἔννομα καὶ πρὸς
βασιλέως τεταγμένα δρῴη, ἐγκλίνοντος ἐπὶ δεξιὰ τοῦ
ἵππου, ἐς τὸν ἄλλον σκοπόν, ὃς ἐπ' αὐτῷ δὴ τούτῳ
κατὰ πρόσταξιν βασιλέως ἐς ἐκδοχὴν τῆς τρίτης λόγχης*
3 *ἵστα⟨ται⟩. ἥδ' ἔστιν ἡ βολὴ πασῶν χαλεπωτάτη, εἴ πως
πρὶν πάντη ἀποστραφῆναι τὸν ἵππον, ἐν αὐτῇ ἔτι τῇ*
4 *ἐπικαμπῇ γίγνοιτο. ἡ γὰρ δὴ ξύνημα τῇ Κελτῶν φωνῇ
καλουμένη τούτῳ δὴ ἄφεσις γίγνεται, ἧπερ οὐδὲ ἀσιδήρῳ
ἀκοντίῳ εὐμαρὴς ἀκοντίζεσθαι. ἤδη δέ τις ὑπὸ ὀξύτητός
τε καὶ φιλοτιμίας καὶ τέσσαρας λόγχας ὀρθῷ τῷ ἵππῳ
ἐπὶ τὸν πρῶτον σκοπὸν ἐξακοντίσαι ἤνυσεν, ἢ τὰς τρεῖς
μὲν ὀρθῷ τῷ ἵππῳ, τὴν τετάρτην δὲ ἐπιστρέφοντι, ὡς βα-*
5 *σιλεὺς ἔταξεν. ἔνθα δὴ ὅ τε ἀγαθὸς ἀκοντιστὴς καὶ ὁ
κακὸς μάλιστα πάντων διαφαίνεται, ἅτε οὐκ ἐν στοίχῳ
ἀδιακρίτῳ οὐδὲ ἐν θορύβῳ δρωμένου τοῦ ἔργου. καὶ ἥτις
⟨δεκαδαρχία⟩ τοὺς πλείστους παράσχοιτο ἐν τῶν λογχῶν
τῇ βολῇ διαπρέποντας, ταύτην ἐγὼ μᾶλλον ἤ τινα ἄλ-*

ὅστις ἐν ἡμιολίῳ μισθοφορᾷ] sesquiplicarium; cf. Dom. Rangordn. p. 53 sq.

---

1 ἡμιολίᾳ Herch. 3 δεκαδαρχιῶν Herch. δεκαδαρχῶν F κλίσις F, corr. Scheff. 10 δεξιᾷ Scheff. δεξιὰν Müll. 11 sq. ὃς . . . ἵστα⟨ται⟩ scripsi coll. p. 175, 6 sq. ὃς . . . ἱστᾶ F ὃν . . . ἱστᾷ (sic) Scheff. ὃν . . . ἱστᾶ⟨σι⟩ Müll. 13 εἴ πως Herch. ὅπως F, cf. p. 172, 15 16 τούτῳ δὴ] intellige equitem qui iactum (βολήν, ἄφεσιν) § 3 descriptum bene perfecit; ταύτῃ pro τούτῳ Herch. 24 ⟨δεκαδαρχία⟩ supplevi, lacuna 9 vel 10 litterarum in F ⟨ἐπέλασις⟩ Herch. ἐν del Herch.

λην ἐπήνεσα, ὡς πρὸς ἀλήθειαν τῶν πολεμικῶν ἔργων
ἠσκημένην.

ἐπὶ τούτῳ μέντοι ἤδη πολύτροποι ἐξακοντισμοὶ γί- 43
γνονται ἢ κούφων παλτῶν ἢ καὶ βελῶν, οὐκ ἀπὸ τόξου □
τούτων γε ἀλλ' ἀπὸ μηχανῆς ἀφιεμένων, ἢ λίθων ἐκ
χειρὸς ἢ ἐκ σφενδόνης ἐπὶ τὸν σκοπόν, ὃς μέσος τοῖν
δυοῖν, ὧν ἤδη μνήμην ἐποιησάμην, ἵσταται. καὶ ἐνταῦθα
αὖ καλόν, εἰ συντρίψειαν τοῖς λίθοις τὸν σκοπόν, ὃ δὲ
τύχοι οὐκ εὐμαρὴς ξυντριβῆναι. οὐ μὴν οὐδὲ ἐπὶ τοῖσδε 2
λήγει αὐτοῖς τὰ γυμνάσια, ἀλλὰ κοντοὺς γὰρ τὰ μὲν
πρῶτα ὀρθοὺς ὡς εἰς προβολὴν φέροντες ἐπελαύνουσιν,
ἔπειτα ὡς πολεμίου φεύγοντος ἐξικόμενοι· οἳ δὲ ὡς ἐπ'
ἄλλον πολέμιον ἐν τῇ ἐπιστροφῇ τοῦ ἵππου τούς τε θυ-
ρεοὺς ὑπὲρ τὴν κεφαλὴν αἰωρήσαντες ἐς τὸ κατόπιν
σφῶν μετήνεγκαν, καὶ τοὺς κοντοὺς ὑπερελίξαντες ὡς
ἐπελαύνοντος ἄλλου πολεμίου ἐξίκοντο. καὶ τὸ ἔργον
τοῦτο Κελτιστὶ τολούτεγον καλεῖται. καὶ ἐπὶ τῷδε αὖ 3
τὰς σπάθας σπασάμενοι ἄλλοτε ἐς ἄλλην πληγὴν παρα-
φέρουσιν, ὅπως μάλιστα οἷόν τε, ἢ φεύγοντος πολεμίου
ἐξικέσθαι ἢ πεσόντα κατακτανεῖν ἢ καὶ πρᾶξαί τι ἐκ
πλαγίων παραθέοντες. ἐπὶ τούτοις μέντοι πηδήσεις ἐπὶ
τοὺς ἵππους ὡς ἔνι ποικιλωτάτας ποιοῦνται, ὅσαις ἰδέαις
καὶ ὅσοις σχήμασιν ἀναβαίνεται ἵππος ὑπὸ ἱππέως· καὶ 4
τελευταίαν δὴ τὴν ἐνόπλιον πήδησιν ἐπιδεικνύουσι θέ-
οντος τοῦ ἵππου, ἥν τινες ὁδοιπορικὴν ὀνομάζουσιν.

---

8 sqq., 21 sqq. cf. Hadriani adloc. A a 10 (ad equites cohortis VI Commagenorum): *addidistis ut et lapides fundis mitteretis et missilibus confligeretis; saluistis ubique expedite*; fragm. novum, Dessau 9134 (ad alam I Pannoniorum): *saluistis et hic agiliter et heri velociter*

---

4 πελτῶν F, corr. Herch. 7 δυεῖν F, corr. Blanc. ὧν] οἷν Herch. 12 πολεμίους φεύγοντας F, corr. Müll., cf. vs. 16. 19 17 κελτιστὶς F, corr. Scheff. 18 ἐς del. Herch. 20 κατακανεῖν Herch., cf. ad p. 146, 2 21 τούτῳ Herch. 25 ἣν τινες] ἥντινα Herch.

44 *ταῦτα μὲν τοῖς Ῥωμαίων ἱππεῦσι τὰ ξυνήθη τε καὶ ἐκ παλαιοῦ ἀσκούμενα· βασιλεὺς δὲ προσεξεῦρεν καὶ τὰ βαρβαρικὰ ἐκμελετᾶν αὐτούς, ὅσα τε ἢ Παρθυαίων ἢ Ἀρμενίων ἱπποτοξόται ἐπασκοῦσι καὶ ὅσας οἱ Σαυροματῶν ἢ Κελτῶν κοντοφόροι ἐπιστροφάς τε καὶ ἀποστροφάς, τῶν ἱππέων ἐν μέρει ἐπελαυνόντων, καὶ ἀκροβολισμοὺς ἐν τούτῳ πολυειδεῖς καὶ πολυτρόπους ἐς τὰς μάχας ὠφελίμους, καὶ ἀλαλαγμοὺς πατρίους ἑκάστῳ γένει, Κελτικοὺς μὲν τοῖς Κελτοῖς ἱππεῦσι, Γετικοὺς δὲ τοῖς*
2 *Γέταις, Ῥαιτικοὺς δὲ ὅσοι ἐκ Ῥαιτῶν. καὶ τάφρον δὲ διαπηδᾶν μελετῶσιν αὐτοῖς οἱ ἵπποι καὶ τειχίον ὑπεράλλεσθαι, καὶ ἑνὶ λόγῳ, οὐκ ἔστιν ὅ τι Ῥωμαίοις τῶν τε παλαιῶν ἐπιτηδευμάτων, ὅ τι περ ἐκλελειμμένον, οὐκ ἐξ ὑπαρχῆς ἐπασκεῖται, καὶ ὅσα ἤδη προσεξεύρηται ἐκ βασιλέως, τὰ μὲν ἐς κάλλος τὰ δὲ ἐς ὀξύτητα, τὰ δὲ ἐς ἔκ-*
3 *πληξιν τὰ δὲ ἐς χρείαν τὴν ἐπὶ τῷ ἔργῳ. ὥστε ἐς τήνδε τὴν παροῦσαν βασιλείαν, ἣν Ἀδριανὸς εἰκοστὸν τοῦτ' ἔτος βασιλεύει, πολὺ μᾶλλον ξυμβαίνειν μοι δοκεῖ τὰ ἔπη ταῦτα ἥπερ ἐς τὴν πάλαι Λακεδαίμονα*

'ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μῶσα λίγεια,
καὶ δίκα εὐρυάγυια καλῶν ἐπιτάρροθος ἔργων.'

---

17 *εἰκοστὸν τοῦτ' ἔτος*] anno 136/7 20 sq. Terpandri fragm. 6 apud Bergk, Poetae lyr. gr.[3] p. 816; fr. [4] apud Diehl, Anthol. lyr. II p. 4; cf. Wilamowitz, Timotheos p. 64 adn. 1

---

3 *ἢ* (prius) del. Herch. 7 *ἐς* — 8 *ὠφελίμους* del. Herch. 10 *ῥετικοὺς* F, corr. margo Big. 11 *διαπηδᾶν* Herch. *ἀναπηδᾶν* F 20 *αἰχμά* Plutarch. Lyc. 21 (qui eosdem versus citat addito nomine Terpandri) *αἰχμή* F Subscriptio: *ἀρριανοῦ τέχνη τακτική*. Reliqua pars f. 195v vacua relicta est

ΑΡΡΙΑΝΟΥ ΕΚΤΑΞΙΣ ΚΑΤΑ ΑΛΑΝΩΝ

Ἡγεῖσθαι μὲν τῆς πάσης στρατιᾶς τοὺς κατασκόπους ἱππέας ἐπὶ δυοῖν τεταγμένους σὺν τῷ οἰκείῳ ἡγεμόνι. ἐπὶ τούτοις δὲ τοὺς ἱπποτοξότας τοὺς Πετραίους, καὶ τούτους ἐπὶ δυοῖν· ἀγόντων δὲ αὐτοὺς οἱ δεκαδάρχαι. ἐπὶ δὲ τούτοις ἐπιτετάχθων οἱ ἀπὸ τῆς εἴλης ἥτινι Αὐριανοὶ ὄνομα. συντετάχθων δὲ αὐτοῖς οἱ τῆς σπείρης τῆς τετάρτης τῶν Ῥαιτῶν, ἧς ἄρχων Δάφνης Κορίνθιος. ἐπὶ τούτοις δὲ οἱ ἀπὸ τῆς εἴλης ᾗ ὄνομα Κολωνοί. συν⟨τε⟩τάχθων δὲ αὐτοῖς Ἰτυραῖοι καὶ Κυρηναῖοι καὶ οἱ ἀπὸ τῆς πρώτης Ῥαιτικῆς. συμπάντων δὲ τούτων ἀρχέτω

---

2. 3 numerus exploratorum: Ritt. Erkl. p. 370   4 equites cohortis III Ulpiae Petraeorum miliariae equitatae sagittariorum: Ritt. Erkl. p. 368; cf. Dessau 9013, 9471 i. f.   5 *δεκαδάρχαι*] decuriones   6. 7 ala II Ulpia Auriana: Grot. p. 22, Ritt. Erkl. p. 361   7. 8 equites cohortis IIII Raetorum equitatae: Grot. p. 22, Ritt. Erkl. p. 369   9 ala I Augusta gemina Colonorum: Ritt. Erkl. p. 361   10 equites cohortis cuiusdam Ityraeorum sagittariorum equitatae, quae maiore aliquo numero quam ternario insignita erat, cf. Cichorius R. E. IV p. 306 equites cohortis III Augustae Cyrenaicae sagittariorum equitatae: Ritt. Erkl. p. 364   11 equites cohortis I Raetorum equitatae: Ritt. Erkl. p. 369

---

5 *τούτους* Scheff. *τούτοις* F   6. 7 *εἴλης ἥτινι* Müll. *Αὐριανοὶ* Grot. p. 22 (ex Notit. Dignit. Or. XXXVIII 22) et Nipperdey (apud Herch.) *ειλησῃ την ισαυριανοι* (sic) F; *ἴλης* Herch., qui ubique *ἴλη* pro *εἴλη* scripsit, sed *εἴλη* (scriptura usitatissima aetate Romana, cf. e. g. inscriptiones graecae apud Dessau 8853, 8869, 8873, 9471, 9472) semper in F   7 *σπείρας* Herch., sed in titulis militaribus *σπείρης* sollemne est, cf. e. g. inscriptiones graecae apud Dessau 8863—8865, 8867, 8868, 8874   8 *Ῥαιτῶν* Müll. *ῥαίων* F   *Δάφνις* Herch.   9 *εἴλης ᾗ* Scheff. *ειλησῃ* (sic) F   *Κολωνοί* Grot. p. 23 (ex Notit. Dignit. Or. XXXVIII 21) et Nipperdey (apud Herch.) *κολῶνες* F   9. 10 *συντάχθων* F, corr. Müll.   10 *Ἰτουραῖοι* Herch., quod

2 Δημήτριος. ἐπὶ τούτοις δὲ οἱ Κελτοὶ ἱππεῖς, καὶ αὐτοὶ ἐπὶ δύο, καὶ τούτων ἡγείσθω ἑκατόνταρχος, ὅσπερ ἐπὶ στρατοπέδου.

3 πεζοὶ δὲ ἐπὶ τούτοις τετάχθων, τὰ σημεῖα ἀνατεταμένα πρὸ σφῶν ἔχοντες, οἵ τε Ἰταλοὶ καὶ Κυρηναίων οἱ παρόντες. πάντων δὲ ἡγείσθω Πούλχερ, ὅσπερ ἄρχει τοῖς Ἰταλοῖς. Βοσποριανοὶ δὲ ἐπὶ τούτοις πεζοὶ ἰόντων, ἡγεμόνα παρεχόμενοι Λαμπροκλέα, καὶ οἱ Νομάδες ἐπὶ
4 τούτοις ὑποτεταγμένοι Βήρῳ τῷ σφετέρῳ ἄρχοντι. ἡ τάξις δὲ ἔστω εἰς ὁπλίτας τέσσαρας. αὐτῶν δὲ τούτων ὅσοι τοξόται ἡγείσθων. τὰς δὲ πλευρὰς τῆς τάξεως φυλαττόντων ἑκατέρωθεν οἱ ἱππεῖς οἱ οἰκεῖοι. ἐπὶ δὲ τούτοις οἱ ἐπίλεκτοι ἱππεῖς ἴτωσαν, καὶ ἐπὶ τούτοις οἱ ἀπὸ
5 τῆς φάλαγγος ἱππεῖς, ἔπειτα οἱ καταπέλται, ἔπειτα τὸ σημεῖον τῆς πεντεκαιδεκάτης φάλαγγος, καὶ ἀμφ' αὐτῷ δὲ ⟨ὁ⟩ ἡγεμὼν τῆς φάλαγγος Οὐάλης, καὶ ὁ ὕπαρχος, καὶ

---

1 equites cohortis I Germanorum miliariae equitatae: Ritt. Erkl. p. 364; cf. Dessau 8868 5 cohors I Italica voluntariorum civium Romanorum: Ritt. Erkl. p. 365 vexillatio cohortis III Cyrenaicae, vide ad p. 177, 10 et cf. p. 181, 14; p. 182, 12 7 cohors I Bosporanorum (sive Bosporiana) miliaria equitata: Ritt. Erkl. p. 363 8 cohors I Numidarum equitata: Ritt. Erkl. p. 368 12 *οἱ ἱππεῖς οἱ οἰκεῖοι*] equites quattuor cohortium supra dictarum 13 equites singulares praesidis, cf. Mommsen, Ephem. Epigraph. 4 p. 404; Ritt. Erkl. p. 370; Dom. Rangordn. p. 35 sq. 13. 14 equites legionarii 15 legio XV Apollinaris, cf. Ritt. R. E. 12, p. 1754 sqq. 16 *ὁ ἡγεμὼν τῆς φάλαγγος*] legatus legionis *Οὐάλης*] M. Vettius M. f. An(ien-

---

usitatius, sed per *v* etiam p. 182, 12 et in titulis nonnullis, e. g. Inscr. Gr. ad res Rom. pert. I 1299, 1462; Ityraei Dessau 2511, 2751, 5502; cf. Boissevain ad Cassium Dion. 49, 32, 5

1 *αὐτοὶ*] *οὗτοι* Herch.; cf. ad p. 46, 9 2 *ἐπὶ δυοῖν* Müll.; cf. ad p. 149, 16 *ὅσπερ* Eberh. *ὥσπερ* F; an *ὅσπερ* ⟨*ἡγεῖται*⟩ vel ⟨*ἄρχει*⟩? cf. vs. 6; p. 180, 1; p. 183, 13. 14 6 *ὅσπερ* Scheff. *ὥσπερ* F; cf. ad vs. 2 7 *τῶν Ἰταλῶν* Herch. 9 *Οὐήρῳ* Herch. 13 *εἴτωσαν* F, corr. margo Big. *ἰόντων* Herch.; cf. p. 181, 23; p. 182, 10. 13; p. 183, 1. 5. 9; p. 184, 2; Ind. 2, 1; Cyn. 4, 2. 4; 5, 9 15 *αὐτῷ* Scheff. *αὐτῇ* F, cf. p. 179, 6 16 *δὲ* del.

οἱ χιλιάρχαι οἷς τέτακται, καὶ ⟨πέντε⟩ ἑκατόνταρχοι οἱ τῆς
πρώτης σπείρης ἐπιστάται. πρὸ δὲ τοῦ σημείου αὖ τῶν
πεζῶν οἱ ἀκοντισταὶ τετάχθων. αὐτοὺς δὲ τοὺς πεζοὺς
ἐπὶ τεσσάρων τεταγμένους ἰέναι. ἐπὶ δὲ τῇ πεντεκαιδε- 6
κάτῃ φάλαγγι τετάχθω τὸ σημεῖον τῆς δωδεκάτης φά-
λαγγος, καὶ χιλιάρχαι ἀμφ' αὐτῷ καὶ ἑκατοντάρχαι. ἐπὶ
τεσσάρων ὡσαύτως καὶ ἥδε ἡ φάλαγξ ἴτω τεταγμένη.
ἐπὶ δὲ τῷ ὁπλιτικῷ τετάχθω τὸ συμμαχικόν, οἵ τε ἀπὸ 7
τῆς μικρᾶς Ἀρμενίας καὶ Τραπεζουντίων οἱ ὁπλῖται καὶ
Κόλχοι καὶ Ῥιζιανοὶ οἱ λογχοφόροι. ἐπιτετάχθων δὲ αὐ-
τοῖς οἱ †Ἀπλανοὶ πεζοί. παντὸς δὲ τοῦ συμμαχικοῦ ἡγε-

---

sis) Valens: Ritt. Erkl. p. 361 coll. C. I. L. XI 383 ὁ ὕπαρχος] praefectus (castrorum) legionis: Dörn., Momms.; cf. Dom. Rangordn. p. 119 sq.

1 χιλιάρχαι] tribuni οἷς τέτακται] cf. Dom. Rh. Mus. 57, 1902, p. 512 adn. 3 1 sq. ⟨πέντε⟩ ἑκατοντάρχαι — ἐπιστάται] centuriones in prima cohorte legionis sive primi ordines: Momms. (apud Herch., aliter Ephem. Epigraph. 4 p. 240 = Ges. Schr. 8 p. 377); cf. Dom. Rangordn. p. 94 5 legio XII fulminata, cf. Ritt. R. E. 12, p. 1707 sqq. 8 τὸ συμμαχικὸν] symmachiarii, cf. Momms. Herm. 19, p. 224 (= Ges. Schr. 6 p. 107), Herm. 22, p. 550 (= Ges. Schr. 6, p. 148) 10 Ῥιζιανοὶ] dicti a flumine et portu Rizio: Dörn., Momms. coll. Arr. Per. 7, 2; Ptolem. V 6, 6
11 †Ἀπλανοὶ] cohors I Lepidiana (equitata civium Romanorum): Grot. p. 26 coll. Notit. Dignit. Or. XXXVIII 35 (probante Ritt. Erkl. p. 368, qui agi de cohorte quadam Alpinorum minus probabile putat); cohors Apuleia civium Romanorum: Seeck

---

Herch., cf. ad p. 20, 4 ⟨ὁ⟩ add. Müll. Οὐάλης Scheff. οὐαλπη F, cf. p. 183, 13 ἔπαρχος Dörn., fortasse recte, cf. Corp. gloss. Lat. III p. 298, 45; p. 517, 40

1 supplevi ⟨πέντε⟩ (i. e. ε'), ⟨οἱ⟩ add. Herch.; cf. Momms., Ephem. Epigraph. 4 p. 228 (= Ges. Schr. 8 p. 362) 2 πρὸ margo Big. πρὸς F αὖ τῶν Haase p. 104 αὐτῶν F 4. 7 τεσσάρων] δ' F 4 ἰέναι Herch. εἶεν F εἶναι margo Big.; cf. p. 180, 14 4. 5 πεντεκαιδεκάτῃ] ιε' F 7 εἴτω F, corr. Müll. 8 οἵ τε ⟨Ἀρμένιοι καὶ οἱ⟩ ἀπὸ τῆς Momms. coll. p. 181, 3 sq., 11 sq. 9 ὁπλῖται] τοξόται Momms. coll. p. 181, 12 10 ⟨οἱ⟩ Κόλχοι Herch. 11 ἀπλανοὶ (etiam p. 181, 14), p. 180, 1 ἀπλανῶν F, corruptum, Ἀλπινοὶ Dörn. Λεπιδιανοὶ Grot. p. 26 Ἀπληιανοὶ Seeck (apud Herch.)

μὼν ἔστω Σεκουνδῖνος, ὅσπερ τῶν †Ἀπλανῶν ἡγεῖται.
8 *ἐπὶ τούτοις δὲ τὰ σκευοφόρα ἑπέσθω. οὐραγείτω δὲ ἡ εἴλη τῶν Γετῶν καὶ ὁ ταύτης εἰλάρχης.*

9 *τὰς πλευρὰς δὲ τοῦ πεζικοῦ κοσμούντων μὲν καὶ ἑκατοντάρχαι [καὶ] ἐπὶ τῷδε τεταγμένοι, φυλακῆς δὲ ἕνεκα ⟨ἡ⟩ εἴλη ἡ Γαλατικὴ παριππευέτω ἐπὶ ἕνα στοῖχον ἑκατέρωθεν τεταγμένη, καὶ οἱ τῶν Ἰταλῶν ἱππεῖς. ὁ δὲ εἰλάρχης αὐτῶν ἐπιφοιτάτω ταῖς πλευραῖς.*

10 *ὁ δὲ ἡγεμὼν τῆς πάσης στρατιᾶς Ξενοφῶν τὸ πολὺ μὲν πρὸ τῶν σημείων τῶν πεζικῶν ἡγείσθω, ἐπιφοιτάτω δὲ πάσῃ τῇ τάξει, καὶ ἐπισκοπείτω ὅπως τεταγμένοι ἴασιν, καὶ τοὺς μὲν ἀτακτοῦντας εἰς τάξιν ἐπαναγέτω, τοὺς δὲ ἐν κόσμῳ ἰόντας ἐπαινείτω.*

11 *οὕτω μὲν τεταγμένους ἰέναι. ἐλθόντος δὲ εἰς τὸ ἀποδεδειγμένον χωρίον, τὴν μὲν ἵππον πᾶσαν περιστῆναι ἐν κύκλῳ εἰς τετράγωνον τάξιν, τοὺς κατασκόπους δὲ πέμψαι εἰς τὰ ὑπερδέξια χωρία ἀποσκοπῆς ἕνεκα τῶν πολεμίων. ἐνταῦθα δὲ ἀπὸ σημείου ὁπλίζεσθαι σιγῇ,*
12 *ὁπλισαμένους δὲ εἰς τάξιν καθίστασθαι. ἡ τάξις δὲ ἔστω*

---

apud Herch. coll. Notit. Dignit. Or. XXXVIII 34 (*Apuleta* cod., *Apuleia* corr. Seeck), probante Mommseno Herm. 22 p. 550 (= Ges. Schr. 6, 148) adn. 2 11 sq. *τοῦ συμμαχικοῦ ἡγεμὼν*] praefectus symmachiariorum, cf. inscriptio edita a Dessau, Klio 20 p. 227

3 ala I Ulpia Dacorum: Ritt. Erkl. p. 362 6 ala II Gallorum: Ritt. Erkl. p. 362 7 equites cohortis I Italicae, cf. ad p. 178, 5 9 *ὁ δὲ ἡγεμὼν τῆς πάσης στρατιᾶς Ξενοφῶν*] Flavius Arrianus, legatus Augusti pro praetore provinciae Cappadociae 16 *κατασκόπους*] v. ad p. 177, 2. 3

---

1 *σεκουλῖνος* F, corr. Grot. p. 26 *ὥσπερ* F, corr. Scheff.; cf. ad p. 178, 2 2 *οὐραγίτω* F, corr. Müll. 4 *κοσμώντων* F, corr. margo Big. *μὲν καὶ*] *καὶ* del. Herch. 5 [*καὶ*] delevi *καὶ* ⟨*οἱ*⟩ Müll. *ἐπὶ τῷδε* margo Big. *επι γω δε* (sic F) 6 ⟨*ἡ*⟩ add. Dörn. *Γαλατικὴ* Ritt. p. 362 *ἀλλακτικὴ* F 13 *ἐπαινέτω* F, corr. margo Big. 16 *περιστῆσαι* Herch. 17 *σκοπῆς* vel *κατασκοπῆς* Herch.; vox *ἀποσκοπή* nusquam alibi occurrere videtur

ἤδε. τὸ μὲν κέρας ἑκάτερον τῶν πεζῶν τὰ ὑπερδέξια
ἐχέτω τῶν χωρίων, ὅτι ἐν τοιῷδε ἡ ἔκταξις ἔσται. ἐπιτετά-
χθων δὲ τῷ κέρατι τῷ μὲν δεξιῷ οἱ ἀμφὶ Οὐασάκην καὶ Ἄρ-
βηλον Ἀρμένιοι, τὸ ὑπερδεξιώτατον τοῦ κέρως ἔχοντες, ὅτι
τοξόται εἰσὶν οἱ σύμπαντες. προτετάχθων δὲ αὐτῶν οἱ 13
τῆς σπείρης τῆς Ἰταλικῆς πεζοί. πάντων δὲ ἡγείσθω
Πούλχερ, ὅστις καὶ τῆς σπείρης τῆς Ἰταλικῆς ἄρχει.
καὶ τούτῳ ἐπιτετράφθω αὐτός τε [καὶ] ὁ Οὐασάκης καὶ
Ἄρβηλος καὶ τὸ ἐκείνων ἱππικόν τε καὶ πεζικόν.

ἐπὶ δὲ τοῦ ἀριστεροῦ τετάχθων καὶ οὗτοι τὸ ὑπερδε- 14
ξιώτατον τοῦ κέρως ἔχοντες οἵ τε ἀπὸ τῆς μικρᾶς Ἀρμε-
νίας σύμμαχοι καὶ οἱ Τραπεζουντίων γυμνῆτες καὶ οἱ
Ῥιζιανοὶ λογχοφόροι. προτετάχθων δὲ καὶ τούτων οἱ
†Ἀπλανοὶ οἱ διακόσιοι καὶ Κυρηναίων οἱ ἑκατόν, ὡς
προβολὴν μὲν εἶναι πρὸ τῶν ἀκοντιστῶν τοὺς ὁπλίτας,
τοὺς δὲ ὑπερακοντίζειν ἐκ τοῦ ὑπερδεξιοῦ. τὸ δὲ ἐν 15
μέσῳ σύμπαν τὸ μὲν δεξιὸν ἐχέτω ἡ πεζικὴ φάλαγξ ἡ
πεντεκαιδεκάτη ὑπὲρ τὸ μέσον τοῦ παντὸς χωρίου, ὅτι
πολὺ πλείονες πλήθει οὗτοί εἰσι· τὸ δὲ ὑπόλοιπον τοῦ
ἀριστεροῦ ἐκπληρούντων οἱ τῆς δωδεκάτης φάλαγγος
πεζοὶ ἔστε ἐπὶ τὸ ἄκρον τοῦ κέρως τοῦ ἀριστεροῦ. τετά-
χθων δὲ ἐπὶ ὀκτώ, καὶ πυκνὴ αὐτοῖς ἔστω ἡ ξύν⟨ταξις⟩.
καὶ αἱ μὲν πρῶται τέσσαρες τάξεις ἔστωσαν κοντοφόρων, 16
οἷς δὴ ⟨τοῖς⟩ κοντοῖς μακρὰ καὶ ἐπὶ λεπτὸν τὰ σιδήρια

6 cf. ad p. 178, 5   11 sqq. cf. ad p. 179, 8 sqq.   14 †Ἀπλανοί] cf. ad p. 179, 11   Κυρηναίων οἱ ἑκατόν] cf. ad p. 178, 5   17. 18 cf. ad p. 178, 15   20 cf. ad p. 179, 5   24 κοντοί] pila

1 ἑκατέρων F, corr. Scheff.   7 πουλχερός τις F, corr. Scheff.   8 [καὶ] del. Momms.   11 οἵ τε Müll. ὥστε F   12. 13 οἱ ἀριζιανοί F, corr. Blanc.   13 καὶ del. Herch.; cf. vs. 5   14 οἱ post Κυρηναίων suprascripsit F[1]   16 voces ὑπερακοντίζειν ἐκ τοῦ bis scriptae in F   17 ἐχέτωσαν F, corr. Müll.   21 ἔσται F, corr. margo Big.   21. 22 τετάχθω F, corr. Herch.   22 ξύν⟨ταξις⟩ Dörn. ξῦν F ξύγ⟨κλεισις⟩ Müll.   24 οἷς Köchly Opusc. phil. 2, p. 338 οἷι (sic) F ὧν Scheff.   δὴ ⟨τοῖς⟩ κοντοῖς Herch.   δικον τοῖς (spatio 3 vel 4 litterarum inter eas

προῆκται. καὶ τούτους οἱ μὲν πρωτοστάται εἰς προβολὴν
ἐχόντων, ὡς εἰ πελάζοιεν αὐτοῖς οἱ πολέμιοι, κατὰ τὰ
στήθη μάλιστα τῶν ἵππων τίθεσθαι τῶν κοντῶν τὸν
17 *σίδηρον· οἱ δευτεροστάται δὲ καὶ οἱ τῆς τρίτης καὶ τε-*
τάρτης τάξεως εἰς ἀκοντισμὸν προβεβλήσθων τοὺς κον-
τοὺς ὅπου τύχοιεν, καὶ ἵππους τρώσοντες καὶ ἱππότην
κατα⟨κα⟩νοῦντες καὶ θυρεῷ ⟨ἢ⟩ καταφράκτῳ θώρακι
ἐμπαγέντος τοῦ κοντοῦ καὶ διὰ μαλακότητα τοῦ σιδή-
ρου ἐπικαμφθέντος ἀχρεῖον τὸν ἀναβάτην ποιήσοντες.
18 *αἱ δὲ ἐφεξῆς τάξεις τῶν λογχοφόρων ἔστωσαν. ἐνάτη δὲ*
ἐπὶ τούτοις ἔστω τάξις οἱ πεζοὶ τοξόται, οἱ τῶν Νομά-
δων καὶ Κυρηναίων καὶ Βοσποριανῶν τε καὶ Ἰτυραίων.
19 *μηχαναὶ δὲ ἐφεστηκέτωσαν τῷ κέρατι ἑκατέρῳ, ὡς πορ-*
ρωτάτω προσιόντων τῶν πολεμίων ἐξακοντίζειν, καὶ
κατόπιν τῆς πάσης φάλαγγος.
20 *τὸ δὲ ἱππικὸν ξύμπαν κατὰ εἴλας καὶ λόχους ὀκτὼ*
ξυντεταγμένον ἐφεστάτω τοῖς πεζοῖς, τὸ μὲν τοῖς κέρα-
σιν ἑκατέροις, προβολὴν ἔχον τοὺς ὁπλίτας πρὸ σφῶν
καὶ τοὺς τοξότας, λόχοι δύο, τὸ δὲ τῇ μέσῃ φάλαγγι,
21 *λόχοι ἕξ * * μημιον. τούτων δὲ ὅσοι μὲν ἱπποτοξόται*

---

4 sqq. cf. Caesar, Bell. Gall. I 25, 2—4; Appian., Celt. 1, 1; Koechly, Opusc. philol. 2, p. 338 10 *λόγχαι* = lanceae 11. 12 *Νομάδων*] cf. ad p. 178, 8 12 *Κυρηναίων*] cf. ad p. 178, 5 *Βοσποριανῶν*] cf. ad p. 178, 7 *Ἰτυραίων*] cf. ad p. 177, 10

---

voces vacuo relicto) F *δὴ κοντοῖς* Scheff. *ἐπὶ λεπτὸν* scripsi *ἐπιλεπτὸν* F *ἐπίλεπτα* Scheff.; cf. Arr. Tact. 29, 10 i. f.

4 *οἱ δευτεροστάται δὲ* Müll. *οἱ δέ*, post quas voces reliqua pars lineae (spatium circiter 20 litterarum) vacua; sequens linea incipit: *ὑπεροστάται δὲ* F 6 *στρώσοντες* F, corr. Müll. 7 *κατανοῦντες* F, corr. Müll. *καὶ θυρεῷ* F *καὶ θυρεῷ ⟨ἢ⟩* scripsi *ἢ θυρεῷ ⟨καὶ⟩* Dörn. Herch. *καὶ θυρεῷ ⟨καὶ⟩* Müll. *καταφράκτῳ* del. Herch. 9 *ἀντιβάτην* F, corr. Scheff. *ποιήσονται* F, corr. Dörn. 10 *τῶν* del. Herch. 14 *καὶ ⟨αὗται⟩* Herch. *καὶ* del. Eberh. 20 *εξ μημιον* (post *εξ* spatium duarum litterarum) F *ἕξ* Scheff., lacunae signa posuit Herch.

πλησίον τῆς φάλαγγος ἐφεστηκέτωσαν, ὡς ὑπερτοξεύειν
ὑπὲρ αὐτῆς· ὅσοι δὲ λογχοφόροι ἢ κοντοφόροι ἢ μαχαι-
ροφόροι ἢ πελεκοφόροι εἰς τὰ πλάγιά τε ἑκατέρωθεν
δρώντων [ἢ] καὶ τὸ ξύνθημα προσμενόντων. οἱ δὲ ἐπί- 22
λεκτοι ἱππεῖς ἀμφ' αὐτὸν Ξενοφῶντα ἔστωσαν, καὶ τῶν
ἀπὸ τῆς φάλαγγος [τῶν] πεζῶν ὅσον εἰς διακοσίους, οἱ
σωματοφύλακες, καὶ ἑκατοντάρχαι ὅσοι τοῖς ἐπιλέκτοις
ξυντεταγμένοι ἢ τῶν σωματοφυλάκων ἡγεμόνες, καὶ δεκ-
άρχαι οἱ τῶν ἐπιλέκτων. ἔστωσαν δὲ ἀμφ' αὐτὸν * * * 23
* * * * * ας ἑκατὸν κούφων λογχοφόρων, ὡς πᾶσαν ἐπι-
φοιτῶν τὴν φάλαγγα ὅπου τι ἐνδεὲς καταμανθάνοι,
ἐκεῖνο ἰῷτο καὶ θεραπεύοι. ἡγείσθω δὲ τοῦ μὲν δεξιοῦ 24
κέρως παντὸς ξὺν τῷ ἱππικῷ Οὐάλης, ὅσπερ καὶ τῆς
πεντεκαιδεκάτης φάλαγγος ἡγεμών ἐστιν· τοῦ δὲ ἀριστε-
ροῦ οἱ χιλίαρχαι τῆς δωδεκάτης.

οὕτω δὲ ταχθέντων σιγὴ ἔστω ἔστ' ἂν πελάσωσι ἐν- 25
τὸς βέλους οἱ πολέμιοι· πελαζόντων δὲ ἤδη ὡς μέγιστον
καὶ φοβερώτατον ἀλαλάζειν ξύμπαντας τῷ Ἐνυαλίῳ, καὶ

4—10 cf. Ioseph. Bell. Iud. III 120 (Vespasianus) *ἐξήλαυνεν τούς τε ἐπιλέκτους τῶν πεζῶν καὶ ἱππέων καὶ τοὺς λογχοφόρους ἔχων*; V 47 (Titus) *τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων*; Ritt., Bonn. Jahrb. 125, 1919, p. 25 sq. 4. 5 *ἐπίλεκτοι ἱππεῖς*] cf. ad p. 178, 13 6. 7 *οἱ σωματοφύλακες*] beneficiarii ceterique principales qui in officio praesidis erant: Ritt. l. l.; cf. Dom. Rangordn. p. 29 sqq. 10 *κούφων λογχοφόρων*] cf. Ioseph. Bell. Iud. III 95 *φέρουσι δ' οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πεζοὶ λόγχην* (lanceam) *καὶ ἀσπίδα* (clipeum), *ἡ δὲ λοιπὴ φάλαγξ ξυστόν τε* (pilum) *καὶ θυρεὸν ἐπιμήκη* (scutum); pedites singulares praesidis, cf. Dom. Rangordn. p. 35 sq.

---

2 *αὐτὴν* Herch. 3 *πελεκυφόροι* Herch. 4 [ἢ] del. Dörn. 5 *αὐτὸν* Scheff. *αὐτῶν* F 6 [*τῶν*] del. Herch. 9 post *αὐτὸν* lacuna 9 vel 10 litterarum in F 10 *ας* F, *ἐς* vel *καὶ* Scheff. ⟨*καὶ*⟩ *ἐς* Müll., an ⟨*καὶ ἀριθμ*⟩*ὸς* (i. e. numerus)? 11 *τι* Müll. *τὸ* F 12 *ἰῷτο* Krüger ad Thucyd. VII 69, 2 *εἴτω* F *ἴδοι* Müll. 13 *οὐάλις* F, corr. Scheff., cf. p. 178, 16 *ὥσπερ* F, corr. Scheff., cf. p. 178, 2 16. 17 *πελασωσειεντὸς* F, corr. Herch. 18 *ἀλαλάξειν* F, corr. Herch.

*βέλη τε ἀπὸ μηχανῶν καὶ λίθους ἀφίεσθαι καὶ βέλη
ἀπὸ τόξων, καὶ λόγχας οἱ λογχοφόροι ἀκοντιζέτωσαν οἵ
τε ψιλοὶ καὶ οἱ †θειασταί. φερέσθωσαν δὲ καὶ λίθοι εἰς
τοὺς πολεμίους ἀπὸ τοῦ ξυμμαχικοῦ ἐκ τῶν ὑπερδεξίων,
καὶ τὸ πᾶν ἀκροβολισμὸς ἔστω πανταχόθεν ὡς ἔνι πυκ-
νότατος εἰς τάραξίν τε τῶν ἵππων καὶ ὄλεθρον τῶν πο-
26 λεμίων [ἵππων]. καὶ ἐλπὶς μὲν ὑπὸ τοῦ ἀδιηγήτου πλή-
θους τῶν βελῶν μηδὲ πλεῖον πελάσειν τῇ πεζικῇ φάλαγγι
ἐπελαύνοντας τοὺς Σκύθας· εἰ δὲ δὴ πελάζοιεν, ἐγχρίμ-
ψαντας ταῖς ἀσπίσι καὶ τοῖς ὤμοις ἀντερείσαντας δέ-
χεσθαι τὴν προσβολὴν ὡς καρτερώτατα καὶ τῇ συγκλεί-
σει πυκνοτάτῃ τὰς πρώτας τρεῖς τάξεις ξυνερειδούσας
σφίσιν ὡς βιαιότατον οἷόν τε· τὴν τετάρτην δὲ ὑπερ-
ακοντίζειν τὰς λόγχας· καὶ τὴν πρώτην παίειν ἢ ἀκοντί-
27 ζειν τοῖς κοντοῖς ἀφειδῶς ἔς τε ἵππους καὶ αὐτούς. ἀπω-
σθέντων δὲ εἰ μὲν φυγὴ λαμπρὰ γένηται, διαχωρεῖν δὴ
τὰς πεζικὰς τάξεις καὶ ἐπελαύνειν τοὺς ἱππέας, μὴ πάν-
τας τοὺς λόχους ἀλλὰ τοὺς ἡμίσεας· τετάχθαι δὲ πρώ-
28 τους οἵτινες καὶ πρῶτοι ἐπελάσουσιν. τοὺς δὲ ἄλλους
ἡμίσεας ἕπεσθαι μὲν τοῖς ἐπελαύνουσιν, ἐν τάξει δὲ καὶ
μὴ παντελεῖ τῇ διώξει χρωμένους, ὡς εἰ μὲν φυγὴ καρ-
τερὰ κατέχοι, ἐκδέξασθαι τὴν πρώτην δίωξιν ἀκμήτοις*

---

2 ⟨*τὰς*⟩ *λόγχας* Herch. 3 *θειασταί* corruptum *θυρεαφόροι* Müll. *πελτασταί* Herch. *φέρεσθων* Müll., qui imperativi formas in *-εσθωσαν* exeuntes ubique mutat, cf. Ac. 29, Tact. 30, 1 6. 7 *πολεμίων ἵππων* F *ἵππων* delevi *πολεμίων ἱππέων* Scheff. [*πολεμίων*] *ἱππέων* Herch. 8 *μηδὲ* Dörn. *μὴ δὲ* F *μὴ ἐπὶ* Müll. *πελάσειν* Dörn. (*πελάσσειν* iam margo Big.) *ἐλάσσειν* F 9 *δὴ* Dörn. *δεῖ* F 10 *ἀντερίσαντας* F, corr. margo Big. 11. 12 *συγκλήσει* F, corr. Dörn. 13 *σφῆσιν* F, corr. Scheff. *οἷόν τε* Müll. *ὄντι* F *δὲ* ⟨*καὶ τὰς λοιπὰς*⟩? Momms. 14 *τὰς λόγχας*] *τοὺς κοντοὺς*? Herch. coll. p. 181,23. p. 182, 4. 5 *πρώτην* Momms. *τρίτην* F 15 *ἔς τε* ⟨*τοὺς*⟩ Herch. 16 *γένοιτο* Herch.; cf. Kühner-Gerth 2 p. 474 adn. 1 *δὴ* scripsi *δεῖ* F *ἤδη* Herch. 18. 20 *ἡμίσειας* F, corr. Müll. 19 *ἄλλους* Müll. *αὐτοὺς* F 21. 22 *φυγῇ καρτερᾷ* F, nominativum casum restituit Müll. 22 *κατάσχοι* Herch. *ἀκμηταῖς* F, corr. Müll.

τοῖς ἵπποις, εἰ δέ τις ἐπιστροφὴ καταλαμβάνοι, ἐπιτίθε-
σθαι τοῖς ἐπιστρέφουσιν. ὁμοῦ δὲ οἵ τε Ἀρμένιοι τοξό- 29
ται ἐπελαύνοντες τοξευόντων, ὡς μὴ παρασχεῖν ἀναστρο-
φὴν τοῖς φεύγουσι, καὶ οἱ λογχοφόροι οἱ γυμνῆτες δρόμῳ
ἐπέσθωσαν· μένειν δὲ μηδὲ τὴν πεζικὴν τάξιν ἐν χώρᾳ
ἔτι, ἀλλὰ προχωρεῖν θᾶττον ἢ βάδην, ὡς εἴ τι καρτερώ-
τερον ἀπαντῴη ἀπὸ τῶν πολεμίων, αὖθις εἶναι προβο-
λὴν πρὸ τῶν ἱππέων.

τάδε μὲν γίνεσθαι, εἰ ἀπὸ τῆς πρώτης προσβολῆς 30
φυγὴ κατάσχοι τοὺς ἐναντίους· εἰ δὲ ἐπιστραφέντες ἐς
κύκλους ὑπὲρ τὰ κέρατα παρελαύνειν ἐθέλοιεν, ἀνατεί-
νεσθαι μὲν ⟨ἐς⟩ τὰ ὑπερδεξιώτερα ἔτι τὰ κέρατα αὐτῆς
τῆς ψιλῆς τοξείας· ὡς οὐ δοκιμάζω μήποτε ἀσθενῆ τῇ
ἀνατάσει τὰ κέρατα γινόμενα ἰδόντες δι' αὐτῶν ὤσαιντο
καὶ διακόψαιεν τὸ πεζικόν. ὑπερβαλλόντων δὲ τὰ κέρατα 31
ἑκάτερα ἢ ὁπότερον οὖν, πᾶσα ἤδη ἀνάγκη πλαγίους μὲν
αὐτοῖς γίνεσθαι τοὺς ἵππους, πλαγίους δὲ τοὺς κοντούς.
ἐνταῦθα δὴ ἐμβαλλόντων ἐς αὐτοὺς οἱ ἱππεῖς, μὴ ἀκον-
τισμῷ ἔτι ἀλλὰ ταῖς σπάθαις αὐτοῖς συμφερόμενοι, οἱ
δὲ τοῖς πελέκεσιν. οἱ δὲ Σκύθαι γυμνοί τε ὄντες καὶ
τοὺς ἵππους γυμνοὺς ἔχοντες * * *

5 μηδὲ Dörn. μήτε F 7 ἀπαντοίη F, corr. Herch. 12 μὲν del. Eberh. ⟨ἐς⟩ add. Müll. 13 ἀσθενεῖ F, corr. Dörn. 14 ὤσαιντο margo Big. ὤσεντο F 16 ἢ ὁπότερον Herch. ἡ πότερον F ἢ τὸ ἕτερον Müll. 19 αὐτοῖς scripsi αὐτῶν F αὖ Eberh. αὐτῶν del. Herch. 20 τοῖς Herch. ταῖς F 21 ἔχοντες in fine lineae ultimae f. 197v F; folium quod proximum erat exscissum est, cf. Praef. § 10

FRAGMENTA DE REBUS PHYSICIS

1 Ioannes Philoponus in Aristotelis Meteor. I 3, 2, p. 15, 13 ed. Hayduck: *Ἀρριανὸς δὲ ἐν τῷ Περὶ μετεώρων φησὶν ὡς Ἐρατοσθένης ὁ Κυρηναῖος ἰσχυρίζεται εἴκοσι καὶ πέντε μυριάδας σταδίων ἔχειν τὴν περίμετρον τοῦ μεγίστου τῆς γῆς κύκλου.*

2 Priscianus Lydus, Solutionum ad Chosroem liber, in Prooemio, p. 42, 13 ed. Bywater (Supplementum Aristotelicum I 2), in indice fontium quos adhibuit dicit se usum esse „*et Μετεώρων Arriani*".

idem, l. l. cap. 6, p. 69, 26 B.: „*de accessu per Rubrum mare et recessu, et per exteriorem Oceanum talibus factis passionibus vel in aliis maris nostri partibus, multa quidem differenter dicta sunt a veteribus: qui autem videntur ex omnibus collegisse talis passionis causas, Stoicus est Posidonius Assyrius et ei consentientes, quorum et Arrianus approbat sententiam. dicunt enim moveri exteriorem Oceanum ad lunae ambitum, compati vero interius mare: iuxta columnas ⟨enim⟩ ei Herculis solum-*

---

1 cf. Ind. 3, 1; Berg., Erat. p. 99 sqq.; Erdk.[2] p. 406 sqq.; Cap. II p. 345 sq. 2 indicavit haec loca Martini, Leipz. St. z. cl. Phil. XVII (1896), p. 348, qui tamen iniuria putavit a Prisciano p. 69, 31 B. laudatum esse auctorem Peripli maris Erythraei pseudo-arrianei, non Arrianum περὶ μετεώρων scriptorem, cf. Bri. I p. 374; ea quae apud Prisc. (usque ad p. 72, 6 B.) sequuntur de aquarum motibus lunae vi affectis, fortasse etiam ceteram capitis sexti partem, ex Arr. fluxisse suspicatur Cap. II p. 348, quod quamquam mihi a vero non abhorrere videtur, in re incerta recipere ea nolui 10. 11 de accessu . . . et recessu] i. e. περὶ πλημμυρίδος καὶ ἀμπώτεως 15 Posidonius] in libro περὶ ὠκεανοῦ, cf. Posid. fr. 81—86 J., F. gr. Hist. II A, p. 271 sqq.; II C, p. 200 sq.; Reinhardt, Poseidonios p. 121 sqq. 18 ⟨enim⟩ add. Bywater

modo coniunctum quasi portus pelago compassione afficitur et alios motus speciales accipit.“

Stobaeus, Florileg. I 29, 2 (Vol. I p. 235, 9—238, 12 ed. Wachsm.). 3

Ἀρριανοῦ. Ὅσοι δὲ ξηροὶ ἀτμοί, ῥυέντες μὲν εὐθὺς ἀνέμους εἰργάσαντο, ἐν νέφει δὲ ἀποληφθέντες, ἔπειτα ῥηγνύντες βίᾳ τὸ νέφος βροντάς τε καὶ ἀστραπὰς ἐξέφηναν· ἐκπίπτοντες δ' ἐπὶ μέγα διάπυροι μὲν κεραυνοί, ἀθρόοι δὲ καὶ ἡμίπυροι πρηστῆρες, ὅσοι δὲ ἔρημοι πυρὸς | τυφῶνες, οἱ δὲ ἔτι ἀνειμένοι ἐκνεφίαι, κατασκήψαντες δὲ εἰς γῆν ξύμπαντα ταῦτα σκηπτοὶ κλῄζονται.

οὐ μεῖον δὲ αἱ κοιλότητες τῶν νεφῶν ἢ αἱ ῥήξεις αἱ ἐπ' αὐταῖς βροντὰς ἔχουσιν, ἀστραπὴ δὲ ὑπὸ τῇ ῥήξει ἐκτρίβεται καὶ ἐξάπτει | τὸ πνεῦμα ὡς ἐκλάμψαι ἐπὶ μέγα. καὶ γίγνεται μὲν ἀστραπὴ μετὰ βροντήν, ὀξυτέρα δὲ τοσόνδε ὅσον ὄψις ἀκοῆς ὀξύτερον· καθότι ἀκοὴ μὲν πελαζούσης τῆς φωνῆς αἰσθάνεται, ὄψις δὲ ἐπὶ τὸ ὁρώμενον αὐτὸ ἐκπέμπεται.

κεραυνὸς δὲ ὅτι πνεῦμά ἐστιν, ἀπὸ τῶνδε τεκ|μηριώσασθαι παρέχει· ῥήγνυσί τε ἔστιν ἃ τῶν ἐντυχόντων ‖ καὶ ⟨περιδινεῖ ὅσα⟩ περιδινηθῆναι οἷά τε, καὶ p. 236 W

3 4—11 cf. Pseudo-Aristot. περὶ κόσμ. p. 394 b 7 sqq.; 395 a 21 sqq.; Anonymi Isagoga (Maass, Commentar. in Aratum rel. p. 127, 5 sqq.); Aetius III 3, 13 (Doxogr. Gr. p. 370 b 1 sqq.); Cap. I p. 620 sqq. 7—10 cf. Lyd. de ost. 44 p. 97, 6 sq. W. 13 sqq. cf. Aristot. Meteor. II 9, p. 369 b 4 sqq.; Pseudo-Aristot. περὶ κόσμ. p. 395 a 14 sqq. 19 sqq. cf. Aristot. l. l. III 1, imprimis p. 371 a 17—30

1 efficitur: libri, corr. Dübn. 3 5. 6 ἀπολειφθέντες FP, corr. Cant. et Mein. 7 ἐμπίπτοντες FP, corr. Heer. 9 ἔτι ⟨μᾶλλον⟩ Cap. I p. 621 e Lydo, sed cf. Bri. II p. 38 10 κατασκήψαντα Wachsm. 11 σκηπτὸν FP, corr. Cant. 12 οὐ μεῖον Bri. οὐδὲ ἴσον F οὐδὲ ἶσον P οὐ δι' ἴσον Us. ἢ αἱ Bri. καὶ FP καὶ ⟨αἱ⟩ Us. 16 καθότι Mein. καὶ ὅτι FP 19 ὅτι Us. καθότι FP 19. 20 τεκμηριῶσαι FP, corr. Bri. 20 ἔστινα FP, corr. Mein. 21 lacunam statuit Us. ⟨περιδινεῖ τὰ⟩ add. Wachsm. ⟨περιδινεῖ ὅσα⟩ add. Bri.

διϊκνεῖται ⟨δι'⟩ ὅσων οὐκ ἄν τι ἄλλο ὅτι μὴ πνεῦμα διέλθοι. ὡς δὲ ἔμπυρον πνεῦμά ἐστι, δηλοῖ μὲν τοῦτό γε καὶ ἡ ὄψις ὅτῳ ἐγγὺς κατέσκηψε, πῦρ γὰρ φαίνεται· ἤδη δὲ καὶ ἀφ' ὧν ἐργάζεται ἐδή|λωσε· περιφλέγει γὰρ ἔστιν ἃ τῶν πελασάντων, τὰ δὲ καὶ ἐξάπτει πάντῃ, καὶ ἀπολείπεται ἀπ' αὐτοῦ ἴχνη, οἷα δὴ ἐπὶ πυρὶ ἐκκαύσαντι ἐσβεσμένῳ.

ἐκνεφίας δὲ ἄνεμος, ἐπὰν δινούμενος ἐκπέσῃ νέφους ῥαγέντος, τυφὼν κλήζεται. γίγνεται δὲ ἡ δίνη ὧδε· | ἐπειδὰν κώλυμα ἐν τῷ νέφει ἐγχριμφθῇ τὸ μὴ οὐκ επ' εὐθὺ ἐκπεσεῖν τὴν πνοήν, ἀναστρέφεταί τε καὶ ἀνειλεῖται ἐς αὑτήν. εἴργεται δὲ ὑπὸ πάχους νεφέλης ἐπ' εὐθὺ ἐκπεσεῖν ἢ κρύους ἀποστρέψαντος ἢ ἀντιπεσούσης ἄλλης πνοῆς. οὕτω τοι καὶ ἦρος ἄλλοτε ἄλλῃ αἱ θύελλαι ἀνα|στρέφονταί τε καὶ ἀνειλούμεναι αὖθις ἄνω ἀναφέρονται, ἐπειδὰν δὴ ἐγχρίμψας τόπος τις γῆς ἀνακόψῃ τῆς πνοῆς τὴν ἐπ' εὐθὺ ὁρμήν. καὶ δῖναι ἐν τοῖς ποταμοῖς ὕδατος ταὐτὸ τοῦτό εἰσι· φερόμενον γὰρ εὐθείᾳ τὸ ὕδωρ οὔποτ' ἂν δινηθείη· ἀντιπεσόντος δὲ ἄλλοτε | ἄλλου πρὸς τὴν φορὰν ἀναστρέφει ἡ ῥοή, ἀναστραφεῖσα δὲ ἐς κύκλον ἐπικάμπτει ὑπὸ τῇ ῥύμῃ, ὅτι μὴ οἵα τε ἐπ' εὐθὺ ἐς τὸ p. 237W. *ἔμπαλιν ἐκφέρεσθαι. οἱ δὲ τυφῶνες καὶ τῆς || νεφέλης*

8—p. 189, 5 cf. Aristot. Meteor. III 1, p. 370 b 17—371 a 15; Sen. N. Q. V 13, 1—3 17 *δῖναι*] cf. Anab. VI 4, 4; 5, 1 sqq.; Parth. fr. 60

---

1 *διοικνεῖται* FP, corr. Mein. ⟨*δι'*⟩ *ὅσων* Bri. *ὅθεν* FP ⟨*δι'*⟩ *ὧν* Us. *ὅπῃ* Wachsm. 5 *ἔστινα* FP, corr. Mein. 7 *ἐσβεσμένον* FP, corr. cod. August. post *ἐσβεσμένῳ* lacunam statuit Cap. I p. 620 adn. 2, sed cf. Bri. II p. 55 sq. 10 *κάλυμα* F *κάλυμμα* P, corr. Mein. 10 *ἐγχριφθῇ* FP, 16 *ἐγρίψας* FP, corr. Mein., cf. Ac. 26 10 *τῷ μὴ* FP, corr. cod. August. 12 *αὐτὴν* FP, corr. Heer. 14 *ἦρος* Bri. *πρὸς* FP *ἄλλῃ* P *ἄλλοι* F, cf. Bri. II p. 42 16 *δὲ* FP, corr. Wachsm. *τόπος τῆς* FP, corr. Heer. 17 *καὶ* ⟨*αἱ*⟩ Heer. ⟨*τοῦ*⟩ *ἐν* Mein. 20 *ἀναστρέφεται* Mein., cf. Bri. II p. 43 21 *ὑπὸ* Us. *ἐπὶ* FP 22 *ἔκπαλιν* FP, corr. cod. Vat. August.

τὸ πολὺ ἐς τὸ κάτω σὺν ἕλικι ἐπάγουσιν ἅμα σφίσι· καὶ προσπεσόντες τῇ γῇ ἀναρπάζουσιν ὅτῳ ἂν ἐντύχωσιν, ἀντικοπτομένης τῆς ῥύμης ὡς ξὺν τῇ αὐτῇ ἕλικι ἀναστρέφεσθαι· ὥστε καὶ ναῦς ἤδη ἅμα τῷ φόρτῳ | ἐμπεσόντες ἐξῆραν ἐπὶ μέγα ἔξω τῆς θαλάσσης.

κεραυνῶν δὲ πολλαὶ ἰδέαι τε καὶ ὀνόματά εἰσιν. οἳ μὲν αὐτῶν ψολόεντες, οἳ δὲ ἀργῆτες κλήζονται, σκηπτοί τε ὅσοι κατασκήπτουσι, καὶ αἰγίδες ὅσοι ἐν συστροφῇ πυρὸς καταφέρονται, ἕλικες δὲ ὅσοι ἐς ἑλικοειδῆ γραμ|μὴν διάττουσι. καὶ δὴ ὅσοι μὲν μὴ πάντῃ ὀξέως ἐκπεσόντες ὕλῃ ἐνέτυχον καυσίμῳ, ἔκαυσάν τε αὐτὴν ὑπὸ τῇ διατριβῇ καὶ αὐτοὶ κατεσχέθησαν τῷ ἔργῳ. ὅσοι δὲ ξὺν πολλῷ τῷ τάχει κατέσκηψαν, οὗτοι πρὶν ἐκκαῦσαι διῇξαν ὥστε ἡμίπυρα ἔστιν ἃ ὑπολελεῖφθαι ἀπ' αὐτῶν· οἳ δὲ καὶ | αἰθαλώσαντες μόνον διῆλθον. οἱ δὲ ἔτι καὶ τῶνδε ὀξύτεροι οὐδὲ ἓν ἐξεργάσασθαι ἔφθασαν, ἀλλὰ ἀραιᾷ μὲν ὕλῃ εἰ καὶ πάνυ καυσίμῳ ἐντυχόντες διεχώρησαν μόνον, ἀντιτύπῳ δὲ εἰ πελάσειαν ἐνσχεθέντες κατειργάσαντό τε αὐτὴν καὶ διέφθειραν· ὥστε κοιτίδος μὲν ξύλου μαλθακοῦ | ἀψάμενοι διῇξαν ἀπαθῆ ἀπολιπόντες, τὸ δὲ χρυσίον ἔτηξαν τὸ ἐνόν, ὅτι ἐσχέθησαν ἐν τῷ χρυσίῳ· καὶ χιτῶνα ἤδη οὐκ ἔκαυσαν, ἀλλὰ ἐτρύχωσαν μόνον· καὶ διὰ μὲν κεράμου διῆλθον, τὸ δὲ

6—p. 190, 4 cf. Aristot. Meteor. III 1, p. 371 a 17—29 **6—10** cf. Pseudo-Aristot. περὶ κόσμ. 4 p. 395 a 25 sqq.; Lyd. de ost. 44 p. 97, 1—4 W. **8—10** cf. Lyd. l. l. p. 97, 8—14 W. **19**—p. 190, 2 cf. Lyd. de ost. 44, p. 97, 19—98, 5 W.; Plin. N. H. II 137

---

4. 5 ἐκπεσόντες FP, corr. Heer. **7** μὲν ⟨γὰρ⟩ Mein., cf. ad p. 3, 18 **9** πυρὸς FP et Lydus ἀέρος Mein. πυρ⟨ώδους ἀέρ⟩ος Wachsm. coll. Diog. Laërt. VII 154 πνεύματος Bri. ἑλικίαι Lydus, cf. Bri. II p. 44 **10** μὴ Wachsm. καὶ FP **14** ὑπειλῆφθαι FP corr. ὑπολῆφθαι P ὑπολελεῖφθαι (vel ὑπολειφθῆναι) Mein. **16** ἓν ⟨τούτων⟩? Bri. ἔφθησαν F **17** καυσίμων FP, corr. Cant. **18** πελάσειεν FP, corr. Mein. **18. 19** ἐνεχθέντες FP, corr. Mein. **19. 20** κυτίδος FP, corr. Bri.

ἐνὸν ἐν αὐτῷ διεφόρησαν. τούτων ξυμπάντων οἱ μὲν λαμπροὶ ἀργῆτες, ὅσοι δὲ καται|θαλώσαντες τὰ πελά- p. 238 W σαντά σφισιν ἐπαύσαντο, οὗτοι δὲ ‖ ψολόεντες ἐπὶ τῷ ἔργῳ ἐκλήθησαν. καὶ οἱ μὲν εὐθείᾳ κατασκήψαντες εἰς τὸ ἔμπαλιν τῇ αὐτῇ εὐθείᾳ ἀνῇξαν, οἱ δὲ ἐκ πλαγίου ἐμπεσόντες πρὸς ἴσην γωνίαν ἄνω ἀναφέρονται· καὶ οἱ μὲν ἁπλοῖ, οἱ δὲ διπλοῖ κατέσκηψαν. | πλεῖστοι δὲ ἦρος καὶ μετοπώρου καὶ ἅμα βιαιότεροι, περὶ τὴν Πλειάδος καὶ Ἀρκτούρου ἐπιτολήν, ὅτι ἐν κινήσει καὶ παθήμασι πολυειδέσιν ὁ ἀὴρ τῇδε τῇ ὥρᾳ ἐστίν, οἷα δὴ οὔτε ὑπὸ κρύει πεπηγὼς οὔτε ὑπὸ τῷ θερινῷ ἡλίῳ ἐκκεκαθαρμένος. εἰ γάρ τοι καὶ ἐν χώραις ὅσαι νιφετώδεις | καὶ ψυχραὶ καὶ ὅσαι αὖ κεκαυμέναι ὑπὸ ἡλίου κατασκήπτουσιν, οἱ κατασκήψαντες ἐν θαύμασι ἀναφέρονται, καθάπερ ἐν Κελτοῖς καὶ παρ' Αἰγυπτίοις.

4 Stobaeus, Florileg. I 31, 8 (Vol. I p. 246, 1—247, 13 Wachsm.). Ἀρριανοῦ. Ἀρριανός φησι τὴν ὁμίχλην τῇ μὲν πρὸ νέφους ξυνίστασθαι πρὶν ἐξαναστῆναι, ἐπὶ πολὺ δὲ ἀπὸ νέφους ἐκχυθέντος καὶ σκεδασθέντος· γίγνεται δὲ ταῦτα, εἰ μὴ κρατή|σειεν αὐτῶν ὁ ἥλιος καὶ τὰ ἄλλα ἄστρα ὅσα ἐν οὐρανῷ καὶ αὐτὸς ὁ οὐρανός. ἀπὸ δὲ νεφελῶν, ὅσαι μὲν μὴ ἄγαν πιληθεῖσαι συνέστησαν,

7 sqq. cf. Lyd. l. I. 43, p. 95, 19 sqq. W.; Plin. N. H. II 135. 136 17 sqq. cf. Aristot. Meteor. I 9, p. 346 b 33 sqq.; Pseudo-Aristot. περὶ κόσμ. p. 394 a 19 sq.; Arius Didymus, Epit. fr. 11 (Doxogr. Gr. p. 451, 32 sqq.) 21 sqq. cf. Pseudo-Aristot. περὶ κόσμ. p. 394 a 27 sqq.

2 ὅσοι τε FP, corr. Heer. 6 ἴσον FP, corr. Mein. 7 post κατέσκηψαν lacunam statuit et ⟨κατασκήπτουσι δὲ πολλοὶ μὲν θέρους καὶ χειμῶνος⟩ add. Mein. ⟨κατασκήπτουσι δὲ οὐ πολλοὶ μὲν θέρους καὶ χειμῶνος⟩ (vel tale quid) add. Bri. II p. 46; hoc mente supplendum videtur 8 τὴν scripsi e Lydo τε FP 12 εἰ γάρ τοι Bri. τοιγάρτοι FP ⟨εἰ⟩ post ἡλίου (l. 13) addiderat Us. 13 αὖ Mein. ἂν FP 14 θαύματι FP, corr. Mein.
4 18 τῇ — ξυνίστασθαι Bri. ᾗ — ξυνίσταται L ⟨ὅτι⟩ ᾗ — ξυνίσταται Us., qui l. 19 post σκεδασθέντος iterat γίγνεται

ψεκάδες καταφέρονται ἐπὶ γῆν καὶ εἰς ταύτας διαλύονται ὁμίχλαι τε καὶ νεφελῶν ὅσαι μανώτεραι· ὅσαι δὲ ἐπὶ μέγα ξυστᾶσαι εἰς ὕδωρ μετέ|βαλον, ὑετοὺς ἐκ νεφῶν γεννῶσι. καὶ ὁμίχλαι μὲν τὸ πολὺ τῇ γῇ ἐφιζάνουσιν, ἅτε δὴ κεχυμένης τε ἔτι καὶ ἀξυστάτου τῆς ἀτμίδος· αἱ νεφέλαι δὲ αἴρονται εἰς τὸ ἄνω, οὐ μὴν ὑπὲρ εἴκοσίν γε ἀπὸ γῆς σταδίους οὐδὲ αὗται ἀναφέρονται. ὅθεν καὶ τῶν ὀρῶν ὅσα ὑπὲρ εἴκοσί γε ἀπὸ | γῆς σταδίους ἀνέχει ἐς εὐθὺ (ἔστι δὲ καὶ εὐαρίθμητα ταῦτα ἔν γε τοῖς καθ' ἡμᾶς τόποις) οὔτε ὑόμενα ὤφθη ποτὲ οὔτε καταπνεόμενα, οὐδὲ νεφέλη ὑπὲρ αὐτῶν ἢ καὶ ἐπ' αὐτοῖς ἱζάνουσα. ἀλλὰ τῆς Οἴτης γε ἐπὶ τῇ ἀκρωρείᾳ θύεσθαι ὅσα ἔτη λόγος καὶ Ἡρακλεῖ καὶ Φιλοκτήτῃ εἰς | μνήμην τοῦ παλαιοῦ παθήματος καὶ τὴν τέφραν ἐπὶ τῇ πυρκαιᾷ ἐν χώρᾳ μένειν· εἶναι γὰρ τὸν ἄνω ὑπὲρ γῆς ἀέρα λεπτόν τε ἤδη καὶ καθαρὸν καὶ αὐγοειδῆ, καὶ ταύτῃ διαφορεῖσθαι τοὺς ἀτμοὺς ὅσοι προσωτέρω ὑπεραναφέρονται. ὅση δὲ λεπτὴ ἀτμὶς μὴ ἐπὶ μέγα ἀρθεῖσα ἐσκε|δάσθη, ἀλλὰ ψυχθεῖσα κατηνέχθη ἐπὶ γῆν, δρόσος γίγνεται· πρὸς ἡλίου δὲ ἐπικαυθεῖσα ἐρυθαίνεται ἢ μελαίνεται, καὶ τοῦτο δεινὸ⟨ν ποιούμενοι⟩ φοινιάδα μὲν τὸ ἐρυθρὸν αὐτοῦ, ‖ ἐρυσίβην δὲ ὅ τι περ καὶ μέλαν καλοῦσι· πα- p. 247 W.

4—17 cf. Anab. VI 25, 4 i. f.; Cap., Berges- u. Wolkenhöhen bei gr. Physikern (Στοιχεῖα 5) p. 25 sqq. 10 sqq. cf. Aristot. Meteor. I 3, p. 340 b 37 sq.; I 10, p. 347 a 29 18 sqq. cf. Aristot. Meteor. I 10, p. 347 a 13 sqq.

2 μενώτεραι L, corr. Sarti 3 μετέβαλλον L, corr. Sarti 7 ὅθεν Bri. ὅτι L; epitomatoris vestigia hic et p. 192, 3. 5. 7 deprehendit Wachsm., sed cf. Bri. II p. 50 sqq. 8 γε del. Mein. 9 ἕν τε L, corr. Sarti 12 θ' ὕεσθαι L, corr. Sarti ἔτη Us. ἔτι L 16 ταῦτα L, corr. Wachsm. 17 ὅσω L, corr. Mein. προσωτέρω Bri. προτέρω L πορρωτέρω Mein. 21 δεινὸ⟨ν ποιούμενοι⟩ vel δεινο⟨ποιοῦντες⟩ vel ⟨δει⟩μαίνο⟨ντες⟩ Bri. μὴν (sed ut videtur corr. in μεινο) L φοινιάδα] Hesych. s. v. φοινιάς et Cram. An. Oxon. II p. 25, 30 confert Wachsm.

γεῖσα δὲ καὶ πεσοῦσα ἐπὶ γῆν πάχνη γίνεται. καὶ ἔστι ὅ τι περ πάχνη πρὸς δρόσον, τοῦτο χιὼν πρὸς ὑετόν, ὅτι καὶ τὸ νέφος ξυνελθὸν μὲν ἄνευ πήξεως εἰς ὑετὸν διακρίνεται, παγὲν δὲ | εἰς νιφετὸν συνάγεται. ⟨καὶ⟩ ὅτι πρὶν παντελῶς ἐς ὕδωρ ξυστῆναι τὴν νεφέλην φθάνει παγῆναι ἐς χιόνα, καὶ ἡ χρόα τῆς χιόνος τεκμηριώσασθαι παρέχει· λευκή τε γὰρ καὶ αὐγοειδής ἐστιν, ὅτι πρὶν τραπῆναι ἐς ὕδωρ παγεῖσα θρύπτεται, οἷα δὴ οὐ σμικρὰν μοῖραν τοῦ πνεύματος φωτοειδοῦς ὄν|τος συνεπιλαμβάνουσα· ἔνθεν τοι ἀφρῷ ἐς τὰ μάλιστα τὴν χρόαν ἔοικεν, ὅτι καὶ ἐν ἀφρῷ πολύ τι ἔνι πνεύματος· δηλοῦσι δὲ πομφόλυγες αἱ ἐπὶ τῶν ἀφρῶν οἷα δὴ ἐπιξέουσαι.

5 Photius, Bibl. cod. 250, p. 460 b 17 (in fine epitomes Agatharchidis libri *περὶ ἐρυθρᾶς θαλάσσης*): *ὅτι Ἀρριανὸς περὶ κομητῶν φύσεώς τε καὶ συστάσεως καὶ φασμάτων βιβλιδάριον γράψας πολλοῖς ἀγωνίσμασι πειρᾶται δεικνύναι ὅτι μηδὲν μήτε τῶν ἀγαθῶν μήτε τῶν φαύλων τὰ τοιαῦτα φάσματα ἀποσημαίνουσιν.*

6 Stobaeus, Florileg. I 28, 1^b et 2 (Vol. I p. 228, 15—231, 8 ed. Wachsm.). *⟨Ἀρριανοῦ⟩· Χαλδαίους μὲν δὴ λόγος περὶ κομητῶν ὧδε γιγνώσκειν, ὅτι εἰσί τινες καὶ ἄλλοι ἔξω τῶν φαινομένων πλανητῶν ἀστέρες, οἳ τέως μὲν ἀφανεῖς εἰσιν, ὅτι ἐπὶ πολὺ ἄνω που ἀφ'*

---

2 sqq. cf. Pseudo-Aristot. *περὶ κόσμ.* 4 p. 394 a 32 sqq. 7 sqq. cf. Aristot. De gener. anim. II 2, p. 735 b 9 sqq.; Plutarch. Quaest. conviv. VI 6, p. 691 f—692 a 6 20—p. 193, 7 cf. Apollonius Myndius apud Sen. N. Q. VII 4, 1; 17; Gundel R. E. XI p. 1171 sqq.

---

1 *ἔστι* Mein. *ἔτι* L 4. 5 *⟨καὶ⟩ ὅτι* vel *ὅτι ⟨δὲ⟩* Bri. 6 *παγὲν* L, corr Us. 6. 7 *τεκμηριῶσα* L, corr. Bri. *τεκμηριῶσαι* Mein. 8 *οἷαν* L, corr. Mein. 9 *οὐ πνεύματα* L, corr. Mein. 9. 10 *συνεπιλαμβάνεται* L, corr. Sarti 10 *ἔνθεν τοι* Bri. *ἔνθεν τε* L *ἐνθένδε* Nauck 12 *οἷα* L, corr. Sarti
6 20—p. 193, 18 eclogam 1^b Arriano, qui ecl. 2 (p. 193, 19) a Stobaeo laudatur, tribuit Mein., cf. Rehm p. 7 sq.; lemma *Ἀρριανοῦ* pro codicis P lemmate *χαλδαίων* posuit Bri.

ἡμῶν φέρονται, ἤδη δὲ καὶ ταπεινωθέντες ὤφθησαν οὕτως ξυνήνεγκόν τε εἰς τὰ ὅλα· καὶ | τούτους κομήτας καλεῖν φίλον τοῖς οὐ γιγνώσκουσιν, ὅτι καὶ αὐτοὶ ἐκ τῶν πολλῶν ἀστέρων εἰσίν. ἀφανίζεσθαι δὲ δοκοῦσιν, ἐπειδὰν ἀνενεχθῶσιν εἰς τὴν σφῶν χώραν, δύντες εἰς τὸ βάθος τοῦ αἰθέρος, ὥσπερ ἐς τὸν τοῦ πελάγους βυθὸν οἱ ἰχθῦς.

οἱ δὲ ὑπ' ἀνέμων ἢ θυέλλης ἀνα|φέρεσθαι ἔστιν ἃ γαιώδη ἐς τὸν ἄνω ἀέρα ἐδόξασαν καὶ ταῦτα ‖ ἐκπυρω- p. 229 W θέντα καὶ εἰς τὴν δίνην ἐμπεσόντα τοῦ αἰθέρος ξυμπερινοστεῖν τῷ παντὶ ἐπὶ χρόνον, ἔπειτα ἀπαναλωθέντα πρὸς τοῦ πυρὸς ἀφανῆ καθίστασθαι, καὶ τοὺς κομήτας δὲ καλουμένους ἀστέρας ταῦτα εἶναι.

Δημοκρίτου δὲ ὁ λόγος λεγόμενός ἐστιν, ὡς κατ' ἀντίλαμψιν τῶν πλανωμένων ἀστέρων πρὸς ἀλλήλους τε καὶ τοὺς ἀπλανεῖς οἱ κομῆται ξυνίστασθαι δοκοῦσι, καθάπερ πλειόνων κατόπτρων ἀντιλαμπόντων σφίσιν ἤδη τινὰ ὤφθη ἀστεροειδῆ φαντάσματα.

.... Ἀρριανός φησιν· ὅσα δὲ μένει ἐπὶ χρόνον, τὰ μὲν ὡς συμπεριφέρεσθαι τῷ οὐρανῷ, τὰ δὲ ἤδη τινὰ κατ' ἰδίαν πλάνην πλανώμενα, οὗτοί εἰσιν οἱ κομῆται ἀστέρες καὶ λαμπάδες καὶ πωγωνίαι καὶ πί-

---

8—18 cf. Epigenes apud Sen. N. Q. VII 4, 2—4; 6, 1 sq.; 7, 2; 8, 1; Rehm R. E. VI p. 65 n. 17; Gundel R. E. XI p. 1165 sqq. 14—18 cf. Diels, Fr. d. Vorsokrat. II[3] p. 32 n. 92; Sen. N. Q. VII 3, 2; Schol. in Arat. 1091, p. 545 Maass; Gundel R. E. XI p. 1167, 3 19—p. 194, 2; p. 194, 15 sq. cf. Sen. N. Q. I 15, 4

---

2 ξυνήνεγκόν τε scripsi ξενενεγκόντες F ξυνενεγκῶντες P ξυνενεγκόντες Bri. ⟨ὡς⟩ ξένοι ἐνεχθέντες Mein. 4 ἀφανίζουσι FP[1], corr. P[2] 7 οἷα ἰχθῦς FP[1], corr. P[2] 8 ἐπ' P ἔς τινα FP, corr. Bri. τινα (deleto ἔς) Heer. 9 γαιώδη F γεώδη (supra ε m. 1 suprascr. αι) P 18 δὲ] δὴ Mein. 19 lemma ἀριανοῦ add. P marg.; puncta posuit Bri., coll. Sen. N. Q. I 15 suspicatus a Stobaeo omissa esse quae Arrianus exposuisset de iis fulgoribus qui transcurrant tantum aut subinde extinguantur ὅσα δὲ] sc. σέλα, fulgores

θοι καὶ δοκίδες, καθ' | ὁμοιότητα ἕκαστα ἰδέας τῆς ἐπωνυμίας λαχόντα. τεκμήριον δὲ ὅτι μὴ παραυτίκα διαφθείρεται, ὡς εἴ γε ἐν τῷ ἀέρι ξυνίσταντο, ταχεῖα ἂν ἐγίγνετο αὐτοῖς ἐν τῷ ψυχρῷ ἡ σβέσις. ὅτι δὲ πρόσκαιρά ἐστιν, ἡ φθορὰ αὐτῶν ἐδήλωσε· καὶ ὅτι πρὸς ἄρκτοις μᾶλλόν τι ἢ ἄλλῃ | χώρᾳ συνίσταται τοῦ οὐρανοῦ, καὶ τοῦτο ἐπ' αὐτὸ φέρει, ἔνθα παχύς τε ὁ ἀὴρ μᾶλλον καὶ σύστασις οὐ ῥᾳδία ⟨δια⟩φορηθῆναι πρὸς ἡλίου. φέρονταί τε ἀτάκτως οἱ πολλοὶ τῶν κομητῶν, p. 230 W. *ἐπινεμόμενοι, ἐμοὶ δοκεῖν, τὴν ἄνω ‖ ἀναφερομένην τροφὴν καὶ ταύτῃ ἐφομαρτοῦντες. ἡ δὲ ἀρχὴ αὐτῶν ἀστεροειδής ἐστι, καθότι εἰς σφαῖραν ξυνάγεσθαι πέφυκε πᾶν ὅσον πυροειδές· ἡ δὲ κόμη αὐγοειδής, τῶν μὲν ὥσπερ ἄφετος ἀνειμένη, τῶν δὲ ἐπ' εὐθὺ ἰοῦσα καὶ | ἐς τὸ ἄνω μᾶλλόν τι ἀπὸ τοῦ ἀστέρος τεινομένη. οἱ δὲ πίθοι ὀλιγάκις πεφήνασι, καθότι πλείονος δέονται ξυναγωγῆς πυρός. ἤδη δὲ καὶ τῶν ἀπλανῶν ἔστιν οἳ ξὺν κόμῃ ἐφάνησαν, ἐπειδὰν περὶ αὐτοὺς ἀέρος ἀναφορὰ πυκνωθεῖσα ξυναφὲς ἐργάσηται τῆς κόμης τὸ εἴδω|λον, καθ-*

5—9 cf. Aristot. Meteor. I 7, p. 345 a 5—8 (Plin. N. H. II 91); Sen. N. Q. VII 11, 1; 21, 1; Schol. in Arat. 1091, p. 545 M.; Pseudo-Aristot. *περὶ κόσμ.* 4, p. 395 b 15; Bri. II p. 28 adn. 3
17 sqq. cf. Aristot. Meteor. I 6, p. 343 b 9; I 7, p. 344 a 35 — p. 344 b 6

1 *ἑκάστη ἰδέα* FP, corr. Bri. *ἑκάστῃ ἰδέᾳ* Cant. 2 *λέγοντα* FP, corr. Cant. *τυχόντα* Bri. post *λαχόντα* lacunam statuerunt Wachsm., Cap. I p. 626 adn. 1, Rehm p. 23 adn. 1, qui ⟨*ξυνίσταται δὲ τὰ σέλα ταῦτα οὐκ ἐν τῷ ἀέρι, ἀλλ' ἐν τῷ αἰθέρι*⟩ addit, sed cf. Bri. II p. 53 sq. 4 post *σβέσις*, 15 post *τεινομένη*, p. 195, 1 post *φαίνονται*, p. 195, 6. 7 post *καθίστασθαι* lacunas statuit Cap. I p. 626 adn. 1, p. 631 adn. 2, sed cf. Bri. l. l. 7 *ἐπ' αὐτὸ* scripsi coll. Herod. VII 19; Thuc. I 79, 2 *ἐπ' αὐτὸν* FP *ἐς ταὐτὸν* Bri., vocibus *καὶ τοῦτο — φέρει* in parenthesi positis 8 *καὶ μᾶλλον καὶ* F *μᾶλλον καὶ καὶ* P, corr. Wachsm. 8. 9 *φορηθῆναι πρὸς τὴν οὐ* FP, corr. Bri. 11 *ἀρχὴ*] *μορφὴ* Wyttenbach, sed cf. Bri. II p. 30 sq. 12 *εἰς φέρον* FP, corr. Cant. 14 *ἀπευθὺς οὖσα* FP, corr. Mein. 15 *ἀνώμαλόν τι* FP, corr. Cant. *ἀέρος* FP, corr. Mein.

ἅπερ καὶ ἄλως ξυναφεῖς αὐτοῖς τοῖς ἄστροις φαίνονται. ἤδη δὲ καὶ πλησίον ἡλίου ξυστάντες κομῆται οἳ μὲν ἔφθησαν ἀφανισθῆναι πρὶν τὴν γένεσιν αὐτῶν καταστῆναι ἐμφανῆ, οἳ δὲ ἐκλείποντος ἡλίου ἐξεφάνησαν, οἳ δὲ καὶ ἐπικαταδύνοντες τῷ ἡλίῳ, πρόσθεν, οἷα δὴ εἰκός, | *ὑπὸ τῶν αὐγῶν καταλαμβανόμενοι τὸ μὴ ἐμφανεῖς καθίστασθαι. ὥστε ἐκεῖνος ἂν κρατοίη ὁ λόγος ⟨ὁ⟩ ἀποφαίνων ἀέρος πιλήματα, ἀποθλιβόμενα καὶ ἐμπίπτοντα εἰς τὰ κατωτέρω καὶ τῷ ἀέρι ξυναφῆ τοῦ αἰθέρος, ἐξαφθέντα, ἔστ' ἂν ὑπάρχῃ περὶ αὐτοὺς ἡ τροφή, ξυμμένειν τε καὶ* | *ξυμπερινοστεῖν τῷ αἰθέρι, καὶ ταῦτα, ὅπως ἂν τύχῃ, ἀπὸ τῆς ἰδέας ἐπικληΐζεσθαι ἕκαστον· κομήτας μὲν ἀφ' ὧν ὥσπερ κόμη εἰς τὰ κύκλῳ ἀπολάμπει αὐγὴ πυρός· πωγωνίας δὲ ἀφ' ὅτων εἰς πώ||γωνος* p. 231 W. *σχῆμα ἀπήρτηται αὐγὴ ἐς τὸ ἐπὶ θάτερα· πίθους δὲ ὅσα μεγάλα ⟨καὶ⟩ κυκλοτερῆ καί τι καὶ βάθους ἔν σφισιν ἐξέφηνε· δοκοὺς δὲ αὖ καὶ λαμπάδας καθ' ὁμοιότητα τοῦ εἴδους ⟨οὔ⟩τως ἐπιφημίζεσθαι.* | *φαίνεται δὲ τούτων ἕκαστον καὶ ἑσπέριον καὶ ἑῷον, τὰ δὲ καὶ ἀμφιφανῆ φαίνεται· ἀμφιφανῆ δὲ κλήζουσιν ὅσα περὶ πρῶτα τῆς νυκτὸς φανέντα πρὸς δύσει ἔπειτα ἐν τῇ αὐτῇ νυκτί, πρὶν ἡμέραν ἐπιλαβεῖν, ἔφθη ἀνασχόντα.*

2—7 cf. Sen. N. Q. VII 20, 4   7—11 cf. Schol. in Arat. 1091, p. 546, 8 M.; Sen. N. Q. VII 20, 2; II 14; Lyd. de mens. IV 116, p. 164 sq. W.; Gundel R. E. XI p. 1166 sq.   11—19 cf. Pseudo-Aristot. *περὶ κόσμ.* 4, p. 395 b 10 sqq.; Gundel l. l. p. 1175 sqq.

---

1 *ἄλλως* FP, corr. Cant.   6 *αὐτῶν* FP, corr. Cant. *καταλαμβανόμενοι τὸ* scripsi *καταλιμπανόμενοι τῷ* FP *καταλαμπόμενοι τῷ* Cant. *καταλαμπόμενοι τὸ* Wachsm. *καταλαμπόμενοι ὥστε* Cap. I p. 633 adn. 2 ⟨*οὐ*⟩ *καταλιμπανόμενοι τοῦ* Bri. 7. 8 ⟨*ὁ*⟩ *ἀποφαίνων* Us. *ἀποφαίνειν* FP   10 *ὑπάρχοι* FP, corr. Mein.   11—22 cf. Rehm p. 22; Bri. II p. 55   13 *κόμη* Heer. *κόμης* FP   14 *αὐτῆς ἢ πυρός* FP, corr. Jacobs *ἀφ' ὅτων* Mein. *ἀφότω* F *ἀφότ'* P   15 *αὐγὴ* Heer. *αὐτῆς* FP 16 ⟨*καὶ*⟩ add. Wachsm. *βάθου* FP, corr. cod. August. 18 ⟨*οὔ*⟩*τως* Bri., post lacunam 5 litterarum *τῳ* F *τῷ* P *ἐπιφημίζεται* FP, corr. Bri.

ΑΡΡΙΑΝΟΥ ΠΡΟΣ ΓΕΛΛΙΟΝ ΕΠΙΣΤΟΛΗ

Ἀρριανὸς Λουκίῳ Γελλίῳ χαίρειν.

*Οὔτε συνέγραψα ἐγὼ τοὺς Ἐπικτήτου λόγους οὕτως
ὅπως ἄν τις συγγράψειε τὰ τοιαῦτα οὔτε ἐξήνεγκα εἰς
2 ἀνθρώπους αὐτός, ὅς γε οὐδὲ συγγράψαι φημί. ὅσα δὲ
ἤκουον αὐτοῦ λέγοντος, ταῦτα αὐτὰ ἐπειράθην αὐτοῖς
ὀνόμασιν ὡς οἷόν τε ἦν γραψάμενος ὑπομνήματα εἰς
ὕστερον ἐμαυτῷ διαφυλάξαι τῆς ἐκείνου διανοίας καὶ
3 παρρησίας. ἔστι δὴ τοιαῦτα ὥσπερ εἰκὸς ὁποῖα ἄν τις
αὐτόθεν ὁρμηθεὶς εἴποι πρὸς ἕτερον, οὐχ ὁποῖα ἂν ἐπὶ
4 τῷ ὕστερον ἐντυγχάνειν τινὰς αὐτοῖς συγγράφοι. τοι-
αῦτα δ' ὄντα οὐκ οἶδα ὅπως οὔτε ἑκόντος ἐμοῦ οὔτε
5 εἰδότος ἐξέπεσεν εἰς ἀνθρώπους. ἀλλ' ἐμοί γε οὐ πολὺς
λόγος, εἰ οὐχ ἱκανὸς φανοῦμαι συγγράφειν, Ἐπικτήτῳ
τε οὐδ' ὀλίγος, εἰ καταφρονήσει τις αὐτοῦ τῶν λόγων,
ἐπεὶ καὶ λέγων αὐτοὺς οὐδένος ἄλλου δῆλος ἦν ἐφιέμε-
νος ὅτι μὴ κινῆσαι τὰς γνώμας τῶν ἀκουόντων πρὸς τὰ
6 βέλτιστα. εἰ μὲν δὴ τοῦτό γε αὐτὸ διαπράττοιντο οἱ λό-
γοι οὗτοι, ἔχοι⟨εν⟩ ἂν οἶμαι ὅπερ χρὴ ἔχειν τοὺς τῶν
7 φιλοσόφων λόγους· εἰ δὲ μή, ἀλλ' ἐκεῖνο ἴστωσαν οἱ ἐν-
τυγχάνοντες ὅτι, αὐτὸς ὁπότε ἔλεγεν αὐτούς, ἀνάγκη ἦν
τοῦτο πάσχειν τὸν ἀκροώμενον αὐτῶν ὅπερ ἐκεῖνος αὐ-
8 τὸν παθεῖν ἠβούλετο. εἰ δ' οἱ λόγοι αὐτοὶ ἐφ' αὐτῶν
τοῦτο οὐ διαπράττονται, τυχὸν μὲν ἐγὼ αἴτιος, τυχὸν
δὲ καὶ ἀνάγκη οὕτως ἔχειν. ἔρρωσο.*

---

2 *Λουκίῳ Γελλίῳ*] quis fuerit ignoratur, cf. H. Schenkl in ed. Epicteti altera p. XXV adn. 2 4. 5 *ἐξήνεγκα εἰς ἀνθρώπους*] cf. Anab. I 12, 2; IV 10, 2 13. 14 *οὐ πολὺς λόγος*] cf. Ind. 5, 8 19 *ἔχοι* S (= cod. Saibantinus, nunc Bodleianus Misc. Gr. 251), corr. S^2 22 *αὐτῶν* apographa *αὐτὸν* S 23 *αὐτοὶ* Reiske *αὐτοῦ* S

ΒΙΘΥΝΙΚΑ

Photius, Bibl. cod. 93, p. 71 a, 32: *Ἀνεγνώσθη* (24 M) 1
τοῦ αὐτοῦ (sc. *Ἀρριανοῦ*) *τὰ Βιθυνικά, ἐν βιβλίοις ὀκτώ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἆλλα, ὅσα συνέστη περὶ αὐτήν, εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια. Νικομήδειον γάρ* [*τι*] *τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι, καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι. μέμνηται δὲ ἐν ταύτῃ τῇ* 2
συγγραφῇ καὶ ἑτέρων πραγματειῶν. ὧν ἡ μὲν ὅσα Τιμολέοντι τῷ Κορινθίῳ κατὰ Σικελίαν ἐπράχθη, διαλαμβάνει· ἡ δὲ τὰ Δίωνι τῷ Συρακουσίῳ ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ προτέρου, ἠλευθέρου, καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγη- 3
σιν. μετὰ γὰρ τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα καὶ Δίωνα, μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας, ἥδε αὐτῷ ἡ συγγραφὴ ἐξεπονήθη, καὶ ἐξ ἀρχῆς μέν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῷ ἐνδεῶς αὐτὸν ἔχειν παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτῳ βραδυτῆτος ἀποδίδωσιν αἰτίαν.

---

1 2 *Βιθυνικὰ* **A**, *α* suprascripsit alia manus *βιθυνιακὰ* **M**, sed *βιθυνικὰ* in capitum indice **AM** **5** *εἰς λεπτὸν* **A** *λεπτομερῶς* **M** **6** *τι* delevi **10** *ταύτῃ αὐτῇ* **A** **19** *μετὰ γὰρ* **A** *γὰρ* add. **A²**, ut videtur; *μετά τε* **M** *τὰ περὶ Ἀλ.* — **20** *Δίωνα μετὰ* om. **A** **20** *μετὰ τὰς* — *ἱστορίας* del. Bekk. **21** *καὶ* om. **A** **23. 24** *ἔχειν αὐτὸν* **M**

4 *ἄρχεται μὲν οὖν, ὥσπερ εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς τοῦ ἐσχάτου Νικομήδους, ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὔπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.*

E LIBRO PRIMO

2 (25 M) Stephan. Byz. s. v. *Ὄλυμπος, ὄρος Μυσίας.* **Ἀρριανὸς** *Βιθυνιακῶν πρώτῳ. οἱ οἰκοῦντες Ὀλυμπηνοί.*

E LIBRO SECUNDO

3 (26 M) Etymol. Magn. p. 176, 32. *Ἀφεσίου Ζεὺς ἐν Ἄργει τιμᾶται. εἴρηται δὲ ὅτι Δευκαλίων τοῦ κατακλυσμοῦ γενομένου διαφυγὼν καὶ εἰς τὴν ἄκραν τὴν Ἄργους διασωθεὶς ἱδρύσατο βωμὸν ἀφεσίου Διός, ὅτι ἀφείθη ἐκ τοῦ κατακλυσμοῦ. ἡ δὲ ἄκρα ὕστερον Νεμέα ἐκλήθη, ἀπὸ τῶν Ἄργου βοσκημάτων ἐκεῖ νεμομένων. οὕτως* **Ἀρρειανὸς** *ἐτυμολογεῖ ἐν τῷ β' τῶν* **Βιθυνιακῶν.**

E LIBRO QUINTO

4 (29ᵃ M) Steph. Byz. s. v. *Μεγαρικόν, πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν.* **Ἀρριανὸς** *πέμπτῳ· „Ἀστακός τε καὶ Ἡραία καὶ τὸ Μεγαρικόν". ἐθνικὸν Μεγαρικός.*

---

1 *ὥσπερ εἴρηται* post *ἱστορίας* collocat M 2 *τῆς* (alterum) om. M 3 *τελεῦτων* cet.] cf. App. Mithrid. 71, Emph. I 111, 517; Liv. Per. 93; Eutrop. VI 6, 1; a. 74 a. C. n., cf. Drumann-Groebe IV p. 139, adn. 12 3 9 *Ἀφέσιος Ζεὺς*] idem videtur atque *Ζεὺς Ἀπεσάντιος* qui Nemeae colebatur, cf. Pausan. II 15, 3; Steph. Byz. s. v. *Ἀπέσας, ὄρος τῆς Νεμέας . . . ἀφ' οὗ Ζεὺς Ἀπεσάντιος*; Jessen, R. E. I s. v. Apesantios et s. v. Aphesios 9. 10 *ἐν Ἄργει τιμᾶται* et *δὲ* om. Vossianus 13 *Νεμέα*] cf. Lucian. Dial. Deor. 3; Wernicke, R. E. II p. 792 4 19 *Ἡραία*] cf. Steph. Byz. s. v. *Ἡραία, ἄκρα οὕτω λεγομένη καταντικρὺ Καλχηδόνος* (e Demosthenis Bithynicis)

Steph. Byz. s. v. *Ἀστακός*, πόλις Βιθυνίας, ἀπὸ Ἀστακοῦ τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, ὡς Ἀρριανὸς ἐν Βιθυνικοῖς ἱστορεῖ. (29[b] M) 5

Steph. Byz. s. v. *Νικομήδειον*, ἐμπόριον Βιθυνίας. Ἀρριανὸς πέμπτῳ Βιθυνιακῶν. τὸ ἐθνικὸν Νικομηδεύς. (28 M) 6

Steph. Byz. s. v. *Βιθυνόπολις*, πόλις ⟨Βιθυνίας⟩, ἀπὸ Βίθυος. τὸ ἐθνικὸν ὤφειλε Βιθυνοπολίτης, εὗρον δὲ Βιθυνιαπολίτης παρὰ Ἀρριανῷ ἐν πέμπτῳ Βιθυνικῶν. δεῖ δὲ τοῦ Βιθυνόπολις εἶναι Βιθυνοπολίτης. (27 M) 7

E LIBRIS INCERTIS

Eustath. ad Dionys. 809, p. 359, 38. Ἰστέον δὲ ὅτι Διονύσιος μὲν Ἀσιανῶν ἐνταῦθα Φρυγῶν μέμνηται, ἄλλοι δέ φασι καὶ ἑτέρους Εὐρωπαίους εἶναί ποτε Φρύγας, ἐξ ὧν περαιωθέντων οἱ κατὰ τὴν Ἀσίαν ἐγένοντο. 8

Eustath. ad Dionys. 809, p. 359, 26. Ὀλβιωτάτους δὲ τοὺς Φρύγας καὶ Ἀρριανὸς ἱστορεῖ, λέγων καὶ ὅτι λέγονται Φρύγες παλαιότατοι ἀνθρώπων γενέσθαι, καὶ ὅτι μαίνονται τῇ Ῥέᾳ καὶ πρὸς Κορυβάντων κατέχονται (ἤγουν κορυβαντιῶσι δαιμονῶντες)· ὅταν δὲ κατασχῇ αὐτοὺς τὸ θεῖον, ἐλαυνόμενοι καὶ μέγα βοῶντες καὶ ὀρχούμενοι προθεσπίζουσι τὰ μέλλοντα, θεοφορούμενοι καὶ μαινόμενοι. (46 M) 9

---

5 cf. Steph. Byz. s. v. *Ὀλβία ... τρίτη Βιθυνίας* (sc. *πόλις*), *ἀπὸ Ὀλβίας νύμφης*; Toepffer, Herm. 31 (1896), p. 124 sqq.; Sölch p. 142 sqq. 6 4 *Νικομήδειον* aliunde ignotum, cf. Tscher. p. 46 7 7 *Βιθυνόπολις* Salm.; *probabiliter eadem est urbs quae ab aliis vocatur Βιθύνιον*: Müll.; cf. Ruge, R. E. III s. v. Bithynion ⟨*Βιθυνίας*⟩ add. Mein. 8 *Βιθυνοπολίτης* scripsi coll. l. 10 sq. *βιθυνοπολίτης* libri 8 14 *ἄλλοι*] sc. Xanthus (apud Strab. XIV 5, 29, p. 681), Strabo (e. g. VII 3, 2, p. 295; VII fr. 25 in.; XII 8, 3 i. f., p. 572), Arrianus, cf. fr. 19 in. 15 cf. Tom. Thrak. I p. 27 sqq.; Kretschm. p. 191 sqq.; Meyer I[2] 2, § 473
9 18 *παλαιότατοι ἀνθρώπων*] cf. Herod. II 2 19 sqq. cf. Strab. X 3, 12, p. 469; Rohde, Psyche[2] II p. 47 adn. 3

10 Eustath. ad Iliad. XVI 617, p. 1078, 20. Ἦν δὲ καὶ σίκιννις κωμικωτέρα, ἣν πρῶτον, φασίν, ὠρχήσαντο Φρύγες ἐπὶ Σαβαζίῳ Διονύσῳ, ὀνομασθεῖσαν κατὰ τὸν Ἀρριανὸν ἐπὶ μιᾷ τῶν ὀπαδῶν τῆς Κυβέλλης νυμφῶν, ᾗ ὄνομα ἦν Σίκιννις.

11 (36 M) Eustath. ad Dionys. 322, p. 274, 19. Ὅτι οὐ μόνον Εὐρωπαῖοι Μυσοὶ ἀλλὰ καὶ Ἀσιανοί. ὁ δὲ Ἀρριανὸς τῶν Εὐρωπαίων Μυσῶν ἀποίκους λέγει τοὺς ἐν τῇ Ἀσίᾳ Ὀλυμπηνοὺς Μυσούς, οἵτινες Μυσοὶ ὀνομάζονται ἢ ἀπὸ Μυσοῦ τοῦ Διὸς ἢ ἀπὸ ἑτέρου Μυσοῦ υἱοῦ Ἀργανθώνης τῆς γενναίας, τῆς ὀρεσιβίου, ἢ ἀπὸ τοῦ φυτοῦ τῆς μυσῆς ἢ τοῦ μυσοῦ, ἀμφοτέρως γὰρ λέγεται, ὅπερ τὴν ὀξύην δηλοῖ κατὰ τὴν γλῶσσαν τῶν Λυδῶν, ὡς καὶ ὁ Γεωγράφος (Strab. XII 8, 3, p. 572, e Xantho Lydio et Menecrate Elaïte, cf. Steph. Byz. s. v. Μυσία) φησίν.

12 (39 M) Steph. Byz. s. v. Ἀβρεττηνή, χώρα Μυσίας, ἀπὸ Βρεττίας νύμφης. τὸ ἐθνικὸν Ἀβρεττηνός, ὡς Ἀρριανός φησιν.

13 (37[b] M) Eustath. ad Dionys. 322, p. 274, 37. Ὁ δ' αὐτὸς Ἀρριανὸς καὶ Θράκην τινὰ ἱστορεῖ νύμφην σοφὴν

---

11 Libro I attribuit Nauck, Philol. V p. 704, coll. fr. 2; cf. Hartm., Berl. philol. Wochenschr. 1910, p. 606. Eadem, sed paulum contracta, affert Eustath. ad Dionys. 809, p. 359, 42—360, 2 7. 8 cf. Iliad. XIII 5; Strab. VII 3, 2, p. 295 (Posidon. fr. 91 M, 104 J); Plin. N. H. V 145; VII 206; Tom. Thrak. I p. 47 sqq.; Kretschm. p. 211, 391 sqq.; Meyer I², 2, p. 616 10 Ἀργανθώνης] cf. fr. 21; Steph. Byz. s. v. Ἀργανθών, ὄρος Μυσίας ἐπὶ τῇ Κίῳ, ἀπὸ Ἀργανθώνης Ῥήσου γυναικός. λέγεται καὶ Ἀργανθώνη καὶ ἡ γυνὴ καὶ τὸ ὄρος; Parthen. Narrat. amat. 36 12 16 ἀβρεττίνη RV, corr. Berkelius (accentum corr. Mein.); cf. Strab. XII 8, 9, p. 574; 8, 11 i. f., p. 576; Plin. N. H. V 123 13 20 sqq. cf. Steph. Byz. s. v. Θράκη, ἀπὸ Θράκης νύμφης Τιτανίδος, ἀφ' ἧς καὶ Κρόνου Δόλογκος· ἔστι δὲ ἡ Θράκη χώρα, ἣ Πέρκη ἐκαλεῖτο καὶ Ἀρία; s. v. Βιθυνία, . . . ἀπὸ Βιθυνοῦ τοῦ Διὸς καὶ Θράκης τῆς Τιτανίδος, ἣ ἐκ μὲν Διὸς ἔσχε Βίθυν (Βιθυνὸν Holst.), ἐκ δὲ Κρόνου Δόλογκον; App. Mithrid. 1 i. f. Βίθυν (Βιθυνὸν Sevinus) ἄρξαι πρῶτον αὐτῶν (sc. Βιθυνῶν), παῖδα Διός τε καὶ

FGrH 87/fr. 104

ἀμφὶ ἐπῳδάς τε καὶ φάρμακα, καὶ οἵαν τὰ μὲν ἐκλῦσαι τῶν παθημάτων φαρμάκοις, τὰ δὲ ἐργάσασθαι, ὁποία τις καὶ ἡ Μήδεια ἱστόρηται καὶ ἡ Ἀγαμήδη καὶ ἡ θρυλουμένη Κροκοδίκη· καὶ ἀπὸ ταύτης τῆς Θρᾴκης δοκεῖ ὠνομάσθαι ἡ χώρα, Πέρκη ποτὲ καλουμένη.

Ὁ αὐτὸς λέγει καὶ ὅτι ἔθος ἦν Θρᾳξὶ πολλὰς ἔχειν γυναῖκας, ὡς ἂν ἐκ πολλῶν πολλοὺς ἔχοιεν παῖδας, καὶ τὸ ἔθος αὐτοῖς γενέσθαι φησὶν ἀπὸ βασιλέως αὐτῶν Δολόγκου, ᾧ παῖδες πολλοὶ ἐκ πολλῶν γυναικῶν ἐγένοντο.

Eustath. ad Iliad. VII 166, p. 673, 45 Ἐνυάλιος (57 M) 14
δὲ κατὰ μὲν τοὺς πλείους ὁ πολεμικὸς ἀπὸ τῆς Ἐνυοῦς, τινὲς δὲ ὥσπερ τὴν Παλλάδα διὰ φόνον τοῦ Πάλλαντος οὕτω καὶ τὸν Ἐνυάλιον διά τι τοιοῦτον κεκλῆσθαί φασιν. Ἀρριανὸς γοῦν ἱστορεῖ ὅτι ἐλθὼν Ἄρης εἰς τὰ τῆς Θρᾴκης χωρία, ὅπου τὰ οἰκία ἦν τῷ Ἐνυαλίῳ, ἤθελε ξενισθῆναι· ὁ δὲ οὐκ ἤθελε δέχεσθαι, φάμενος οὐκ ἂν ξενίσαι ἄλλον ἢ ὃς κρείσσων αὐτοῦ τὰ πολέμια ἔλθοι. καὶ ὅς· "ὥρα σοι ξενίζειν ἐμέ, καθότι κρείσσων σοῦ φημὶ τὰ πολέμια εἶναι." τοῦ δὲ Ἐνυαλίου ἀποφάσκοντος ἔρχεται εἰς χεῖρας, καὶ ἐπὶ πολὺ τῆς μάχης ἐκταθείσης τέλος ὁ Ἐνυάλιος πίπτει ὑπὸ τῷ Ἄρεϊ, πληγεὶς ὅπλῳ τῇ ῥομφαίᾳ. διὸ καθότι μέγα τοῦτο ἆθλον ὁ Ἄρης νέος ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἐπ' αὐτῷ Ἐνυάλιος.

Θρᾴκης, οὓς ἐπωνύμους ἑκατέρᾳ γῇ (sc. Βιθυνίᾳ καὶ Θρᾴκῃ) γενέσθαι; Steph. Byz. s. v. Δόλογκοι, . . . ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ; schol. ad Lycophr. 533 Δόλογκοι . . . ἀπὸ Δολόγκου τοῦ Κρόνου καὶ Θρᾴκης

1 ἐκλῦσαι margo Y ἐκλῆσαι y ἑλκύσαι ceteri 3 Ἀγαμήδη] cf. Kern R. E. I s. v. Agamede 2 4 Κροκοδίκη] cf. fr. 39 6 cf. Herod. V 5; Menander apud Strab. VII 3, 4, p. 297; Tom. Thrak. I p. 126 14 14 Ἄρης] cf. Tom. Thrak. II 1, p. 54 15 οἰκία scripsi οἰκεῖα editiones, cf. Eustath. ad Iliad. VII 221, p. 678, 27 τοῦ δὲ οἰκία, ὃ ἐστιν οἴκους, εὐθεῖα μὲν τὸ οἰκίον . . . χρῆσις δὲ τοῦ οἰκία καὶ παρὰ τῷ πεζογράφῳ Ἀρριανῷ, ὡς πρὸ ὀλίγων μεμνημόνευται

Tzetz., Chiliad. XII 793:

ὁ δ' Ἐνυάλιος θεὸς πολεμικὸς ὑπάρχει.
κατά τινας ὁ Ἄρης μὲν παῖς Ἐνυοῦς ὢν Ἥρας,
ἄλλοις υἱὸς τοῦ Ἄρεος, ἑτέροις δὲ θεράπων,
Ἀρριανῷ δὲ ἄλλος τις Ἀρεΐ ἐσφαγμένος.

15 Eustath. ad Iliad. VI 75, p. 626, 23. Ἰστέον δὲ καὶ ὅτι περὶ Ἑλένου ἱστορία τοιαύτη φέρεται παρὰ Ἀρριανῷ. Ἠδωνοῦ Θρᾳκὸς ἀνδρὸς παῖς Ἕλενος, μάντεων διαπρεπέστατος· παρὰ τοῦτον ἐξ Ἀσίας φοιτῆσαι τὸν Πριάμου παῖδα Σκαμάνδριον, ὃν ἀπονοστήσαντα οἴκαδε μνήμην θέσθαι τοῦ τὴν μαντικὴν ἐκπαιδεύσαντος Ἕλενον ἀπὸ Σκαμανδρίου μετονομασθέντα.

16 Eustath. ad Dionys. 520, p. 316, 20. Τὴν μὲν Μάκριν, ὅ ἐστι τὴν Εὔβοιαν, Ἀβαντιάδα λέγει (Dionysius), ἀπὸ τοῦ ἐν αὐτῇ ἔθνους τῶν Ἀβάντων, Θρᾳκίου ἔθνους, ὥς φησιν Ἀρριανός, κληθέντος οὕτως ἀπό τινος Ἀργείου υἱοῦ Ποσειδῶνος Ἄβαντος.

17 (55 M) Steph. Byz. s. v. Γετία, ἡ χώρα τῶν Γετῶν ... ἔστι δὲ Θρᾳκικὸν ἔθνος ... νόμοι δὲ Γετῶν τὸ ἐπισφάζειν τὴν γυναῖκα τῷ ἀνδρὶ καὶ ὅταν ἐπικηρυκεύωνται κιθαρίζειν. Ἀρριανὸς δὲ Γετηνοὺς αὐτούς φησι.

---

16 15 Ἀβάντων] cf. Iliad. II 536 sqq.; Strab. X 1, 3, p. 445 φησὶ δ' Ἀριστοτέλης ἐξ Ἄβας τῆς Φωκικῆς Θρᾷκας ὁρμηθέντας ἐποικῆσαι τὴν νῆσον καὶ ἐπονομάσαι Ἄβαντας τοὺς ἔχοντας αὐτήν; Toepffer R. E. I p. 14 17 Ἄβαντος] cf. Steph. Byz. s. v. Ἀβαντίς, ἡ Εὔβοια, ... ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου, ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης (fr. 5, F. H. G. IV p. 333) 17 18 sqq. cf. Eustath. ad Dionys. 304, p. 270, 14 (e Steph.) νόμος δὲ Γετικὸς ἐπισφάζεσθαι τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι (cf. Herodot. V 5; Mela II 19) καὶ κιθαρίζειν ὅταν ἐπικηρυκεύωνται (cf. Theopomp. fr. 244 M) 21 Ἀρριανὸς] FGrH 115 fr. 216 Ῥιανός] Mein., Anal. Alexandr. p. 205 Γετηνοὺς] cf. Lobeck, Pathol. serm. gr. prolegomena p. 194 adn. 5; Γέται Arr. Anab. I 3, 2 sqq.; Cyn. 23, 2; Tact. 44, 1; Ac. 8

18 Steph. Byz. s. v. *Τριῆρες*, ⟨*Θράκιον*⟩ *ἔθνος*, (56 M) *ἀπὸ Τριήρου τοῦ Ὀβριάρεω παιδὸς καὶ Θράκης, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς.*

19 Eustath. ad Dionys. 322, p. 274, 30. *Ὅτι Θρᾷ-* (37[a] M) *κες οὐ μόνον Εὐρωπαῖοι, ἀλλὰ καὶ Ἀσιανοί, κατὰ τὴν Ἀρριανοῦ ἱστορίαν, λέγοντος ὥσπερ Φρύγας καὶ Μυσοὺς οὕτω δὴ καὶ Θρᾷκας ἐξ Εὐρώπης διαβῆναι εἰς Ἀσίαν μετὰ Πατάρου τινὸς ἡγεμόνος, ὅτε οἱ Κιμμέριοι τὴν Ἀσίαν κατέτρεχον, οὓς ἐκβαλόντες ἐκ Βιθυνίας οἱ Θρᾷκες ᾤκησαν αὐτοί.*

20 Eustath. ad Dionys. 793, p. 355, 44. *Ῥέειν δέ* (41 M) *φασι καὶ αὐτὸν* (sc. *τὸν Ῥήβαντα ποταμὸν*) *ἐκ τοῦ Μυσίου Ὀλύμπου, καθὰ καὶ τὸν Σαγγάριον, ὃς δὴ Σαγγάριος καὶ ναυσίπορός ἐστι καὶ μέγιστος τῶν ἐν Βιθυνίᾳ ποταμῶν, εἰσβάλλων εἰς τὸν Εὔξεινον. τοὺς δὲ Βιθυνοὺς καὶ ναυτικωτάτους ἱστοροῦσι γενέσθαι ποτέ, καὶ τὴν αὐτῶν γῆν πάμφορόν τε καὶ εὔδενδρον εἶναί φασι, καὶ λιθοτομίας ἔχουσαν πολλαχοῦ καὶ κρυστάλλους ἐν ὄρεσι φύουσαν, καὶ ἄλλα πολλὰ ἔχουσαν ἀγαθά.* (Sequuntur pauca de Bithynorum origine ex Herod. VII 75 excerpta.) *λέγεται δὲ καὶ ὅτι τὴν ἀπὸ Βοσπόρου γῆν ἕως ἐπὶ Ῥήβαντα Βιθυνοί ποτε κατέσχον· τὴν δὲ αὐτοῦ ἐπέκεινα ἐπὶ Πόντον ὀρεινὴν οἱ Θυνοὶ ἔσχον ἄχρι ποταμοῦ Κάλητος, ὡς εἶναι ὁμόρους τούς τε Θυνοὺς καὶ τοὺς Βιθυνούς, οὕτω καλουμένους ἀπό τινων ἀδελφῶν ἐπιφανῶν Θυ-*

---

18 1 ⟨*Θράκιον*⟩ addidi, cf. Steph. Byz. s. v. *Τρῆρος, χωρίον Θράκης, καὶ Τρῆρες Θράκιον ἔθνος* 2 *Τριήρου*] *Τριῆρος*? Mein. *Ὀβριάρεω* Mein. *ὀμβριάρεω* libri; *Ὀβριάρεως* idem atque *Βριάρεως*, cf. Hes. Theog. 617, 734 *παιδὸς καὶ θράκης* R *καὶ θράκης παιδός* AV 19 4 sqq. cf. Thraem. p. 329 adn. 1; Tom. Thrak. I p. 63 sqq.; Kretschm. p. 211; Meyer I[2] 2, § 473 8 *Πατάρου*] cf. Steph. Byz. s. v. *Τίος, πόλις Παφλαγονίας τοῦ Πόντου . . . Δημοσθένης δ' ἐν Βιθυνιακοῖς φησι κτιστὴν τῆς πόλεως γενέσθαι Πάταρον ἑλόντα Παφλαγονίαν*; C. I. L. V 4206 (= Dessau 4078) 20 11—19 etiam haec ex Arriano fluxisse videntur 14 *ναυσίπορος*] cf. Strab. XII 3, 7, p. 543

νοῦ καὶ Βιθυνοῦ, παίδων Φινέως κατὰ ποίησιν (ἤτοι ποιητῶν καὶ θετῶν), καθά φησιν Ἀρριανός, ὃς καὶ γνήσιον παῖδα Φινέως ἱστορεῖ Παφλαγόνα, ἐξ οὗ χώρα Παφλαγονία. καὶ γῆν λέγει Ῥηβαντίαν τὴν πρὸς τῷ Ψιλλίῳ ποταμῷ, καὶ δημιουργόν τινα ἱστορεῖ παρὰ Βιθυνοῖς Δοιδάλσην καλούμενον, οὗ ἔργον ἐν Νικομηδείᾳ γενέσθαι θαυμαστὸν ἄγαλμα Στρατίου Διός.

λέγει δὲ ὁ αὐτὸς Ἀρριανὸς καὶ ὅτι ἄλλοι Ὀδρύσου παῖδάς φασι τὸν Θυνὸν καὶ τὸν Βιθυνόν, ὧν ἡ χώρα ὁμώνυμος.

Eustath. ad Iliad. I 404, p. 125, 30 (exempla παρηχήσεως afferens) Ἀρριανός· „φῦναι Φινέα".

21 (40 M) Eustath. ad Dionys. 809, p. 360, 7. Ἀρριανὸς δέ φησιν ὅτι "Θυνὸς καὶ Μυσὸς υἱοὶ ἦσαν Ἀργανθώνης, ἥτις καλόν τι χρῆμα νύμφης ἦν, ἀφ' ὧν Θυνὸς μὲν Θυνίαν οἰκίσας ἀφ' ἑαυτοῦ ὠνόμασε, Μυσοὶ δὲ ἐπὶ τῷ Μυσῷ ὠνομάσθησαν".

22 (45 M) Eustath. ad Iliad. II 857, p. 364, 1. Ἀρριανὸς δὲ τοιαῦτα περὶ Ἀλιζώνων ἱστορεῖ· οὓς Ὅμηρος ἐν

---

20 1 κατὰ ποίησιν] verus eorum pater Iuppiter, Bithyni mater Thrace, cf. Steph. Byz. s. v. Βιθυνία, App. Mithr. 1 i. f. (v. ad fr. 13, 20; aliter Steph. Byz. s. v. Βιθύαι, ἔθνος ἐν Θρᾴκῃ, ἀπὸ Βίθυος τοῦ Ἄρεος καὶ Σήτης τῆς Ῥήσου ἀδελφῆς), Thyni (et Mysi) mater Arganthone, cf. fr. 21; Mariandynum et Thynum filios Phineo ascribit Pherec. fr. 68 M = 27 J; cf. schol. ad Apoll. Rhod. II 140 3 Παφλαγόνα] cf. Steph. Byz. s. v. Παφλαγονία, ἀπὸ Παφλαγόνος τοῦ Φινέως παιδός; Phineum in Paphlagonia regnantem faciunt Hellan. fr. 38 M = 95 J et Steph. Byz. s. v. Σήσαμον; secundum ceteros vel Salmydessi Thraciae vel in Bithynia regnavit, cf. Jessen apud Rosch. III 2, p. 2371 sq.; Jac. I p. 459 i. f. 5 Ψιλλίῳ] cf. ad p. 115, 4 6 Δοίδαλσην Th. Reinach, Gaz. d. beaux-arts 1897, I, p. 314 (= L'histoire par les monnaies p. 188) et Revue archéolog. Ser. 5, t. 24 (1926), p. 84, coll Plin. N. H. XXXVI 35 δαίδαλον libri; cf. Tom. Thrak. II 2, p. 35; Robert R. E. V p. 1266 6 eius signi imaginem exhibent nummi Bithynici nonnulli, cf. Overbeck, Gr. Plastik⁴ II p. 364 21 14 Ἀργανθώνης] cf. ad fr. 11, 10 22 19 Ὅμηρος] Iliad. II 856 sq. αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον

νεῶν καταλόγῳ φησὶν Ἀλιζῶνας, Βιθυνοί εἰσιν, ὧν Ὀδίος καὶ Ἐπίστροφος ἦρχον· καὶ ἡ Ἀλύβη, ἐν ᾗ λέγει ἀργύρου γενέθλην εἶναι, παραδείκνυται, καὶ οὐκ ἀμαυρὰ ὑπόμνησις ἀργυρίων ἔργα ὑπολελειμμένα ὁρᾶται. Ἀλιζῶνες δὲ οἱ ἄνθρωποι οὗτοι, φησί, καλοῦνται ὅτι πανταχόθεν θαλάσσῃ περιείργονται, ἀπὸ μὲν ἄρκτου καὶ ἀνατολῆς τῷ Εὐξείνῳ πόντῳ, πρὸς μεσημβρίαν δὲ καὶ νότον τῷ Ἀστακηνῷ κόλπῳ τῷ πρὸς Νικομήδειαν, πρὸς δὲ δύσιν καὶ ζέφυρον τῇ Προποντίδι καὶ τῷ Βοσπόρῳ, ὡς μὴ πόρρω χερρονήσου εἶναι τὰ πολλὰ αὐτῶν καὶ δικαιότατα λέγεσθαι διεζῶσθαι θαλάσσῃ. ὁ δ' αὐτὸς Ἀρριανὸς λέγει καὶ τὸν ῥηθέντα Ὀδίον Ῥοδοίτην ποτὲ καλεῖσθαι, εἶτα εἰς Ῥοδίον μεταπεσεῖν, εἶτα Ὀδίον κληθῆναι.

Eustath. ad Iliad. V 408, p. 565, 4. *Ἐνταῦθα* (30 M) 23
δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς ὅτι ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ ἐκάλουν Πάπαν τὸν Δία καὶ Ἄττιν τὸν αὐτόν.

Eustath. ad Iliad. VII 459, p. 691, 47. *Καὶ ὁ* (32 M) 24
Πρίηπος οὐ μόνον ἐν τῷ η λέγεται, ἀλλὰ καὶ διὰ τοῦ α Πρίαπος, καὶ διὰ τοῦ ε δὲ Πρίεπος παρὰ Ἀρριανῷ ἐν Βιθυνιακοῖς, παρ' ᾧ καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Πρίεπος διὰ τὸ γόνιμον.

τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη; variorum de hoc loco sententias et emendationes vide apud Strab. XII 3, 20 sqq., p. 549 sq.; cf. Thraem. p. 335; Sölch, Klio 19, 1925, p. 158 adn. 3

22 5 sq. cf. Plin. N. H. V 143 *hos* (Bithynos sc.) *Homerus Halizonas dixit, quando praecingitur gens mari* 23 cf. Diod. III 58, 4; Hippol., Refut. omnium haeres. V 9; inscr. apud Hepding, Attis p. 78 n. 3—5; p. 86, n. 26; Tom. Thrak. II 1, p. 42 24 21 *Πρίεπος*] cf. *Περιέπιος*, nomen mensis Bithynici, qui exeunte mense Maio incipit, cf. Ginzel, Handb. d. mathem. u. techn. Chronologie III p. 21 22 fabulam Bithynicam de Priapo affert Lucianus, De saltat. 21 23 *διὰ τὸ γόνιμον*] cf. Gruppe II p. 855, adn 4

25 (33 M) Eustath. ad Iliad. III 275, p. 414, 30. Τὸν Ἥλιον δὲ ταμίαν τῶν ὅρκων ἐνταῦθα καλεῖ ὡς πάντα ἐφορῶντα. διὸ καὶ Βιθυνοί, ὡς Ἀρριανὸς ἱστορεῖ, δίκας ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ Ἡλίου, ὡς ἂν ὁ θεὸς ἐποπτεύοι.

26 (43 M) Eustath. ad Iliad. II 754, p. 336, 12. Κατὰ τὴν ἱστορίαν τοῦ Ἀρριανοῦ καὶ Βιθυνίας ποταμὸς Ὅρκος ὄνομα, ὃς φρικωδέστατος ὅρκων τοῖς ἐκεῖ ἐνομίζετο πρὸς βίαν εἰς τὰς δίνας ἕλκων τὸν ἐπίορκον, εἰ μὴ δρόμῳ ἐξεπήδησεν.

27 Eustath. ad Odyss. IX 65, p. 1615, 3. Ἀρριανὸς δὲ λέγει καὶ ὅτε παρὰ Βιθυνοῖς τελοῦνται τὰ νεκύσια, καλεῖν ὀνομαστὶ τὰς τῶν κατοιχομένων ψυχὰς ὅσοι τελευτᾶν ἔτυχον ὑπερόριοι, καὶ κατακαλεῖν αὐτοὺς ἐς τρὶς καὶ δέεσθαι ἀνελθεῖν ὡς μετάσχοιεν τῆς δαιτός.

28 Eustath. ad Dionys. 911, p. 375, 18. Ὅτι νῆσός ποτε ἦν ἡ Τύρος, ὡς καὶ Ἀρριανὸς λέγει· "Τύρος ἡ τότε ἔτι νῆσος." ὠνόμασται δὲ ἀπὸ Τύρου τοῦ Φοίνικος, ἢ ἀπὸ γυναικὸς Τυροῦς, ἧς καὶ Ἀγήνορος ἡ Εὐρώπη, ἧς ἡ χώρα ἐπώνυμος.

29 (63 M) Eustath. ad Dionys. 270, p. 264, 17. Ὅτι Εὐρώπη ἡ χώρα ἐξ Εὐρώπης λέγεται καθὰ καὶ ὁ Λυκόφρων (1398) φησίν· ἀφ' ἧς ὁ Σαρπηδών, ὡς ἱστορεῖ Εὐριπίδης ἐν Ῥήσῳ (29). Ἀγήνορος δὲ αὕτη θυγάτηρ, ἣν Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐληΐσατο, ναυμαχίᾳ τὴν Τύρον ἑλών. σημείωσαι δὲ ὅτι ἄλλος ἐστὶν οὗτος παρὰ

---

26 cf. Plin. N. H. XXXI 23; Knaack apud Rosch. III 2 p. 2990 s. v. Prietos 27 cf. Rohde, Psyche[2] I p. 238, adn. 1 28 18 ἀπὸ Τύρου τοῦ Φ.] hoc e Steph. s. v. Τύρος 19 Τυροῦς] cf. Ioann. Antioch. fr. 6, 15, F. H. G. IV p. 544; alii aliam uxorem Agenori ascribunt, cf. Escher R. E. VI p. 1290 sq. 24. 25 Ταῦρος] cf. Eustath. ad Dion. 88, p. 234, 39 κτίσμα δὲ ἡ Γόρτυν Ταύρου ἐκείνου τοῦ τὴν Φοίνισσαν Εὐρώπην ἁρπάσαντος, ὃς Κρήτης ἦν βασιλεύς; schol. ad Lycophr. 1299; Ioann. Antioch. fr. 6, 15 i. f.

τὸν Λύκιον Σαρπηδόνα. Σαρπηδὼν μὲν γὰρ οὗτος, ὁ τῆς ῥηθείσης Εὐρώπης, ἀδελφός ἐστι Μίνωος καὶ Αἰακοῦ κατὰ τὸν Ἀρριανόν, *ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν ὁ Ὁμηρικὸς οὐκ ἂν εἴη τούτοις σύγχρονος.*

Eustath. ad Dionys. 874, p. 371, 12. *Ὅτι Κί-* (69 M) 30
λικες τὸ ἔθνος, καθά φησιν Ἀρριανός, *ἀπὸ Κίλικος τοῦ Ἀγήνορος, ὃς ἐκ Φοινίκης κατὰ ζήτησιν Εὐρώπης σταλεὶς καὶ πολλὴν γῆν πλανηθεὶς οὐδενὶ μὲν ἴχνει τῆς παιδὸς ἐνέτυχε, τὴν δὲ πολλὴν τῆς Κιλίκων γῆς κατασχὼν ἀφ' ἑαυτοῦ τὴν ἐπωνυμίαν τῇ χώρᾳ δέδωκεν.*

Eustath. ad Dionys. 391, p. 290, 13. *Ἰστέον* (65 M) 31
δὲ ὅτι ὁ μὲν μῦθος τὴν τῷ Κάδμῳ συνοικήσασαν Ἁρμονίαν Ἄρεος καὶ Ἀφροδίτης γενεαλογεῖ. Ἀρριανὸς *δὲ Ἀσιανήν τε αὐτὴν οἶδε καὶ Δαρδάνου ἀδελφήν. φησὶ γὰρ ὅτι Κάδμος ὑπὸ τοῦ πατρὸς κατὰ ζήτησιν τῆς ἀδελφῆς Εὐρώπης σταλεὶς καὶ πλανώμενος περιπετὴς γέγονεν Ἁρμονίᾳ τῇ τοῦ Δαρδάνου ἀδελφῇ καὶ ἁρπάσας καὶ εἰς τὰς νῆας ἐνθέμενος προσέσχε τῇ Βοιωτῶν γῇ, ἔνθα Θηβαίων ἐγένετο καρτερὸς πλούτῳ τε εὐδοκιμῶν καὶ τῇ ἄλλῃ σοφίᾳ.*

Eustath. ad Iliad. Π 814, p. 351, 28. *Ἱστορεῖ δὲ* (64 M) 32

---

29 3 *Ἀρριανόν*] cum ceteris auctoribus, praeter Homerum, cf. Iliad. VI 198; de hac *ἀπορίᾳ* cf. Zwicker R. E. Ser. II, vol. II p. 39; Jac. I p. 459 ad Hellan. fr. 94 30 cf. Herod. VII 91; Apollod. Bibl. III 4; v. Geisau, R. E. XI p. 390 31 12 *ὁ μὲν μῦθος*] e. g. Hesiod. Theog. 937; Apollod. Bibl. III 25; Diod. IV 2, 1 13 sqq. Arrianus secutus est Hellanicum, cf. Hell. fr. 129 M = 23 J, et Ephorum, qui ipse Hellanico usus est, cf. Eph. fr. 12 M = 120 J; v. praeterea Kern, R. E. X p. 1427 sqq.; Latte, R. E. X p. 1468 sqq.; Jac. I p. 440 sqq. 16 *περιπετὴς γέγονεν*] Samothraciae in insula, cf. fr. 32, 3 17 *καὶ ἁρπάσας*] *ἁρπάσας δὲ* U 19 *καρτερὸς* YK *ἀρχηγός* C et margo Y *κρατερός* ceteri; cf. Eustath. ad Iliad. I 266, p. 101, 45 (fr. 77 M) *τοιοῦτον δέ τι καὶ ὁ καρτερός, ὡς δηλοῖ παρὰ* Ἀρριανῷ *τὸ „Θηβαίων ἐγένετο καρτερός", ἤγουν περιεγένετο τῶν Θηβαίων καὶ αὐτόχρημα εἰπεῖν, ἐκράτησεν* 32 21 de Stra-

□ ὁ Γεωγράφος καὶ ὅτι Βάτεια ἀπὸ Βατείας προσηγόρευται τῆς Δαρδάνου γυναικός, ἧς καὶ Ἀρριανὸς μεμνημένος φησὶν ὅτι Δάρδανος ἐκ Σάμου τῆς Θρᾳκίας ἐλθὼν τὰς τοῦ Τεύκρου βασιλέως θυγατέρας ἔγημε, Νησὼ καὶ Βατείαν. καὶ ἐκ μὲν τῆς Νησοῦς ἦν αὐτῷ θυγάτηρ Σίβυλλα ἡ μάντις, ἀφ' ἧς καὶ ἄλλαι γυναῖκες ὅσαι ἐγένοντο μαντικαὶ σίβυλλαι ἐλέγοντο, οὐχ ὡς πρὸς αἵματος αὐτῇ οὖσαι ἀλλὰ διὰ τὴν ὁμοίαν θεοφορίαν τυχοῦσαι τῆς ἐπικλήσεως· ἐκ Βατείας δὲ Ἐριχθόνιος καὶ Ἶλος.

ex Arriano fortasse etiam Eustath. ad Dionys. 524, p. 317, 21. Ἐλέγετο δέ ποτε (ἡ Σαμοθρᾴκη) Δαρδανία, διὰ τὸν Δάρδανον, ὃς ἐν τῷ κατακλυσμῷ διεπορθμεύθη ἐκεῖθεν εἰς τοὺς Τρωικοὺς τόπους.

Eustath. ad Iliad. XX 214, p. 1204, 51. Περὶ δὲ Δαρδάνου φασὶν οἱ παλαιοὶ ὅτι ἐν τῷ κατακλυσμῷ τῷ κατὰ

---

bone errat Eustathius, cf. Str. XII 8, 6, p. 573; XIII 1, 34, p. 597; 3, 6 i. f., p. 623

32 1 Βάτεια (ita Eust. iuxta Βατίεια)] cf. Iliad. II 813 sq. (κολώνη) τὴν ἤ τοι ἄνδρες Βατίειαν κικλήσκουσι, ἀθάνατοι δέ τε σῆμα πολυσκαρθμοῖο Μυρίνης 3 sqq. cf. Steph. Byz. s. v. Βατίεια . . . κέκληται ἀπὸ Βατείας τινός, ὡς Ἑλλάνικος ἐν ᾱ Τρωικῶν (fr. 130 M, 24ª J); s. v. Ἀρίσβη . . . Κεφάλων (fr. 5 M, 4 J) δέ φησιν ὅτι Δάρδανος ἀπὸ Σαμοθρᾴκης ἐλθὼν εἰς τὴν Τρῳάδα τὴν Τεύκρου τοῦ Κρητὸς θυγατέρα γαμεῖ Ἀρίσβην· Ἑλλάνικος δὲ ⟨Β⟩άτειαν αὐτήν φησιν (fr. 130 M, 24ᵇ J); Diod. IV 75, 1; Apollod. Bibl. III 138 sq.; Steph. Byz. s. v. Δάρδανος (= Mnaseas fr. 28 M, F. H. G. III p. 154); Scymn. 679 sqq.; Thraemer R. E. IV p. 2171 sqq.; Jac. I p. 440 sqq. 5. 6 Σίβυλλα] cf. Steph. Byz. s. v. Γέργις . . . ἐν δὲ τῷ ἱερῷ τοῦ Γεργιθίου Ἀπόλλωνος Σιβύλλης φασὶν εἶναι τάφον; Heraclides Ponticus fr. 97 Voss = fr. II Tresp, Die Fragm. d. gr. Kultschriftst. p. 178; Pausan. X 12, 3; Rzach R. E., Ser. II vol. II p. 2081 9 Ἐριχθόνιος] cf. Iliad. XX 219 Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα, cum schol. T: ἐκ Βατ⟨ε⟩ίας τῆς Τεύκρου, ὡς Ἑλλάνικος (fr. 24ᶜ J); Dionys. Hal. I 62; Diod. IV 75, 2; Apollod. Bibl. III 140 Ἶλος] Dardani abnepos secundum Iliad. XX 232, sed cf. Apollod. Bibl. III 140 11 Δαρδανία] cf. Steph. Byz. s. v. Σαμοθρᾴκη; Plin. N. H. IV 73, e Callimacho; Pausan. VII 4, 3, ex Asio Samio 12 κατακλυσμῷ] cf. fr. 3, 11; Lycophr. 79; schol. ad Lycophr. 29, 73; Diod. V 47, 3

τὸν Δευκαλίωνα ἐκ τῆς Σαμοθράκης ἀσκὸν ἢ σχεδίαν μετὰ δερμάτων σκευάσας, καθὰ καὶ τῷ Λυκόφρονι (73) *δοκεῖ, καὶ ὑποδὺς καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιδοὺς προσοκείλας τε τῇ Τροίᾳ, μετὰ τὸ ἀναξηρανθῆναι τὸ ὕδωρ τὴν Δαρδανίαν ἔκτισεν ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου φόβῳ τῆς ἐξ ὑετῶν κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη.*

Eustath. ad Odyss. V 125, p. 1528, 13. *Ὁ δὲ* Ἀρριανὸς *ἱστορεῖ καὶ ὅτι Ἰασίων, ἀδελφὸς Ἀετίωνος καὶ Δαρδάνου ⟨τοῦ⟩ προγόνου Πριάμου, ἐκ Δήμητρος καὶ Κόρης κάτοχος γενόμενος, εἴς τε Σικελίαν ἦλθε καὶ ἐπὶ πολλὴν ἄλλην γῆν ἐπλανήθη τὰ ἐκείνης ὄργια δεικνύων· διὸ λόγον ἔσχεν ὡς Δημήτηρ αὐτῷ μίσγεται. τούτου, φησίν, υἱὸς Πάριος, ᾧ ἐπώνυμον τὸ ἐν Ἑλλησπόντῳ Πάριον ὡς οἰκιστῇ.* 33

Eustath. ad Dionys. 517, p. 315, 46 (fr. 67[a] M). *Ὁ*

---

32 1 *ἀσκὸν ἢ σχεδίαν*] cf. schol. ad Lycophr. 73 *καταλιπὼν τὴν Σαμοθράκην ἐν τῷ κατακλυσμῷ κατασκευάσας σχεδίαν καὶ ἀσκὸν ἑαυτῷ ῥάψας*; Diod. V 48, 3; Conon. § 21 5 *ὑψηλοτέραν*] cf. Iliad. XX 216 *κτίσσε δὲ Δαρδανίην ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ ἐν πεδίῳ πεπόλιστο* 33 9 Hellanico *Ἰασίων* (cf. Odyss. V 125 sqq.; Hesiod. Theog. 969 sqq.; Gundel R. E. IX p. 752) idem est atque *Ἠετίων* (cf. Iliad. I 366; VI 395 sqq.; Tümpel R. E. V s. v. Eetion 1) eumque Samothracia oriundum et Dardani fratrem fecit, cf. Hell. fr. 129 M = 23 J; 58 M = 135 J; ex Hell. pendent recentiores (e. g. Conon 21; Diod. V 48 sq.; Dionys. Halic. I 61; Strab. VII fr. 49; Apollod. Bibl. III 138); Arr. Iasiona et Aetiona (*Ἀετίων* etiam Herodes Prienensis, poeta *τῶν περὶ Δάρδανον καὶ Ἀετίωνα πράξεων*, Inschr. v. Priene 69) fratres fecit; cf. Preller-Robert, Gr. Mythol. I[4] p. 854; Jac. I p. 442 i. f.
10 ⟨*τοῦ*⟩ *προγόνου* scripsi *πρόγονος* editiones; cf. Iliad. XX 215 sqq. 12 *ὄργια*] cf. Clem. Alexandr., Protrept. II 13, 3 *εἴτε ὁ Δάρδανος ὁ Μητρὸς θεῶν καταδείξας τὰ μυστήρια, εἴτε Ἠετίων ὁ τὰ Σαμοθράκων ὄργια καὶ τελετὰς ὑποστησάμενος* 13 *μίσγεται*] cf. Odyss. l. l.; Hes. Theog. l. l.; Ovid. Am. III 10, 25 sqq.; aliter Hell. fr. 129 M = 23 J *φασὶ κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τοῦ Δήμητρος* 15 *Πάριον*] cf. Steph. Byz. s. v. *Πάριον, πόλις ἐν Ἑλλησπόντῳ κληθεῖσα ἀπὸ Παρίου τοῦ Ἰασίωνος*

δὲ *Ἀρριανός* ... φησί· Πάριος υἱὸς Ἰασίωνος, ᾧ ἐπώνυμον τὸ ἐν Ἑλλησπόντῳ Πάριον ὡς οἰκιστῇ.

34 (68 M) Eustath. ad Iliad. Π 824, p. 354, 14. *Λέγει δὲ καὶ Ἀρριανὸς οὕτω· Ζέλεια ἡ καὶ Λυκία, καὶ ὁ Ἀπόλλων ἐπὶ τῇδε τῇ Λυκίᾳ Λύκιος· διὸ καὶ Πανδάρου πατὴρ Λυκάων, οὐ πόρρω τοῦ τοιούτου ἔθνους πεσόντος τοῦ ὀνόματος· καὶ Λυκηγενεῖ Ἀπόλλωνι ἐκεῖνος εὔχεται τῷ ἐγχωρίῳ.*

35 (42 M) Eustath. ad Iliad. Ι 397, p. 123, 32. *Ἡ δὲ ἱστορία λόφον τινὰ οἶδεν Αἰγαίωνος περὶ τὴν Ἀσίαν, ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπιδύουσαι (ἤτοι πολλαί, ἢ αὐτὸ τοῦτο ἑκατὸν) καὶ τὰ ἐκεῖ πεδία λιπαίνουσαι τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον. φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία ὅτι Βριάρεως, Γῆς καὶ Οὐρανοῦ παῖς, θαλαττοκρατήσας ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ, κἀκεῖθεν ὁρμώμενος κατεστρέψατο τὰς Κυκλάδας· ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὗτος δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει εἰς ἐπωνυμίαν. σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμὸν οὐ πόρρω θαλάσσης λόφον τινὰ καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος, καὶ ἀπὸ τοῦ λόφου*

---

34 4 cf. Strab. XII 4, 6, p. 565; XIII 1, 7, p. 585; 1, 33, p. 596 6 *Λυκάων*] Iliad. IV 88 sq. 7 *εὔχεται*] Iliad. IV 119

35 14 *Βριάρεως*] Iliad. I 403 sq. (*ἑκατόγχειρα*) *ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίων(α)*; cf. Tümpel R. E. I s. v. *Aigaion*; R. E. III s. v. *Briareos*; Jac. I p. 499 sq. ad Conon. fr. 2 14. 15 *Γῆς καὶ Οὐρανοῦ παῖς*] cf. Hes. Theog. 147 sqq. 15 *θαλαττοκρατήσας*] cf. Plin. N. H. VII 207 *longa nave ... primum navigasse ... auctor est ... Archemachus* (fr. 5 M, F. H. G. IV p. 315) *Aegaeonem* 15 sqq. cf. Hesych. s. v. *Τιτανίδα· τὴν Εὔβοιαν, παρόσον Βριάρεως θυγάτηρ ἦν*; Steph. Byz. s. v. *Κάρυστος ... ἐκαλεῖτο δὲ καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος* (ita Eustath. ad Iliad. p. 281, 3, *αἴγωνος* libri Stephani) *τοῦ δυναστεύοντος, ἀφ' οὗ καὶ τὸ πέλαγος Αἰγαῖον*; schol. ad Apollon. Rhod. I 1165 *τὸ δὲ Αἰγαῖον πέλαγος ... οἱ δὲ ἀπὸ τῆς Καρυστίας τῆς Αἰγαίης ὀνομαζομένης*; Eustath. ad Dionys. 135, p. 240, 20 19 *σῆμα*] cf. Apollon. Rhod. I 1165 *Ῥυν-*

τούτου πίδακας ἐκδιδόναι ἑκατὸν καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω.

Eustath. ad Iliad. I 402, p. 124, 3. *οὕτως οὐδὲ ὁ μυθικὸς Βριάρεως φίλα φρονεῖ τῷ πατρί, ἢ Κρόνῳ ὄντι κατὰ τὸν* Ἀρριανὸν *ἢ Ποσειδῶνι κατά τινας.*

Eustath. ad Dionys. 140, p. 240, 33. *Ὅτι μετὰ* (35 M) 36 *τὴν Προποντίδα τὸ τοῦ Θρᾳκικοῦ Βοσπόρου στόμα ἐστίν, ἤγουν ὁ Θρᾳκικὸς Βόσπορος, ὁ καὶ Μύσιος . . . τὸν δὲ Θρᾳκικὸν τοῦτον Βόσπορον οἱ μέν φασιν εἶναι τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά. φησὶ γοῦν περί τινος* Ἀρριανός, *ὅτι "ἐλαύνει ἐπὶ Χρυσόπολιν, ἔνθα ὑπὸ νύκτα περάσας τὸν Βόσπορον" καὶ τὰ ἑξῆς. οἱ δὲ μάλιστα τὰ ἄνω που τοῦ καλουμένου Ἀνάπλου. τοῦτον δὲ τὸν Βόσπορον ἐνήξατο, φησί* (Dionys. 140 sq.), *ποτὲ ἡ Ἰὼ βουλαῖς Ἥρας δάμαλις οὖσα. διὸ καὶ Βόσπορος λέγεται, οἱονεὶ βοὸς πόρος τῆς ἐκείνης οἰστροπλῆγος, περὶ ἧς* Ἀρριανὸς *οὕτω φησί· "πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὅ ποτε Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ᾤκουν ποτὲ τῆς Θρᾴκης, ὕστερον δὲ ⟨Θρᾴκιος⟩ Βόσπορος, ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρηθεῖσαν εἰς τοὺς χώρους τούτους ἀφικέσθαι καὶ ταύτῃ διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν." λέγει δὲ ὁ* αὐτὸς *καὶ ὅτι κατά τινας οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ' ἀπό τινος ἑτέρας ὠνόμασται, ἥτις, φησί, Φρυγῶν ἐπικειμένων, ἐμβάλλει ἀδεῶς εἰς*

θακίδας προχοὰς μέγα τ' ἠρίον Αἰγαίωνος, cum scholiis; Hasluck, Annual of the Brit. School at Athens 18, p. 302 sq.; Cyzicus p. 64

35 5 *Ἀρριανὸν*] sed vide p. 210, 14. 15 *Ποσειδῶνι*] ita Aristarchus, cf. schol. AD ad Iliad. I 399; schol. T ad Iliad. I 404

36 19 ⟨*Θρᾴκιος*⟩ addidi; cf. p. 212, 8 sqq.; Strab. XII 4, 8, p. 566 *Διονύσιος ὁ τὰς κτίσεις συγγράψας* (R. E. V p. 929 s. v. Dionysios 107), *ὃς τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά, ἃ νῦν Θρᾴκιος Βόσπορος καλεῖται, πρότερόν φησι Μύσιον Βόσπορον προσαγορεύεσθαι*; schol. ad Apoll. Rhod. II 168 i. f. *δύο δέ εἰσι Βόσποροι, Κιμμέριος καὶ Θρᾴκιος, ὁ πάλαι Μύσιος καλούμενος*

τὴν θάλασσαν, καὶ περαιοῦται ἀβλαβῶς τὸν κατὰ Χαλκηδόνα καὶ Βυζάντιον Βόσπορον· καὶ οὕτω καθηγεμὼν ἐκείνοις γίνεται κατά τινα θεοφορίαν (*ἤγουν μαντείαν*), *ἥτις διεκελεύετο βοῦν ἡγεμόνα τῆς ὁδοῦ ποιήσασθαι· ὃ καὶ ποιήσαντες ἐκεῖνοι διεπεραιώσαντο ἀσφαλῶς. καὶ μνῆμα, φησί, τοῦ πόρου τούτου ἕστηκε βοῦς χαλκῆ, ὑστέρῳ ποτὲ χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα ... Θρᾴκιος δὲ ὁ Βόσπορος καλεῖται ἀπὸ τῶν πρὸς δύσιν αὐτοῦ οἰκούντων Θρᾳκῶν, ὥσπερ ἀπὸ τῶν ἀντιπέραν ποτὲ Μυσῶν ἐκλήθη, ὡς εἴρηται* (p. 211, 18), *Μύσιος.*

Dionysius Byzantius, De Bospori navigatione (ed. C. Wescher, Parisiis 1874) 7, p. 5. *Περὶ μὲν οὖν τῆς ἄκρας, ἣν Βοσπόριον καλοῦμεν, διττὸς κατέχει λόγος· οἱ μὲν γάρ φασι βοῦν οἴστρῳ κατ' αὐτὴν ἐνεχθεῖσαν διανήξασθαι τὸν μεταξὺ πόρον, οἱ δὲ μυθωδέστερον ἀπομνημονεύοντες Ἰὼ τὴν Ἰνάχου κατὰ ζῆλον Ἥρας ἐλαυνομένην ἔνθεν εἰς τὴν Ἀσίαν διαπεράσαι.* Ad haec ultima in margine ascriptum est scholion (p. 37, n. 11): *τοῦτο καὶ Ἀ ρ ι α ν ὸ ς λέγει ἐν τοῖς Β ι θ υ ν ι α κ ο ῖ ς αὐτοῦ.*

37 (61 M) Eustath. ad Dionys. 803, p. 356, 32. *Κατὰ δὲ τὴν Ἀ ρ ρ ι α ν ο ῦ ἱστορίαν ἐπώνυμός ἐστιν ἡ τῶν Χαλκηδονίων πόλις τῷ Κρόνου υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρώτως μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδών, ἔπειτα ἡ πόλις, Δωριέων ἀποικησάντων ὑστέροις χρόνοις, ὁμώνυμος γίνεται τῷ ποταμῷ.*

ἱστορεῖ δὲ ὁ α ὐ τ ὸ ς καὶ ὅτι τοῖς Χαλκηδονίοις ἀποφρὰς νομίζεται παντὸς μηνὸς φθίνοντος ἐνάτη (*ἤγουν, ὡς τοῖς Ἀττικοῖς ἀρέσκει, αἱ εἰκοσταὶ πρῶται τῶν ὅλων μηνῶν ἀπαίσιοι αὐτοῖς κρίνονται*), *διότι ἐν τοιαύταις ἡμέραις ἄλλας τε δυστυχίας αὐτοὶ ἔπαθον καὶ Φαρνάβαζος δὲ ὁ Πέρσης τοὺς αὐτῶν παῖδας ἐκτεμὼν εἰς τὸν*

---

86 4 *τῆς ὁδοῦ ποιήσασθαι* codices praeter **UM**, qui *καταστῆσαι τῆς ὁδοῦ*   6 *βοῦς χαλκῆ*] cf. Polyb. IV 43, 6

Δαρεῖον ἀνέπεμψε. κατασκῆψαι δέ φησιν αὐτοῖς καὶ νόσον ἐκ θεομηνίας, τὸ αὐτοὺς τὰ σφῶν ἀποτέμνειν αἰδοῖα, διότι θυσιῶν τινων κατημέλησαν.

Eustath. ad Dionys. 805, p. 358, 14. *Ὅτι* (50 M) 38
μετὰ τοὺς Χαλκηδονίους Χαλκιδέας οἱ Βέβρυκες κεῖνται, οἳ οὕτως καλοῦνται ἀπὸ Βέβρυκός τινος ἡρωϊκοῦ ἀνδρὸς ἢ ἀπὸ Βεβρύκης γυναικός. τούτους τοὺς Βέβρυκας ἱστορεῖται μείζω δοκεῖν ἔχειν τὰ σώματα ἢ καθ' ἡλικίαν ἀνθρώπων, παρ' οἷς καὶ ὁ Βέβρυξ ἐκεῖνος Ἀράντας, ᾧ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις, εὖρος δέ, ὡς Ἀρριανός *φησιν, ὅσον τοσᾷδε μήκει ἐς κουφότητα ξύμμετρον (ἤγουν ὅσον ἦν ξύμμετρον πρὸς τοὺς ὀκτὼ πήχεις τοῦ μήκους εἰς τὸ κούφως βαίνειν τὸν ἄνθρωπον). κατὰ δὲ τοῦ τοσούτου ἀνδρὸς νικηφόρος γέγονεν εἰς μονομαχίαν συστὰς νεανίας ἐτῶν ἑπτακαίδεκα.*

τὴν δὲ ῥηθεῖσαν Βεβρύκην τοῦ Αἰγύπτου μὲν ἀδελφόπαιδά φασι, μίαν δὲ τῶν θυγατέρων τοῦ Δαναοῦ, ἀδελφὴν τῆς Ὑπερμήστρας. φείσασθαι δὲ λέγουσι καὶ αὐτὴν Ἱππολύτου τοῦ αὐτανεψιοῦ νυμφίου, ὡς καὶ τὴν Ὑπερμήστραν τοῦ Λυγκέως, καὶ φυγεῖν σὺν ἐκείνῳ καὶ πολλὰ δυνηθῆναι διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίαν σοφίαν· διὸ καὶ Βεβρύκην ἢ Βεβρυκίαν ἀπ' αὐτῆς κληθῆναι τὴν χώραν εἰς ἣν ἔφυγε.

Eustath. ad Odyss. IV 228, p. 1493, 47. *Ἰστέον δὲ* 39
ὅτι κατὰ Ἀρριανὸν *ἐφαρμάκου μὲν οἶνον καὶ ἡ παρ' αὐτῷ Κροκοδίκη, οὐκ ἐφ' ὁμοίοις δέ· φησὶ γὰρ ἐκεῖνος ὅτι ἡ φαρμακὶς Κροκοδίκη οἶνον νέμουσα κατὰ τέλη τῇ*

---

37 1 *Δαρεῖον*] secundum sc., qui anno 404 mortuus est; cf. Ruge R. E. X p. 1556 38 5 *Βέβρυκες*] cf. Ed. Meyer, Gesch. der Troas p. 12 sqq.; Tom. Thrak. I p. 35 6. 7 *οἳ — γυναικός*] e Steph. Byz. s. v. *Βεβρύκων ἔθνη* 16—23 etiam haec Arriani videntur 16 *Βεβρύκην*] cf. Apollod. Bibl. II 19 i. f.; Marmor Parium 15 26 Crocodice apud solum Arrianum memorari videtur

τοῦ πατρὸς στρατιᾷ ἐμβάλλει εἰς τοὺς κρατῆρας ῥίζας, λήθης καὶ ὕπνου φάρμακα — οἱ δὲ ἔκειντο ἡμιθανεῖς ὑπὸ τοῦ πόματος καὶ ἐφθάρησαν ὑπὸ τῶν πολεμίων — δι' ἔρωτα Πριηνέως νεανίου.

Eustath. ad Iliad. XI 739, p. 881, 60 (fr. 38 M). (post memoratas Agameden et Medeam veneficas, cf. fr. 13, 3) *Ἀρριανὸς δὲ καὶ Κροκοδίκην τινὰ ἱστορεῖ οὐδὲν ἧττον γυναῖκα γοητευτρίαν.*

Eustath. ad Odyss. X 276, p. 1657, 52. *Λέγει δὲ καὶ πολυφάρμακον τὴν Κίρκην, ὁποία ἦν καὶ ἡ παλαιὰ Μήδεια καὶ ἡ Κροκοδίκη.*

40 (17 M) Eustath. ad Dionys. 916, p. 378, 39. *Ἀρριανὸς δὲ περὶ τούτων οὕτω γράφει· ἐν Δάφνῃ τῇ πρὸς Ἀντιοχείᾳ ἄλσος τι ἱερὸν Ἀπόλλωνος, καὶ αὐτὴ ἐκείνη ἡ δάφνη δείκνυται, ἥν τινες γῆθεν ἀνασχεῖν λέγουσιν ἐπὶ τῇ Δάφνῃ τοῦ Λάδωνος, ἣ φεύγουσα τὸν ἐραστὴν Ἀπόλλωνα ηὔξατο τὸν ὑπὸ γῆν ἀφανισμὸν καὶ ἔτυχε τῶν εὐχῶν.*

41 (44 M) Eustath. ad Iliad. V 144, p. 532, 44. *Ὁ μὲν Ὑπείρων ἐκ μόνης τῆς ὑπεὶρ προθέσεως παρῆκται, . . . οὕτω δὲ καὶ . . . ἐκ τῆς ὑπὸ Ὕπιος ὁ παρὰ Ἀρριανῷ ποταμός.*

42 (31 M) Eustath. ad Dionys. 939, p. 382, 38. *Ὅτι ὁ Διονύσιος ἐπιτόμῳ ἐγκωμίῳ τὴν Ἀραβίαν σεμνύνας κατὰ τὸ*

---

39 4 *Πριηνέως*] cf. Tom. Thrak. II 1, p. 42; Höfer apud Rosch. III 2, p. 2990 s. v. Prieneus 2; an idem atque adulescens qui Aranta vicit (cf. fr. 38, 14. 15)? 40 13 *de Pontica Daphne loquens auctor etiam alterius Daphnes mentionem iniecerit*: Müll. 15 *δάφνη*] in loco, cui nomen *Δάφνη μαινομένη* (cf. Arr. Per. 25, 4), sito in Bospori ora Asiatica, ad sepulchrum Amyci Bebrycum regis laurus erat, de qua sic Plin. N. H. XVI 239: *eius* (Amyci sc.) *tumulus a supremo die lauro tegitur, quam insanam vocant, quoniam, si quid ex ea decerptum inferatur navibus, iurgia fiunt, donec abiciatur*; cf. Androetas Tenedius (F. H. G. IV p. 304) in schol. ad Apoll. Rhod. II 159 41 20 *Ὕπιος*] cf. Arr. Per. 13, 2

προσεχὲς ἐπάγει μῦθον, ὅτι ὄντως ἐκεῖ Ζεὺς τὸν Διόνυσον ἐλύσατο παρὰ μηροῦ εὐραφέος· ἀφ' οὗ καὶ Εἰραφιώτης, ὡς προερρέθη (ad Dionys. 566), *ἐκλήθη κατά τινας. τοῦτο δὲ Ἀρριανὸς ἐπὶ Σαγγαρίῳ μυθοπλαστεῖ, λέγων ὅτι πρὸς ταῖς ὄχθαις τοῦ Σαγγαρίου ἔρρηξε τοὺς δεσμοὺς τοῦ Διὸς ὁ Διόνυσος ἤδη τρόφιμος ὤν.*

Eustath. ad Dionys. 791, p. 355, 2. *Ἀρριανὸς* (47 M) 43
δὲ οὕτω γράφει περὶ τῶν τοιούτων· ἐπέκεινα Σαγγαρίου ὅμοροι Παφλαγόνων Μαριανδυνοί, ἔνθα πόλις Ἡράκλεια πεπόλισται, ὅπου Κιμμέριοι πόαν φαγόντες ἀκόνιτον ἐδυστύχησαν· ἦν γὰρ αὐτοῖς πάτριον τὸ ποηφαγεῖν. □

Eustath. ad Odyss. XI 14, p. 1671, 27. *Ἀρριανὸς* 44
δέ φησιν ὅτι Κιμμέριοι Σκυθικὸν ἔθνος ἐξ ἠθῶν τῶν οἰκείων ἀναστάντες καὶ πάντας τοὺς διὰ μέσου βλάπτοντες ἦλθον ἕως Βιθυνίας.

Steph. Byz. s. v. *Ἀλμήνη, πόλις πρὸς τῷ Εὐ-* (62 M) 45
ξείνῳ πόντῳ, ὡς Ἀρριανός.

Eustath. ad Dionys. 378, p. 287, 14. *Ἀρριανός* (49 M) 46
φησιν ὅτι Ἐνετοὶ πονήσαντες ἐν μάχῃ κατὰ Ἀσσυρίους □
καὶ ἀποπεράσαντες εἰς Εὐρώπην ᾠκίσθησαν πρὸς Πάδῳ τῷ ποταμῷ, καὶ τῇ ἐπιχωρίῳ γλώττῃ Βενετοὶ ἐς τοῦτο

---

43 10 *ἀκόνιτον*] cf. Strab. XII 3, 7 i. f., p. 543 *ἐν δὲ τῇ Ἡρακλειωτίδι γίνεται τὸ ἀκόνιτον*; Plin. N. H. XXVII 4 i. f.; Dion. Perieg. 788—792 cum Eustathii comm.; Wagler R. E. I p. 1181 sq.
44 13 *Σκυθικὸν ἔθνος*] sed cf. Bury, Klio 6, 1906, p. 87; Lehmann-Haupt, R. E. XI p. 422 sqq. 15 cf. Eustath. ad Dionys. 142, p. 242, 31: *Κιμμέριος δὲ* (sc. *Βόσπορος*) *διὰ τὸ παροικοῦν ὁμώνυμον ἔθνος, οὗ πολὺς λόγος ὡς τὴν Ἀσίαν ἣν ὅτε καταδραμόντος ἕως καὶ εἰς αὐτὴν Βιθυνίαν* 45 16 *Ἀρμένη* Arr. Per. 14, 4, Paphlagoniae oppidum, cf. Hirschfeld R. E. II 1180 46 fabula de Venetis e Paphlagonia oriundis nata est ex Iliad. II 852, cf. Strab. V 1, 4, p. 212; XII 3, 8, p. 543; Nissen, Italische Landesk. I p. 489 sq.; Tom., Thrak. I p. 26; De Sanctis, Storia dei Romani I p. 156; eos propter cladem ab Assyriis acceptam emigrasse Arriano proprium est

ἔτι ἀντὶ Ἐνετῶν κληΐζονται καὶ Βενετία ἡ γῆ ἥντινα νέμονται.

47 (54 M) Eustath. ad Dionys. 783, p. 353, 36. *Περὶ τούτου* (de Iride flumine) *ὁ Ἀρριανὸς ταῦτά φησιν· Αἶμος βασιλεὺς Σκυθῶν, οὗ υἱὸς Ἐρίδιος, ἀφ' οὗ ὁ Ποντικὸς ποταμὸς κληθεὶς Ἐρίδιος ὕστερον εἰς τὸ δεξιώτερον μετωνομάσθη Ἶρις.*

48 (58ᵃ M) Eustath. ad Dionys. 828, p. 363, 34. *Ἔθνος δὲ γυναικεῖον αἱ Ἀμαζόνες πρὸς τῷ Θερμώδοντι, διὸ καὶ ἀπὸ μητέρων ἐγενεαλογοῦντο, καθάπερ Ἀρριανὸς ἱστορεῖ.*

49 (58ᵇ M) Eustath. ad Dionys. 828, p. 363, 1. *Ὅτι δὲ αἱ Ἀμαζόνες πολλοὺς ἐν Ἀσίᾳ κατέσχον τόπους ποτὲ δηλοῦσι καὶ κρῆναί τινες Ἀμαζόνων ὁμώνυμοι, ναὶ μὴν καὶ πόλεις, οἷον ἡ Ἔφεσος αὕτη, ἡ Ἀναία, ἡ Μύρινα, ἡ Αἰολικὴ Κύμη. ἔστι δὲ καὶ Ἐλαία τόπος πρὸς τῇ Νικομηδείᾳ κατὰ τὸν Ἀρριανὸν ἀπὸ Ἐλαίας Ἀμαζόνος, καὶ πρὸς τῷ Πόντῳ δὲ Θίβα (τόπος διὰ τοῦ ι ἔχων τὴν παραλήγουσαν), ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέος ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, ὧν αἱ διάφοροι (τουτέστιν αἱ ὑπερέχουσαι καὶ ἀξιολογώτεραι) κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν εἰσὶν αὗται πρὸς ὄνομα, Τράλλα, Ἰσοκράτεια, Θίβα, Πάλλα καὶ ἄλλαι.*

---

47 4 *Αἶμος*] cf. Eustath. ad Dionys. 428, p. 298, 1 *ὁ Αἶμος . . . ἀπό τινος βασιλέως Σκυθῶν*; an Arrianus Scythas ante Thracas in Haemo monte habitasse narravit? cf. fr. 54 7 *Ἶρις*] cf. Xen. Anab. V 6, 9; VI 2, 1; Strab. XII 3, 15, p. 547; Arr. Per. 15, 3 48 8 sq. *ἔθνος — Θερμώδοντι* e Steph. Byz. s. v. *Ἀμαζόνες*; ex Arriano fluxisse quae de Amazonibus tradit Procopius Bell. Goth. IV 3, 7, suspicatur Gutschm. V p. 117
49 11—15 etiam principium huius loci Arriani esse videtur; e Strab. utique non fluxit, qui XI 5, 4, p. 505, XII 3, 21, p. 550 Ephesum, Smyrnam, Myrinam, Cymas quidem ab Amazonibus conditas tradit (cf. Leonhard, Hettiter u. Amazonen p. 44 sqq.), sed Anaeam non memorat; Arr. pendet ab Ephoro, cf. Steph. Byz. s. v. *Ἀναία . . . κέκληται ἀπὸ Ἀναίας Ἀμαζόνος ἐκεῖ ταφείσης, ὡς Ἔφορος* (fr. 86 M, 166 J) 15 cf. Steph. Byz. s. v. *Ἐλαία* i. f. *καὶ Ἐλαία Βιθυνίας ἐπίνειον πλησίον Μυσίας*

Steph. Byz. s. v. *Θιβαΐς, τόπος πρὸς τῷ Πόντῳ, ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ὑφ' Ἡρακλέους ἀναιρεθεισῶν κληθεῖσα. πεσεῖν γάρ φησι ⟨Ἀρριανὸς⟩ τὰς μάλιστα διαφέρουσας, Τράλλαν τε καὶ Ἰσοκράτειαν καὶ Θίβαν καὶ Πάλλαν καὶ Κοίαν καὶ Κοινίαν.*

Steph. Byz. s. v. *Ἀμαζόνειον . . . ἔστι καὶ ἐν* (59 M) 50
Βιθυνίᾳ Μαζαῖον κατὰ παραφθοράν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. τὸ ἐθνικὸν Μαζαεὺς ὡς Μιδαεὺς καὶ Ἰορυλαεύς.

Eustath. ad Dionys. 772, p. 352, 31. *Ἀρριανὸς* (48 M) 51
δὲ τοὺς περὶ Μεσοποταμίαν Ἀσσυρίους λέγει, ἐν οἷς φησι τοὺς πρὸς Εὐφράτῃ ποταμῷ Ἀσσυρίους, ἔστε ἐπὶ Νῖνον καὶ Βαβυλῶνα· καθ' ὧν Ἀμαζόνες ἐστράτευσαν, Εὐρυπύλης ἡγουμένης αὐτῶν· καὶ τοὺς Καππαδόκας δὲ οὕτω ποτὲ ἱστορεῖ λέγεσθαι, ἐν οἷς φησι Καππάδοκα παῖδα Νινύου, ἐφ' ὅτῳ Ἀσσύριοι μεταβαλόντες τὸ ὄνομα Καππαδόκαι ὠνομάσθησαν.

Eustath. ad. Dionys. 767, p. 350, 17. *Ἀρριανὸς* (51 M) 52
δὲ οὕτω φησίν· Χάλυβες πρῶτοι ἀνθρώπων αἰτίαν ἔχουσι χαλκεύσασθαι σίδηρον.

Eustath. ad Dionys. 1005, p. 390, 11. *Τοὺς* (78 M) 53
δὲ Πέρσας, ὧν μητρόπολις ἡ Βαβυλών, Κηφῆνάς ποτε καλεῖσθαί φησιν ὁ Ἀρριανός.

---

49 3 *φησι* V *φασι* AR ⟨*Ἀρριανὸς*⟩ add. Mein. ex Eust. 5 *Κοίαν καὶ Κοινίαν*] cf. Steph. Byz. s. v. *Κύννα, πολίχνιον πλησίον Ἡρακλείας, ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ἢ Κύννου τοῦ ἀδελφοῦ Κοίου* **50** 7 *Μαζάειον*? Mein. 8 *μαζαιεύς* libri, corr. Salm. **51** 12 cf. Arr. Anab. VII 21, 2 sqq.; de vocibus *Ἀσσύριος* et *Σύριος* cf. Nöldeke, Herm. 5, p. 443 sqq.; Marqu., Philol. Suppl. 10, p. 108 sqq. 14 sq. cf. Meyer I² 2, § 465 **52** cf. Meyer I² 2, p. 622; Cumont, Études syriennes p. 199 sq. **53** Secutus est Hellanicum, cf. Hell. fr. 160 M = 59 J (ap. Steph. Byz. s. v. *Χαλδαῖοι*) et Jac. ad h. l.; de Cephenibus cf. Marq., Philol. 55, 1896, p. 236; Latte, R. E. XI p. 222

□ 54 (52 M) Eustath. ad Dionys. 669, p. 338, 38. *Σκυθῶν δὲ ἡ τοιαύτη πᾶσα γῆ, περὶ ὧν ἱστορεῖ Ἀρριανὸς ὅτι σιτοφάγοι ποτὲ καὶ ἀροτῆρες ὄντες καὶ οἰκίας οἰκοῦντες καὶ πόλεις ἔχοντες, ἐπειδὴ ὑπὸ Θρᾳκῶν ἐπλήγησαν, μετέβαλον τὰ πρότερον ἤθη καὶ ἀρὰς ἐπηράσαντο μεγάλας μήποτε οἰκίαν ἔτι δείμασθαι μήτε ἀρότρῳ γῆν ἀναρρῆξαι μήτε πόλεις δομήσασθαι μήτε κτῆμα κειμήλιον ἐπικτήσασθαι, ἀλλ' οἴκους μὲν ποιήσασθαι ἁμάξας, □ τροφὴν δὲ κρέα θήρεια, πόμα δὲ ταὐτὸ καὶ τροφὴν τὸ γάλα, θρέμματα δὲ κεκτῆσθαι μόνα, ἅπερ ἄγεσθαι αὐτοῖς ἔμελλεν ἄλλην γῆν ἐξ ἄλλης ἀμείβουσι, καὶ ἀπὸ τοῦδε ἀντὶ γεωπόνων γενέσθαι νομάδας.*

55 (60 M) Eustath. ad Dionys. 549, p. 324, 40. *Ἀρριανὸς* □ *δὲ οὕτω φησί· Φαναγόρεια, ἣν ἔκτισε Φαναγόρας ὁ Τήιος, φεύγων τὴν τῶν Περσῶν ὕβριν· ἔτι δὲ Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μυτιληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο.*

56 (67[b] M) Eustath. ad Dionys. 517, p. 316, 7. *Ἀρριανὸς δέ φησι καὶ ὅτι Θάσος ἀπὸ Θάσου καλεῖται Ποσειδῶνος*

---

54 cf. Ind. 7, 2; Eustath. ad Dionys. 549, p. 325, 8—12, et v. ad fr. 47, 4   3 *ἀρωτῆρες* libri, correxi   55 14 *Φαναγόρεια* K et alii complures *Φαιναγόρεια* vulg.   *Φαναγόρας* KY *Φαιναγόρας* vulg.   *ὁ Τήιος* Holst. *ὅστις* L *ὁ Τῖος* ceteri; cf. Steph. Byz. s. v. *Φαναγόρεια, πόλις ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίᾳ* (fr. 164 M, 212 J); Anon. Peripl. P. Eux. 47 (= Ps.-Scymn. 886 sq.) *Φαναγόρειά τε, ἣν Τηΐους λέγουσιν οἰκίσαι ποτέ*; Bilabel, Die jonische Kolonisation p. 197   15 *ἔτι* Bernh. *ἐπὶ* vel *ἐπεὶ* libri   *Ἑρμώνασσα*] cf. Kiessl. R. E. VIII p. 895 sqq. (qui minus recte de hoc loco iudicat); Bilabel l. l.   56 22 *ἀπὸ Θάσου*] cf. Herodot. VI 47; Apollod. Bibl. III 4 i. f.; Conon 37; Pausan. V 25, 12; Steph. Byz. s. v. *Θάσος . . . ἔνθα Τηλέφη ἡ τῆς Εὐρώπης θνήσκει μήτηρ. ἀπὸ Θάσου*   22. p. 219, 1 *Ποσειδῶνος υἱοῦ*] ita etiam Apollod. Bibl. III 3, alii aliter, cf. Höfer apud Rosch. V p. 531; Jac. I p. 399

υἱοῦ, καὶ ὅτι ἐκαλεῖτό ποτε καὶ Χρυσῆ νῆσος διὰ τὰ χρυσᾶ μέταλλα, ὧν καὶ Ἡρόδοτος (VI 46) μέμνηται.

Eustath. ad Dionys. 498, p. 310, 29. Ἀρριανὸς (70 M) 57
δέ φησι· Κρής, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίῳ, ὅτε Κρόνος ἐμάστευεν ἐθέλων ἀφανίσαι αὐτόν.

Eustath. ad Dionys. 530, p. 320, 18. Ἡ Μῆλος (71 M) 58
περὶ τὸ Κρητικὸν πέλαγος, ἀπό τινος ἀνδρὸς Μήλου κληθεῖσα κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν.

Eustath. ad Dionys. 506, p. 314, 8. Ἐκαλεῖτο δέ (72 M) 59
ποτε (sc. ἡ Σαλαμίς) Κυχρεία, ἀπό τινος Κυχρέως, οὗ καὶ Λυκόφρων (451) καὶ Ἀρριανὸς μέμνηνται, ὃς Ὄφις μὲν ἐπεκλήθη διὰ τραχύτητα τρόπου, ἀπηλάθη δὲ τῆς νήσου ὑπὸ Εὐρυλόχου.

Eustath. ad Dionys. 525, p. 318, 5. Ἀρριανὸς (73 M) 60
δὲ περὶ ταύτης φησὶν ὅτι Δῆλος ἡ πάλαι πλωτὴ οὖσα ἔστη, ὅτε ἡ Λητὼ ἐπέβη αὐτῆς διδύμους ἔχουσα παῖδας.

Eustath. ad Dionys. 222, p. 256, 45. Τινὲς δὲ Νεῖ- (76 M) 61
λόν φασιν ὠνομάσθαι ἀπὸ Νείλου τινὸς ἀπογόνου Ἄτλαντος, βασιλεύσαντος τῶν ἐκεῖ· ἄλλοι δὲ ὅτι Μέλας πρότερον καλούμενος μετεκλήθη Νεῖλος ἀπό τινος Νείλου βασιλικοῦ παιδὸς ἐκεῖ ῥίψαντος ἑαυτόν· τινὰς μέντοι ἀπό τινος Νειλασίου κεκλῆσθαι οὕτως αὐτὸν εἰπόντας οὐκ εὖ λέγοντας ἀπελέγχει ὁ Ἀρριανός.

Eustath. ad Dionys. 451, p. 301, 37. Ὅτι νῆσος 62
ἑσπεριωτάτη τὰ ἐσχατόεντα Γάδειρα, κατὰ μέσον τῶν

57 cf. Tambornino R. E. XI p. 1714; Jac. I p. 479, ad Anaximandr. fr. 2 59 12 Ἀρριανὸς] Ῥιανὸς Bernh. 12 ὃς — 14 Εὐρυλόχου] e Steph. Byz. s. v. Κυχρεῖος πάγος, qui ipse adhibuit Strab. IX 1, 9, p. 393; cf. Apollod. Bibl. III 158. 161; Diod. IV 72, 4; Plut. Thes. 10, 3; Pausan. I 36, 1; Etymol. Magn. p. 707, 42; Eitrem R. E. XI p. 2301 60 cf. Pindar. fr. 65 Bergk^4 apud Strabon. X 5, 2, p. 485; Callimach. hymn. in Delum 34 sqq. fr. 88 (prosod.) Schroeder

πρὸς τῇ Ἰβηρίᾳ στηλῶν· διὸ καὶ Ἰβηρικά φησιν ὁ Ἀρριανὸς αὐτά.

63 (75 M) Tzetzes, Chiliad. III 950:

950 ὁ τοῦ Ζειποίτου μὲν υἱός, ἐκεῖνος Νικομήδης,
ὁ κτίσας Νικομήδειαν, πατὴρ ὁ τοῦ Προυσίου,
Προυσίου ἔχοντος ὀστοῦν ἓν τοὺς ὀδόντας πάντας...
963 οὗτος ὁ τοῦ μονώδοντος τούτου πατὴρ Προυσίου,
τοῦ κτίστορος τῆς πόλεως Προύσης τῆς παρ' Ὀλύμπῳ,
ὁ Νικομήδης ὁ ῥηθεὶς μέγιστον εἶχε κύνα,
ἐκ γένους ὄντα Μολοσσῶν, πιστότατον ἐκείνῳ.
οὗτός ποτε τὴν δέσποιναν σύζυγον Νικομήδους,
μητέρα τοῦ Προυσίου δέ, Ζιήλου καὶ Λυσάνδρας,
τὴν Διτιζήλην κλῆσιν μέν, ἀπὸ Φρυγῶν δὲ γένος,
970 συμπαίζουσαν τῷ βασιλεῖ, νομίσας πολεμίαν,
□ ἐσπάσατο περιχανὼν τὸν δεξιὸν τὸν ὦμον
καὶ ταύτης σάρκας καὶ ὀστᾶ συντρίψας τοῖς ὀδοῦσιν.
ἥπερ θανοῦσα παρ' αὐταῖς ἀγκάλαις βασιλέως
Νικομηδείᾳ τέθαπτο μεγαλοπρεπεστάτως,
ἐν τάφῳ ἀπὸ λίθου μέν, ἀλλ' ἐγκεχρυσωμένῳ ...
984 τὸν κύνα δὲ γενόμενον ἐξ ὀφθαλμῶν ἐκείνου
στοργῇ τοῦ βασιλέως τε καὶ γυναικὸς τῇ λύπῃ
λόγος ἐμφέρεται πολλοῖς τὸν βίον ἀποπνεῦσαι.
Ἀρριανὸς Βιθυνικοῖς γράφει τὴν ἱστορίαν.

---

62 1 στηλῶν Bernh. πυλῶν libri 63 950 sqq. Nicomedes I Zipoetae filius, qui ab anno circiter 279 ad a. c. 255 regnavit (cf. Beloch, Gr. Gesch.^{2} IV 2, p. 212 sqq.) et Nicomediam a. 264 condidit (cf. Droys. III 2, p. 256; Sölch p. 146; Tscher. p. 45 sq.), non pater sed avus fuit Prusiae I (circ. a. 229—182), conditoris Prusae ad Olympum (cf. Droys. l. l. p. 258; Sölch. p. 156; Tscher. p. 47 sq.); praeterea Tzetzes confundit regem Prusiam I et Prusiam τὸν μονόδοντα, filium regis Prusiae II τοῦ κυνηγοῦ (circ. a. 182—149), cf. Liv. Per. 50; Val. Max. I 8, ext. 12 964 κτίστορος scripsi κτήτορος libri 968 Ζιήλου] cf. ad fr. 64, 3 969 Διτιζήλην] cf. Plin. N. H. VIII 144 *memoratur et Nicomedis Bithyniae regis* (sc. canis), *uxore eius Cosingi lacerata propter*

Eustath. ad Iliad. III 17, p. 375, 3. Οὐ μὴν καὶ (74 M) 64 λεοντῆν προσφυῶς πάνυ λεχθείη ἐνάπτεσθαι ὁ ἀνδρεῖος □ κατὰ τὸν πάλαι Ἡρακλῆν ἢ κατὰ τὸν ὕστερον Ζιήλαν τὸν παρὰ τῷ Ἀρριανῷ.

Tzetzes, Chiliad. I 798 (de Hannibale): (75ᵃ M) 65

αὐτὸς δὲ φάρμακον πιὼν θνήσκει πρὸς Βιθυνίαν,
πρός τι χωρίον Λίβυσσαν καλούμενον τῇ κλήσει, □
δοκῶν θανεῖν εἰς Λίβυσσαν πατρίδα τὴν οἰκείαν.
ἦν γὰρ Ἀννίβᾳ τις χρησμὸς οὕτω που γεγραμμένος·
Λίβυσσα κρύψει βῶλος Ἀννίβα δέμας.

Eustath. ad Iliad. VII 171, p. 674, 9. Τὴν δὲ (82ᵃ M) 66 ῥηθεῖσαν αἰτίαν τοῦ κλήρου ἀναπτύσσει που καὶ ὁ Ἀρριανός, λέγων περί τινος ὅτι εἰς κλῆρον τοὺς δεῖνα □ καθίστασθαι ἐδικαίου, οὐ θέλων ὡς γέρας αὐτὸ τῷ ἑτέρῳ ἀπονείμασθαι, οὐδὲ ἀτιμῶσαι τὸν οὐ προκριθέντα εἰς μάχην.

Eustath. ad Odyss. I 156, p. 1406, 36. Ἀμφιβάλλειν 67 FGrH 156 fr. 119b □ δὲ οὐ μόνον τὸ ἐνδοιάζειν καὶ ἀμφὶς βάλλειν ἤγουν ἀμφοτέρωσε ῥίπτειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν, ὡς δῆλον ἐκ τοῦ ἀμφίβολος, ὃς παρά τε Ἀρ-

---

lasciviorem cum marito iocum; de nomine Διτιζήλη cf. Tom. Thrak. II 2, p. 33 γένος scripsi γένους libri

64 1 *in antecedentibus sermo est de locutionibus proverbialibus* παρδαλέην ἐνεῖσθαι *de viro* ποικίλῳ, ἀλωπεκῆν ἐνεῖσθαι *de viro* κερδαλέῳ *etc.*: Müll. 3 Ζιήλαν] cf. fr. 63, 968; ita vel Ζηῖλας, Ζηλᾶς auctores, Ζιαήλας ipse in epistula ad Coos, Ath. Mitt. 30, 1905, p. 174 (= Dittenb. Syll.[3] 456) et in nummis, cf. Head H. N.[2] p. 519 65 cum scholio (Anecdota Graeca Oxon. Crameri III p. 353, 24): πρός τι χωρίον Λίβυσσαν] τὸ νῦν καλούμενον τὰ Βουτίου, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς γράφει 10 idem oraculum apud Plut. Flamin. 20; App. Syr 11; de morte Hannibalis (a. 183 vel 182) cf. De Sanctis, Storia dei Romani IV 1 p. 259 66 12 κλήρου] sortitionis sc. quam auctore Nestore novem fortissimi Achaeorum instituerant ut efficerent quis cum Hectore dimicaret 67 cf. Arr. Anab. II 23, 3; III 18, 8; IV 29, 4; Parth. fr. 86

ριανῷ καὶ ἑτέροις τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει.

Eustath. ad Odyss. II 290, p. 1445, 52. *Καὶ ἀμφίβολοι παρὰ* Ἀρριανῷ *καὶ ἑτέροις οἱ ἀμφοτέρωθεν βαλλόμενοι.*

68 (34 M) Eustath. ad Iliad. XV 302, p. 1017, 20. *Ἡ πτέρις δέ, ἣν ἔνιοι βλάχνον καλοῦσιν, ὡς καὶ* Ἀρριανὸς *δηλοῖ ἐν* Βιθυνιακοῖς.

69 (66 M) Eustath. ad Iliad. Π 851, p. 361, 2. *Καὶ γοῦν Καδμείαν νίκην οἱ μὲν ἄλλοι οὐκ ἐπαινοῦντες φασί· τὴν ἀκάρπωτον γὰρ καὶ ἀκερδῆ τά τε ἄλλα καὶ διὰ τὸ μηδὲν ἀπόνασθαι τὸν Ἐτεοκλῆν τῆς τῶν Καδμείων κατὰ τῶν Ἀργείων νίκης, μηδὲ τοὺς ἀμφ' αὐτόν·* Ἀρριανὸς *δὲ τὴν μεγάλην καὶ ὅ φασι κατ' ἄκρας νοεῖ διὰ τὸ ἄκρως ἡττηθῆναι τοὺς περὶ τὸν Πολυνείκην ὑπὸ τῶν Καδμείων ὡς μόνον περισωθῆναι τὸν Ἄδραστον.*

Eustath. ad Iliad. IV 407, p. 490, 2. *Ἰστέον δὲ ὅτι ἐκ τῶν ῥηθέντων Θηβαϊκῶν πολέμων παροιμία ἐξέπεσεν ἐπὶ τῶν ἀλυσιτελῶν τὸ Καδμεία νίκη. ἐπειδή, φασι, Θηβαῖοι τὰ πρῶτα νικήσαντες ὕστερον ὑπὸ τῶν ἐπιγόνων ἡττήθησαν.* Ἀρριανὸς *μέντοι ἐν τοῖς* Βιθυνιακοῖς, *ὡς καὶ προεδηλώθη, ἐπὶ μεγίστης νίκης τὴν παροιμίαν ἐδέξατο.*

70 (81 M) Eustath. ad Dionys. 939, p. 383, 31. *Ἐνάπτεσθαι δὲ καὶ καθάπτεσθαι λέγομεν τὰ μὴ ζώνῃ διαλαμβανόμενα μηδὲ τὸ σῶμα ὅλον ἐνδύοντα, ἀλλὰ μέρος τι σκέποντα καὶ ἄφετα ἐξαρτώμενα, οἷον πήραν, λεοντῆν ἢ παρδαλέην.* Ἀρριανὸς *δὲ καὶ διφθέρας καθάπτεσθαι λέγει.*

---

68 Cetera huius loci Eustathius sumpsit ex Athenaeo II p. 61 F.
69 9 sqq. cf. e. g. Herod. I 166; Plat. Leg. I p. 641 c; Diod. XI 12, 1; Strab. III 3, 13, p. 150; Paus. IX 9, 3; Dio Cass. XLIV 27, 4; Suid. s. v.

Eustath. ad Iliad. I 25, p. 29, 17. *Οἱ δὲ μεθ' Ὅμηρον καὶ Κρατερὸν ἱστοροῦσι κύριον ὄνομα. Ἀρριανὸς δὲ ἐπὶ νικητοῦ τὴν λέξιν τίθησιν, οἷον ὁ δεῖνα κρατερὸς τοῦ δεῖνος γέγονεν.* 71

Eustath. ad Iliad. III 204, p. 405, 17. *Τὸ ξεναγεῖν, ὅπερ ταὐτόν ἐστι τῷ προξενεῖν, γενικῇ συντάσσει ὁ Ἀρριανός.* (82[b] M) 72

---

71 cf. fr. 31, 19

ΠΑΡΘΙΚΑ

1 (1 M) Photius, Bibl. cod. 58, p. 17a, 23: *Ἀνεγνώσθη Ἀρριανοῦ Παρθικά, ἐν βιβλίοις ιζ. οὗτος δὲ συντάττει πάντων ἄμεινον καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, ἔτι δὲ καὶ ἄλλην πραγματείαν, τὰ πάτρια τῆς Βιθυνίας, ἐξ ἧς καὶ αὐτὸς ἔφυ, ἐπιγράψας τὸ βιβλίον Βιθυνιακά· συγγράφεται δὲ καὶ τὰ κατὰ Ἀλανούς, ἣν ἐπέγραψεν Ἀλανικήν.*

2 *Διέρχεται δὲ ἐν ταύτῃ τῇ πραγματείᾳ τοὺς πολέμους, οὓς ἐπολέμησαν Ῥωμαῖοι καὶ Πάρθοι Ῥωμαίων αὐτοκράτορος ὄντος Τραϊανοῦ. φησὶ δὲ τὸ Πάρθων γένος Σκυθικόν, ἀποστῆναι δὲ τῆς τῶν Μακεδόνων ἐπικρατείας, ἅμα Περσῶν καταστραφέντων πάλαι δουλωθέν, δι' αἰτίαν τοιαύτην.*

Joannes Laurentius Lydus, De mensibus III 1, p. 37, 12 Wünsch: *Σκύθας δὲ αὐτοὺς* (sc. *τοὺς Πάρθους*) *εἶναι πάντες μὲν μαρτυροῦσιν, Ἀρριανὸς δὲ δείκνυσι· τὸ γὰρ Πάρθος ὄνομα ὁ Σκύθης καὶ ἔπηλυς κατ' αὐτὸν τῇ Σκυθῶν φωνῇ ἑρμηνεύεται.*

Syncellus, p. 539, 14

---

1 13a *Τραϊανοῦ*] a libro VIII demum Traiani res gestae narrabantur, cf. Gutschm. III p. 129 15a *Σκυθικόν*] cf. ad l. 16b et ad p. 226, 12 sqq. 18a. 19a *πάλαι δουλωθέν*] ab Alexandro, cf. p. 225, 4b sq.

16b *ὁ Σκύθης*] an *ὁ φυγὰς*? cf. Steph. Byz. s. v. *Παρθυαῖοι* (fortasse ex Arr.), *ἔθνος πάλαι μὲν Σκυθικόν, ὕστερον δὲ φυγὸν ἢ μετοικῆσαν ἐπὶ Μήδους, κληθὲν δὲ οὕτως παρὰ Μήδοις διὰ τὴν φύσιν τῆς αὐτοὺς δεξαμένης γῆς ἑλώδους καὶ ἀγκώδους οὔσης, ἢ διὰ τὴν φυγήν, καθότι οἱ Σκύθαι τοὺς φυγάδας πάρθους καλοῦσι*; v. ad p. 226, 12

---

v. l. Photii 3 *ἀρειανοῦ* M 9a *αὐτῇ* A 14a *Πάρθον* M

Ἀρσάκης καὶ Τηριδάτης ἤστην ἀδελφὼ Ἀρσακίδαι, τοῦ υἱοῦ Ἀρσάκου τοῦ Φριαπίτου ἀπόγονοι. οὗτοι Φερεκλέα τὸν ὑπὸ Ἀντιόχου τοῦ βασιλέως (Θεὸν αὐτὸν ἐπίκλην ὠνόμαζον) — ἀλλ' οἵ γε Ἀρσακίδαι τὸν ὑπὸ Ἀντιόχου σατράπην αὐτῶν τῆς χώρας καταστάντα Φερεκλέα, ἐπεὶ τὸν ἕτερον τῶν ἀδελφῶν αἰσχρῶς ἐπείρασε βιασάμενος, οὐκ ἐνεγκόντες τὴν ὕβριν ἀνεῖλόν τε τὸν ὑβρίσαντα καὶ ἑτέροις πέντε

Bonn: *Ἐπὶ τούτου τοῦ Ἀντιόχου Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτίστου, διὰ τοιαύτην αἰτίαν. Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοὶ τὸ γένος ἕλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φησιν, ἑνὸς*

1 3^{a} *Ἀρσάκου*] Artaxerxis II Mnemonis (404—358), cui priusquam rex factus esset nomen fuisse *Ἀρσίκας* tradit Ctesias apud Plutarch. Artax. 1, 4; 2, 2. 4 *Ἀρσάκης* Ctesias Photianus, Bibl. cod. 72, § 49. 53. 56 sq.; cf. Marq. p. 513 sq. 3. 4 *Φριαπίτου*] Phriapites Artaxerxis filius aliunde ignotus; cf. Justin. XLI 5, 8: tertius (a Tiridate sc.) Parthis rex Priapatius fuit; Justi p. 106 6^{a} *Θεὸν*] ab anno 261 ad 246 regnavit

1^{b} *ἐπὶ* (ita Müll., *ἐν* libri) *τούτου τοῦ Ἀντ.*] Seleucum II Callinicum (246—226) intelligendum esse e Syncelli lemmate apparet 2^{b} *Πέρσαι*, 13^{b} *Περσικῆς*, p. 226, 6^{b}. 7^{b} *Περσῶν*] Parthos et Parthiam intellige 10^{b} *Ἀρταξέρξου*] cf. ad l. 3^{a} 11^{b} *Βακτρίων*] cf. Strab. XI 9, 3 p. 515 *οἱ δὲ Βακτριανὸν λέγουσιν αὐτόν* (sc. *Ἀρσάκην*) 13^{b} ὃς Scaliger ὡς libri 15^{b} *Ἀρριανός*] ex eo fluxisse videtur etiam Zosim. I 18, 1 *Ἀντιόχου τῶν ἄνω σατραπειῶν ἄρχοντος Ἀρσάκης ὁ Παρθυαῖος διὰ τὴν εἰς τὸν ἀδελφὸν Τηριδάτην ὕβριν ἀγανακτήσας πόλεμον πρὸς τὸν Ἀντιόχου σατράπην ἀράμενος αἰτίαν δέδωκε τοῖς Παρθυαίοις ἐκβαλοῦσι Μακεδόνας εἰς ἑαυτοὺς τὴν ἀρχὴν περιστῆσαι*; diversam de Arsacidarum initiis narrationem dant Strab. XI 9, 2, p. 515; Justin. XLI 4, 6 sqq.; Amm. Marcell. XXIII 6, 2, fortasse dedit etiam Arr., cf. fr. *18, Stud. p. 6 sq.; de Arsace et Tiridate cf. Droys.

4^{a} *οὗτοι*] *ὅτι* M 5^{a} *ἀπὸ* A 7^{a} sq. *ἀλλ' — Ἀντιόχου* et 10^{a}. 11^{a} *Φερεκλέα* del. Müll. 8^{a} *ὑπ'* A 9^{a} *αὐτῶν*] *αὐτῆς* M

τὴν πρᾶξιν ἀνακοινωσάμενοι καὶ τὸ ἔθνος Μακεδόνων ἀπέστησαν καὶ καθ' □ ἑαυτοὺς ἦρξαν καὶ ἐπὶ μέγα δυνάμεως ἤλασαν, ὡς καὶ Ῥωμαίοις ἀντιρρόπους μάχας θέσθαι, ἐνίοτε δὲ καὶ μεθ' ἑαυτῶν τὴν νίκην ἔχοντας τοῦ πολέμου ἀπελθεῖν.

τῶν ἀδελφῶν, καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι διαμαρτήσας ἀνῃρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ βασιλεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη β', καὶ ἀναιρεῖται, καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφός ἔτη λζ'.

3 Πάρθους δέ φησιν ἐπὶ Σεσώστριδος τοῦ Αἰγυπτίων

III 1, p. 358—368; Gutschm. Gesch. p. 29 sqq ; Niese, Gesch. d. gr. u. mak. Staaten II p. 164 sqq.; Bevan, The house of Seleucus I p. 283—289; Bouché-Leclercq, Hist. des Séleucides I p. 86 sq.; Beloch, Gr. Gesch.[2] IV 1, p. 670, 683 sq.

1 8[b]. 9[b] ἔτη β'] 250/49—248/7, cf. Gutschm. Gesch. p. 30 9[b] ἀναιρεῖται] cf. fr. *19 11[b] ἔτη λζ'] 248/7—211/10; ab anno 248/7 incipit aera Arsacidarum, cf. Bouché-Leclercq l. l. II p. 547 12 sqq. cf. Megasth. fr. 20 apud Strab. XV 1, 6 *Σέσωστριν μὲν τὸν Αἰγύπτιον . . . ἕως Εὐρώπης προελθεῖν* (in Europam eum transisse narraverat Herod. II 103; Megasthenem respexit sed Sesostridis expeditionem in maius extulit auctor quem secutus est Diod. I 55, 3 sq.), . . . *Ἰδάνθυρσον δὲ τὸν Σκύθην* (nomen mutuatus est regis Scytharum contra quem Dareus bellum gessit, cf. Herod. IV 120, 126 sq.) *ἐπιδραμεῖν τῆς Ἀσίας μέχρι Αἰγύπτου*; fr. 21 apud Arr. Ind. 5, 4 sqq (ubi *Ἰνδάθυρσον* A); Iordanes, Get. 6, 47. 48: *hic* (sc. a Borysthene usque ad Tanain, Asiae Europaeque terminum, cf. 5, 44. 45) *ergo Gothis morantibus Vesosis, Aegyptiorum rex, in bellum inruit, quibus tunc Tanausis* (cf. Gutschm. V p. 27. 352) *rex erat. quod proelio ad Phasim fluvium . . . Thanausis Gothorum rex Vesosi Aegyptiorum occurrit, eumque graviter debellans in Aegypto usque persecutus est . . . ex cuius exercitu victores tunc nonnulli provincias subditas contuentes et in omni fertilitate pollentes deserta suorum agmina sponte in Asiae partibus residerunt. ex quorum nomine vel genere Pompeius Trogus Parthorum dicit*

2[a]. 3[a] τῶν Μακεδόνων M 12 τοῦ] τῶν M

βασιλέως καὶ Ἰανδύσου τοῦ Σκυθῶν ἀπὸ τῆς σφῶν χώρας Σκυθίας εἰς τὴν νῦν μετοικῆσαι. οὓς ὁ Ῥωμαίων αὐτοκράτωρ Τραϊανὸς κατὰ κράτος ταπεινώσας ὑποσπόνδους ἀφῆκεν, αὐτὸς αὐτοῖς τὸν βασιλέα καταστησάμενος.

E LIBRO II

Steph. Byz. s. v. *Ζηνοδότιον*, πόλις Ὀσροήνης (2 M) 2
πλησίον Νικηφορίου, Ἀρριανὸς Παρθικῶν δευτέρῳ.

---

extitisse prosapiem. unde etiam hodieque lingua Scythica fugaces quod est, parthi dicuntur, suoque generi respondentes ... sagittarii sunt et acerrimi bellatores; Iustin. I 1, 6: *Vezosis Aegyptius et Scythiae rex Tanaus, quorum alter in Pontum, alter usque Aegyptum excessit;* II 3, 8 sqq; XLI 1, 1. 2 *Parthi ... Scytharum exules fuere. hoc etiam ipsorum vocabulo manifestatur, nam Scythico sermone exules parthi dicuntur;* Curtius VI 2, 13 sqq.: *Scythae regionem campestrem ac fertilem* (Parthienem sc.) *occupaverant ... sedes habent et in Europa et in Asia: qui super Bosphorum colunt, adscribuntur Asiae, at, qui in Europa sunt, a laevo Thraciae latere ad Borysthenem atque inde ad Tanaim recta plaga attinent. Tanais Europam et Asiam medius interfluit. Nec dubitatur quin Scythae, qui Parthos condidere, non a Bosphoro, sed ex Europae regione penetraverint;* VII 8, 18 i. f.; Diod. II 43, 4 i. f.; Valer. Flacc., Argonaut. V 418 sqq; Steph. Byz. s v. *Παρθυαῖοι* (v. ad p. 224, 16[b]; aliter Malalas II p. 25, 21 Bonn (e quo pendent Suid. s. v. *Σώστρις*, s. v. *Πάρθοι*, alii, cf. Stud. p. 4 adn. 13): ὁμοίως δὲ ὑπέταξε (Σώστρις) καὶ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην πᾶσαν καὶ τὴν Σκυθίαν καὶ τὴν Μυσίαν. καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς χώρας τῆς Σκυθίας ἐπιλέξατο ἀνδρῶν νεανίσκων πολεμιστῶν χιλιάδας ιε'· οὕστινας μετανάστας ποιήσας ἐκέλευσεν αὐτοὺς οἰκεῖν ἐν Περσίδι, δόσας αὐτοῖς χώραν ἐκεῖ οἵαν αὐτοὶ ἐπελέξαντο. καὶ ἔμειναν ἐν Περσίδι οἱ αὐτοὶ Σκύθαι ἐξ ἐκείνου ἕως τῆς νῦν· οἵτινες ἐκλήθησαν ὑπὸ τῶν Περσῶν Πάρθοι, ὅ ἐστιν ἑρμηνευόμενον Περσικῇ διαλέκτῳ Σκύθαι· οἳ καὶ τὴν φορεσίαν καὶ τὴν λαλίαν καὶ τοὺς νόμους Σκυθῶν ἔχουσιν ἕως τῆς νῦν, καὶ εἰσὶ μαχιμώτατοι ἐν πολέμοις, καθὼς Ἡρόδοτος ὁ σοφώτατος συνεγράψατο (de Scythis a Sesostride in Parthiam translatis nihil tradit Herodotus). Malalam ex Arriano fluxisse putat Gutschm. V p. 92 sqq., sed cf. Marq. p. 519 sq. Ex Arr. pendere Cassium Dion. XL 14. 15 (de Parthorum origine et pugnandi more) putat Hartm. p. 74 sqq.

2 e narratione belli a L. Licinio Crasso contra Parthos gesti: Müll. coll. Plut. Crass. 17, 5; Cass. Dione XL 13, 2; de situ Ze-

τὸ ἐθνικὸν Ζηνοδότιος καὶ Ζηνοδοτιεύς, καὶ Ζηνοδοτηνὸς ἐπιχωρίως.

E LIBRO IV

3 (3 M) Steph. Byz. s. v. *Γάζακα, πόλις μεγίστη τῆς Μηδίας, ὡς Κουάδρατος* (Asinius Quadratus fr. 10 M, F. H. G. III p. 660 = fr. 14 J, F. gr. H. II A p. 449) *ἐν ὀγδόῳ Παρθικῶν. Ἀρριανὸς δὲ κώμην μεγάλην αὐτήν φησιν ἐν Παρθικῶν τετάρτῳ, καὶ ἑνικῶς "τῆς Γαζάκου" λέγων. τὸ ἐθνικὸν Γαζακηνός.*

E LIBRO VI

4 (4 M) Steph. Byz. s. v. *Χολοβητηνή, μοῖρα Ἀρμενίας. Ἀρριανὸς ἕκτῳ Παρθικῶν· Τιγράνης † ἀρχόμενος ἄρχεται σατράπης· ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται.*

E LIBRO VIII

5 (5 M) Steph. Byz. s. v. *Ἐλέγεια, χωρίον πέραν Εὐφράτου, Ἀρριανὸς ἐν Παρθικῶν η΄. τὸ ἐθνικὸν Ἐλεγεύς.*

6 Ioannes Laurentius Lydus, De magistr. pop. Romani III

---

nodotii cf. Regling, Klio 7, 1907, p. 365 adn. 11; R. Kiepert in textu ad Form. orb. ant. p. 5

3 e narratione expeditionis a M. Antonio anno 36 contra Parthos susceptae: Gutschm. III p. 128 coll. Strab. XI 13, 3, p. 523

4 e narratione expeditionum Corbulonis Armenicarum, cf. Stud. p. 26 9 *Χολοβητηνή* ager urbis *Χολουάτα* (Ptolem. V 12, 5 p. 940 Müll.), cf. Gutschm. III p. 129; Hübschmann, Indogerm. Forschungen XVI p. 346 adn. 1 10. 11 *ἀρχόμενος ἄρχεται* corruptum 5 Elegiae Parthamasirus a. 114 ditioni Traiani se permisit, cf. Cass. Dio LXVIII 19, 2; Stud. p. 36 13 *Ἐλέγεια*] cf. Müll. ad Ptolem. V 12, 5, p. 940, 7 6 Respiciunt haec verba ad Lydum III 51 i. f., p. 140, 17 sqq.: *ὄχλος δὲ πολέμων τὰ Ῥωμαίων ἐδόνει, Περσῶν τὴν ἀειθρύλητον ἐπὶ ταῖς Κασπίαις πύλαις ἀπαιτούντων δαπάνην. ὁ δὲ περὶ αὐτῆς λόγος τοιοῦτος.* (52) *Πρὸς ἀνίσχοντα ὑπὸ λέοντι ἥλιον ἐν ἀρχῇ στενῇ τοῦ Καυκάσου, πρὸς βορέαν ἄνεμον κατὰ τὴν Κασπίαν χωριζομένων φύσει τῶν τοῦ Καυκάσου σφυρῶν, εἴσοδος ἀπετελέσθη βαρβάρων τοῖς ἀγνοουμένοις ἡμῖν τε καὶ Πέρσαις οἳ περὶ τὴν Ὑρκανὴν νέμονται· δι' ἧς εἰσβάλλοντες τά τε πρὸς εὖρον*

53 i. f. (p. 142, 16 sqq. Wünsch): *Τοιοῦτος μὲν οὖν* [ὁ] *περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίων συγγραφεῦσιν ὁ λόγος,* ⟨ὃν⟩ *Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς τοῖς τόποις ἐπιστάς, οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραϊανῷ τῷ χρηστῷ.*

E LIBRO IX

Steph. Byz. s. v. *Αἴβανα, πόλις Συρίας ταῖς* (6 M) 7
Ἄτραις γειτνιάζουσα. Ἀρριανὸς Παρθικῶν θ'.

E LIBRO X

Steph. Byz. s. v. *Φάλγα, κώμη μέση Σελευκείας* (7 M) 8
τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι' Παρθικῶν. ἡ δὲ φάλγα γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ.

Steph. Byz. s. v. *Χωχή, κώμη πρὸς τῷ Τίγριδι* (8 M) 9
ποταμῷ. Ἀρριανὸς δεκάτῳ· καὶ βασιλεὺς δ' ἐξελαύνει

Πέρσαις, τά τε πρὸς βορέαν Ῥωμαίοις ἀνήκοντα ἐδῄουν. καὶ ἕως μὲν Ἀρτάξατα καὶ ἔτι ἐπέκεινα εἶχον ὑφ' ἑαυτοῖς οἱ Ῥωμαῖοι, ἀντέβαινον παρόντες ἐκεῖ· ὡς δὲ τούτων ἐξέστησαν κτλ. (in sequentibus usque ad p. 142, 16 agit de contentionibus inde ab imperatoris Ioviani temporibus Romanos inter et Persas de hoc per Caucasum transitu muniendo ortis). Cf. Cass. Dio LXVIII 18, 3[b] (vol. III p. 208, 21 sq. Boiss.); Eutrop. VIII 3, 1; Festus 20, 2; Stud. p. 39 sqq.

6 1 [ὁ] del. Kroll 3 ⟨ὃν⟩ add. Bekk. *σαλανικῆς* O (= cod. Caseolinus Parisinus suppl. gr. 257), corr. Fuss 4. 5 *παροικων* O, corr. Bekk. 5 *αὐτὸς* Bekk. *αὑτοις* O 6 *τραιανον* O, corr. Fuss 7 8 *Αἴβανα* R *Αιβαναί* AV *Αἴββα* (v. l. *Αἶβα*) Polyb. V 51, 2; cf. Herzf. p. 231 sqq.; aliter Moritz R. E. XII p. 243 s. v. Labbana 8 Phalgae Chaborras in Euphratem influit, cf. Isid. Charac., Mans. Parth. 1 (G. G. M. I p. 248); e narratione classis Romanae a. 116 Euphrate delatae, cf. fr. 59—64; Stud. p. 49 sqq. 9 14 *Χωχή*] cf. Herzf. p. 134 sq.; Weissbach R. E. XI p. 943 15 *βασιλεὺς*] Traianus, cf. Stud. p. 51; Chosroën intellegi putat De la Berge p. 171 adn. 5

ἐκ Σελευκείας οὐ πρόσω τοῦ Τίγριδος ἐς κώμην ᾗτινι Χωχὴ ὄνομα.

E LIBRO XI

10 (9 M) Steph. Byz. s. v. *Νάαρδα, πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, ὡς Ἀρριανὸς Παρθικῶν ἑνδεκάτῳ. τὸ ἐθνικὸν Νααρδηνὸς τῷ ἐγχωρίῳ τύπῳ.*

11 (10 M) Steph. Byz. s. v. *Θεβηθά, φρούριον Μεσοποταμίας. Ἀρριανὸς ἑνδεκάτῃ. ὁ οἰκήτωρ Θεβηθηνός.*

E LIBRO XIII

12 (11M) Steph. Byz. s. v. *Δόλβα, πόλις τῆς Ἀδιαβηνῆς, Ἀρριανὸς ιγʹ Παρθικῶν. τὸ ἐθνικὸν Δολβαῖος καὶ Δολβηνός.*

13 (13 M) Steph. Byz. s. v. *Ἡφαίστου νῆσοι, τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς ιγʹ Παρθικῶν. τὸ ἐθνικὸν Ἡφαιστονησιώτης.*

14 (12 M) Steph. Byz. s. v. *Χαζήνη, σατραπεία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν τρισκαιδεκάτῳ Παρθικῶν· "ἐνταῦθ' ἥ τε Ὀλβία καὶ τὰ πεδία τῆς Χαζήνης σατραπείας ἐπὶ μήκιστον ἀποτεταμένα."*

E LIBRO XVI

15 (14[a] M) Steph. Byz. s. v. *Ἄκρα . . . δεκάτη ἔστι καὶ πέραν τοῦ Τίγρητος Ἄκρα, Ἀρριανὸς ἑκκαιδεκάτῃ.*

---

9 1 *πίγρηδος* B, cf. ad fr. *69 10 8 *Νάαρδα* etiam Ptolem. V 17, 5 *Narta* Geogr. Rav. p. 53, 20 *Νέερδα* (v. l. *Νέαρδα*) Ios. Ant. Iud. XVIII 311, 369, 379; cf Müll. ad Ptolem. l l.
11 6 *Θεβηθά* AV *Θεβιδά* B; cf. *Thebata* Plin. N. H. VI 120 *Thebeta* Tab. Peuting *ad Hibitam stationem* Amm. Marc. XXV 9, 3 7 *Θαβηνός* libri, corr Berkelius 12 8 *Δόλβα* caput fuit regionis *Δολομηνῆς* (Strab. XVI 1, 1, p. 736): Streck R. E. V p. 1275; 1286; in libro XIII Assyriae contra Traianum rebellio enarrata fuisse videtur, cf. Stud. p. 56 adn 208
14 14. 15 immo *πρὸς τῷ Τίγρητι*: Herzf. p. 123 sq. coll. Strab. XVI 1, 1 p. 736 et auctoribus Syriacis 15. 16 *ἐν τρίτῳ* V 16 *ἐν ταύτῃ τῇ Ὀλβίᾳ* libri, corr. Mein. 17 *σατραπίου* BV, corr. Salm.
15 18 *Ἄγρα* Ptolem. VI 3, 4; cf. Andreas R. E. I p. 886; 1186 19 *πίγρητος* libri, cf. ad fr. *69

Steph. Byz. s. v. *Ὄραθα, πόλις τῆς ἐν Τίγρητι* (14[b] M) 16 *Μεσήνης. Ἀρριανὸς Παρθικῶν ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Ὀραθηνός.*

E LIBRO XVII

Steph. Byz. s. v. *Ἄτραι, πόλις μεταξὺ Εὐφράτου* (15 M) 17 *καὶ Τίγρητος, Ἀρριανὸς ἑπτακαιδεκάτῳ Παρθικῶν.*

FRAGMENTA SINE DESIGNATIONE LIBRI UNDE SUMPTA SUNT TRADITA, ET FRAGMENTA ARRIANO PER CONIECTURAM ATTRIBUTA[1])

A. FRAGMENTA QUIBUS PROBABILITER SUUS LOCUS ASSIGNARI POTEST

Suid. s. v. *πονήσαντα· πονουμένῳ αὐτῷ περὶ τῆς* *18 FGrH IId 567 *βασιλείας τῶν Πάρνων ξυμβάλλουσι δύο τινες.*

Suid. s. v. *Ἀρσάκης, Πάρθων βασιλεύς· ὃς δόρατι* *19 FGrH IId 567 *πληγεὶς ἐν τῇ μάχῃ κατὰ τὴν πλευρὰν θνήσκει, ἀνὴρ γενόμενος τό τε σῶμα κάλλιστος καὶ περιβλεπτότατος καὶ τὴν ψυχὴν βασιλικώτατος καὶ τῶν ἐς πόλεμον ἔργων δαημονέστατος, καὶ ἐς μὲν τὸ ὑπήκοον πᾶν πρᾳότατος, ἐς καθαίρεσιν δὲ τοῦ ἀνθισταμένου ἐρρωμενέστατος. καὶ τοῦτον Παρθυαῖοί τε ἐς τὰ μάλιστα ἐπόθησαν.*

---

16 1 *πίγρητι* libri, cf. ad fr. *69 **17** ad Atras a Traiano obsessas refert Müll. coll. Cass Dione LXVIII 31; cf. Streck R. E. VII p. 2516 sqq. 5 *πίγρητος* libri, cf. ad fr. *69 ***18** Arriano attribui Stud. p. 5 sqq.; fr. 18—21 e libro I sumpta videntur 6 *αὐτῷ*] de quo agatur ignotum 7 *Πάρνων* scripsi *πάρνων* (ϑ supra) A *Πάρθων* vulg.; cf. Strab. XI 8, 2 p. 511; 9, 2 p. 515; Kiessling R. E. IX p. 490 *δύο τινες*] Arsaces et Tiridates, cf. Stud. p. 7 ***19** Arriano attribuit Gutschm. III p. 130; cf. Anab. VII 28, 1 sq. 11 *τῶν — ἔργων* scripsi *τοῖς — ἔργοις* libri; cf. Anab. IV 29, 4; Ind. 18, 1; 24, 5

---

1) Fragmenta Arriano per coniecturam attributa asterisco notata sunt.

FGrH IId 568 20* Suid. s. v. θώραξ· θώραξ δὲ ἱππέως Πάρθου τοιόσδε ἐστί. τὸ μὲν γὰρ αὐτοῦ πρόσω στέρνον τε καὶ μηροὺς καὶ χεῖρας ἄκρας καὶ κνήμας καλύπτει, τὸ δὲ ὄπισθεν νῶτά τε καὶ τὸν αὐχένα καὶ τὴν κεφαλὴν ἅπασαν. περόναι δέ εἰσι πρὸς ταῖς πλευραῖς πεποιημέναι, αἷς ἑκάτερον τῶν μερῶν συμπορπηθὲν ὅλον σιδηροῦν ποιεῖ φαίνεσθαι τὸν ἱππέα, κωλύει δὲ οὐδὲν ὁ σίδηρος οὔτε τὰς ἐκτάσεις τῶν μελῶν οὔτε τὰς συστολάς· οὕτως ἀκριβῶς πρὸς τὴν τῶν μελῶν φύσιν πεποίηται. ὁπλίζουσι δὲ καὶ τὸν ἵππον ὁμοίως σιδήρῳ πάντα μέχρι τῶν ὀνύχων, διότι οὐδὲν αὐτοῖς ὄφελος ἂν εἴη τῶν ἰδίων ὅπλων, εἰ ὁ ἵππος αὐτοῖς προαπόλοιτο.

FGrH IId 568 Suid. s. v. σειραῖς, πλεκτοῖς ἱμᾶσι· καὶ γένος Πάρθων οἱ σειροφόροι καλούμενοι. μάχονται δὲ ἀπὸ ἵππων, σειρὰς ἱμάντων ἑλίσσοντες· πελάσαντες δὲ τοῖς πολεμίοις ἐφιᾶσι τοὺς ἀπὸ τῶν ἱμάντων βρόχους ἀποστρέψαντές τε τοὺς ἵππους ὀπίσω βιαίως ἐλαύνουσι, τοὺς δὲ ἁλόντας τοῖς βρόχοις τῇ ῥύμῃ τοῦ ἵππου ἀποθανόντας ἢ ζῶντας ἕλκουσι.

FGrH IId 568 21* Suid. s. v. βύζην· ὁ δὲ τὰ φρέατα φορυτοῦ καὶ τῆς ἐπιτυχούσης ὕλης βύζην ἐνέπλησεν.

FGrH IId 572 22* Suid. s. v. ἔσφηλε· ἄλλον δὲ οὐχ ὥσπερ Κράσσον τε καὶ τοὺς ξὺν ἐκείνῳ ἔσφηλεν.

---

*20 Arriano attribui Stud. p. 9 sq.; priorem glossam Eunapio attribuit Küster 1—12 cf. Plut. Crass. 24 in.; Iustin. XLI 2, 10; Cass. Dio XL 15, 2 10. 11 οὐδὲν αὐτοῖς ὄφελος] cf. Anab. IV 7, 5; 10, 7 13—19 cf. Mela I 19, 114 (de Maeoticorum feminis); Ios. Bell. Iud. VII 250 (de Alanis); Paus. I 21, 5 (de Sarmatis) σειραῖς περιβαλόντες τῶν πολεμίων ὁπόσους καὶ τύχοιεν, τοὺς ἵππους ἀποστρέψαντες ἀνατρέπουσι τοὺς ἐνσχεθέντας ταῖς σειραῖς; Amm. Marcell. XXXI 2, 9 (de Hunis) 16. 17 ἀποστρέψαντες — ὀπίσω] cf. Anab. V 25, 3; VII 20, 10 *21 Arriano attribui Stud. p. 8; agi videtur de Arsace, Tiridatis filio, tertio Parthorum rege, cf. Polyb. X 28, 5 20. 21 τῇ ἐπιτυχούσῃ ὕλῃ libri, correxi *22 Arriano attribui Stud. p. 11; ex oratione aliqua sumptum 23 ἔσφηλεν ⟨ἂν⟩?

Suid. s. v. *διεφθαρμένος*· ἤδη γὰρ Ἀντώνιος τῷ *23
Κλεοπάτρας ἔρωτι διεφθαρμένος ἥττων ἦν ἐν πᾶσι τῆς
ἐπιθυμίας.

Suid. s. v. *ἀντίρροπον*· τῇ τε γὰρ Κράσσου καὶ τῶν *24
ἀμφ' αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου
καὶ τῆς ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν.

Suid. s. v. *ἐπήρκεσεν*· ταῦτα συνεχῶς ἀγγελλόμενα *25 FGrH IId 572
τῷ Ἀντωνίῳ αὐτόν τε ἐπήρκει ἐς τὴν ἀποχώρησιν καὶ
τοὺς στρατιώτας μαλακωτέρους ἐποίει.

Suid. s. v. *πρὸς θυμοῦ* (gl. 1)· εἶναι δὲ Ῥωμαίοις ἐκ *26 FGrH IId 572
παλαιοῦ πάτριον καὶ μάλιστα δὴ πρὸς θυμοῦ Ἀντωνίῳ.

Suid. s. v. *ἐπαφωμένων*· ὁ δὲ τοῦ τόξου ἐπαφώμε- *27 FGrH IId 572
νος ταῖς χερσίν, ὡς καὶ ταύτῃ περιορᾶν δοκεῖν τὰ Ῥω-
μαίων πράγματα.

Suid. s. v. *μέτριοι* (gl. 1)· ξυνομολογήσαντος ἄμφω *28 FGrH IId 572

---

*23 Arriano attribuit Hartm. p. 81 coll. Cass. Dione XLVIII 27, 1   1 ἤδη] quum Pacorus et Labienus anno 40 Syriam et Asiam invasissent, cf. Cass. Dio XLVIII 26   *24 Arriano attribui Stud. p. 11 sq.; cf. Cass. Dio XLIX 21, 2; Plut. Anton. 34, 3; Florus II 19, 7   5 αὐτὸν Gaisford αὐτοῦ A   ἀντίρροπον] cf. Ind. 35, 8   *25 Arriano attribui Stud. p. 13; fr. 25—30 e libro IV sumpta sunt, cf. fr. 3; Gutschm. III p. 128   7 ταῦτα] nuntios intellige a Phraate Parthorum rege ad Romanos, Antonii ductu Praaspa autumno a. 36 obsidentes, per dolum missos eum cum Antonio pacisci velle, cf. Plut. Anton. 40; Cass. Dio XLIX 27, 3   *26 Arriano attribui Stud. p. 14; e verbis, quae legati, ab Antonio obsidione Praasporum fesso ad Phraaten missi, ad hunc fecerunt de recuperandis signis et captivis a Romanis antea amissis, cf. Plut. Anton. 40, 6   11 πρὸς θυμοῦ] cf. Anab. III 4, 5; V 2, 1; VII 6, 2; 12, 7 i. f.   *27 Arriano attribuit Hartm. p. 80 coll. Cass. Dione XLIX 27, 4 (Phraates legatos Antonii audivit) ἐπί τε χρυσοῦ δίφρου καθήμενος καὶ τὴν νευρὰν τοῦ τόξου ψάλλων   *28 Arriano attribui Stud. p. 14sq., e responso a Phraate legatis Antonii reddito (e quo fortasse etiam fr. *24); cf. Plut. Anton. 40, 7; Cass. Dio XLIX 27, 4   15. p. 234, 1 ἄμφω ταῦτα] initio anni 36 Antonius, quasi pacem cum Phraate componere vellet, legatos ad eum miserat, qui signa in Crassi clade amissa et captivos repeterent, quum re vera bellum pararet, cf. Plut. Anton. 37, 2; Cass. Dio XLIX 24, 5

ταῦτα ἑαυτοῦ καὶ ἄλλο ὅ τι περ τῶν μετρίων ἐπαγγέλλοι Ἀντώνιος, ὁ δὲ οὔτε τῆς παρασκευῆς τοῦ πολέμου ἀνῆκε.

Suid. s. v. ἤδη· εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ, καὶ αὐτὸς ξυνομολογῶ οὐκ ἀπὸ θυμοῦ εἶναι φιλίαν ξυνάψαι Ῥωμαίοις. (FGrH IId 573)

*29 Suid. s. v. τριβήν (et partim s. v. ὅσον οὔπω)· ὁ δὲ καὶ πάλαι ἤδη οὐ φέρων τὴν τριβὴν τοῦ πολέμου καὶ ἅμα ἐνθυμούμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων λύει τὴν πολιορκίαν. (FGrH IId 573)

Suid. s. v. διεφόρησαν· τάς τε καταλειφθείσας ἐν τῷ χάρακι κατασκευάς, πολλαὶ δ' ἦσαν ὡς ἐς χρόνιον πολιορκίαν, διεφόρησαν. (FGrH IId 573)

30 Simplicius, Comment. in Aristotelis Categorias f. 125ᵃ l. 17 ed. Ven. (p. 230, 6 ed. Kalbfleisch): Καὶ ὑπὸ φαρμάκων δὲ ἐπιλαθέσθαι συνέβη πάντων, ὡς τοῖς μετὰ Ἀντωνίου τοῦ Ῥωμαίων στρατηγοῦ Πάρθοις πολεμοῦσιν συνέβη ἐπὶ βοτάνης τινὸς ἐδωδῇ, ὡς Ἀρριανὸς ἱστόρησεν ἐν τοῖς Παρθικοῖς· πλὴν ὅτι ἐκεῖνοι χρόνῳ πάλιν ἀπεκατέστησαν εἰς τὸ κατὰ φύσιν, ὅσοι περιεσώθησαν οἰνελαίου πόματος εὐπορήσαντες· τοῦτο γὰρ ἐκ περιπτώσεως ηὑρέθη τοῦ πάθους βοήθημα. □

*31 Suid. s. v. ἐπαγγέλλει· ὁ δὲ βασιλεὺς φιλοφρόνως (FGrH IId 573)

---

*28 1. 2 ἐπαγγέλλοι Ἀντ.] cf. Anab. II 15, 6; 16, 7   2 τὸν πόλεμον libri, corr. Bernh.   *29 Arriano attribui Stud. p. 15; agi videtur de obsidione Praasporum ab Antonio soluta, cf. Plut. Anton. 40, 7; Cass. Dio XLIX 27, 5   8 ἐνθυμούμενος Suid. s. v. ὅσον οὔπω, om. s. v. τριβήν   ὅσον οὔπω] cf. Anab. VI 12, 3   8. 9 ἀπορίαν τῶν ἀναγκ.] cf. Plut. Anton. 40, 1—4; Cass. Dio XLIX 26, 4—27, 1   11 ὡς — 12 πολιορκ.] cf Anab. I 20, 2; 27, 3   12 διεφόρησαν] Medi, cf. Cass. Dio XLIX 28, 1

30 hunc locum indicavit iam Fabricius, Biblioth. Gr. (ed. 3ᵃ, curante Harles) X p. 698 i. f., postea eum eruerunt Gutschm. III p. 125 coll. Plut. Anton. 45, 9 sqq.; Zeller et Schaefer, Philol. XXIV (1866), p. 152; Kalbfleisch, Festschr. Th. Gomperz dargebracht (1902), p. 98   16 Ἀντωνίου codices meliores ἀντωνίνου alii   *31 Arriano attribuit Gutschm. III p. 49; e libro V, cf. Stud. p. 26 i. f.

3 *Δείναρχος*] cf. Kaerst, R. E IV p. 2388 n. 2 7—25 cf. fr. 6(?); Diod. XVIII 19—21; Justin. XIII 6, 20 7. 8 *Ἅρπαλον*] cf. fr. *16 24 *Πτολεμαῖος ἐπελθὼν*] cf. Marmor Parium B 11 i. f. (sub anno 321/0, cf. Beloch[2] IV 1, p 81 adn. 2)

---

2 *οὕτω* M 4 *αὐτοῦ* AM 10 *ὑπελίπετο* M 11 *ἐπὶ κυδωνίαν τὴν ἐπὶ κρήτης* M 12 *διέβαλλεν* A[1], alterum *λ* erasit A[2] *ἑξακισχιλίους*] *ἑπτακισχιλ.* Diod. XVIII 19, 2 i. f. 13 *Βαρκαίων* scripsi *βαρκέων* AM; cf. Diod. XVIII 20, 3 17 *παρὰ*] *παρ'* M 18 *Τεύχειρα*] v. Fischer ad Diod. XVIII 20, 6 20. 21 *τευχερῖται* A[1], ex alt. *ε* fecit *ει* A[2]

Περδίκκας δὲ Ἀντιγόνῳ ἐπιβουλεύων εἰς δικαστήριον 20
ἐκάλει· ὁ δὲ εἰδὼς ἐπιβουλεύεσθαι οὔτε ὑπήκουσε καὶ
εἰς ἔχθραν ἀλλήλοις κατέστησαν.

ἐν τούτῳ δὲ παρὰ τὸν Περδίκκαν ἐκ Μακεδονίας ἧκον 21
Ἰόλλας τε καὶ Ἀρχίας, ἄγοντες αὐτῷ τὴν Ἀντιπάτρου
παῖδα Νίκαιαν εἰς γυναῖκα. ἀλλά γε καὶ Ὀλυμπιὰς ἡ
Ἀλεξάνδρου μήτηρ ἔπεμπε παρ᾽ αὐτὸν κατεγγυωμένη
τὴν θυγατέρα Κλεοπάτραν. καὶ ὁ μὲν Εὐμένης ὁ Καρ-
διανὸς συνεβούλευεν ἄγειν Κλεοπάτραν, Ἀλκέτᾳ δὲ τῷ
ἀδελφῷ εἰς Νίκαιαν ἔτεινεν ἡ συμβουλή· καὶ νικᾷ τὸ
Νίκαιαν μᾶλλον ἀγαγεῖν.

οὐ πολὺ δὲ ὕστερον καὶ τὸ περὶ Κυνάνην πάθος 22
συνηνέχθη, ὃ Περδίκκας τε καὶ ὁ ἀδελφὸς Ἀλκέτας διε-
πράξαντο. ἡ δὲ Κυνάνη Φίλιππον μὲν εἶχε πατέρα, ὃν (70b)
καὶ Ἀλέξανδρος, ἐκ δὲ μητρὸς Εὐρυδίκης ἦν, γυνὴ δὲ
Ἀμύντου, ὃν ἔφθη Ἀλέξανδρος κτεῖναι, ὁπότε εἰς τὴν
Ἀσίαν διέβαινεν. οὗτος δὲ Περδίκκου παῖς ἦν, ἀδελφὸς
δὲ Φιλίππου Περδίκκας, ὡς εἶναι Ἀμύνταν τὸν ἀνῃρη-
μένον Ἀλεξάνδρου ἀνεψιόν. ἦγε δὲ ἡ Κυνάνη Ἀδέαν 23
τὴν αὑτῆς θυγατέρα, ἥτις ὕστερον Εὐρυδίκη μετωνο-
μάσθη, τῷ Ἀρριδαίῳ εἰς γυναῖκα· ἣν καὶ ὕστερον ἠγά-
γετο Περδίκκα διαπραξαμένου, ἐφ᾽ ᾧ παῦσαι τὴν Μα-
κεδόνων στάσιν, ἥτις ἐπὶ τῷ Κυνάνης πάθει ἀναφθεῖσα
ἐπὶ μέγα κακοῦ προεχώρει.

1—11 cf. Diod. XVIIII 23, 1—3; Justin. XIII 6, 4—7; Berl. Klass. Texte 7, p. 23, 190 sqq. 12—24 cf. Polyaen. VIII 60; Diod. XIX 52, 5; Diyll. fr. 3 M (F. H. G. II p 361) = fr. 1 J (F. gr. Hist. II A p 131) apud Athen. IV p. 155 a 14 *Κυνάνη*] cf. Beloch III² 2, p. 68 sq.; Berve II n. 456; de nominis forma v. ad Anab. I 5, 4; Hoffm. p. 219 sq. 15 *Εὐρυδίκης*] ante matrimonium Audata ei nomen erat, cf. Satyr. fr. 5 (F. H. G. III p. 161) apud Athen. XII p. 557 b 16 *Ἀμύντου*] cf. Kaerst, R. E. I p. 2007 n. 15; Berve II n. 61 *κτεῖναι*] cf. Justin. XII 6, 14 19 *Ἀδέαν*] cf. Kaerst, R. E. VI p. 1326 n. 13; Berve II n. 23

---

9 *ἀλκετέᾳ*, 13 *ἀλκετέας* M (ita ubique) 16 *ὁπότε* A *ὅτε* M 20 *αὐτῆς* AM *θυγατέραν* A 24 *κακὸν* M

24 *Ἀντίγονος δὲ ἐς Μακεδονίαν παρὰ Ἀντίπατρον καὶ Κρατερὸν ἔφυγε, καὶ τὴν εἰς αὐτὸν ἐπιβουλήν, ἣν Περδίκκας ἐβούλευε, διηγήσατο, καὶ ὡς κατὰ πάντων ἡ αὐτὴ αὐτῷ μελέτη σπουδάζεται· ἀνεδίδαξέ τε καὶ τὸ τῆς Κυνάνης ἐκτραγῳδήσας πάθος. καὶ ταῦτα διαθέμενος εἰς πόλεμον αὐτῷ τούτους κατέστησε.*

25 *καὶ Ἀρριδαῖος δὲ ὁ τὸ τοῦ Ἀλεξάνδρου σῶμα φυλάσσων, παρὰ γνώμην αὐτὸ Περδίκκου λαβών, πρὸς Πτολεμαῖον παραγίνεται τὸν Λάγου, ἀπὸ Βαβυλῶνος διὰ Δαμασκοῦ ἐπ' Αἴγυπτον ἐλαύνων· ὃς πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσοικειουμένου Περδίκκᾳ κωλυθεὶς ἐνίκησεν ὅμως εἰς τὸ τὴν ἑαυτοῦ γνώμην εἰς ἔργον ἐξενεγκεῖν.*

26 *ἐν τούτῳ καὶ Εὐμένης παρὰ Περδίκκου δῶρα πρὸς Κλεοπάτραν ἐς Σάρδεις ἐκόμισε, καὶ ὅτι ἐγνωσμένον εἴη Περδίκκᾳ Νίκαιαν μὲν ἐκπέμπειν, ἀντ' ἐκείνης δὲ ταύτην ἄγεσθαι. οὗ μηνυθέντος — Μένανδρος δὲ ὁ Λυδίας σατράπης ἐμήνυσεν — Ἀντιγόνῳ καὶ δι' αὐτοῦ τοῖς περὶ Ἀντίπατρον καὶ Κρατερὸν δημοσιωθέντος, ἔτι μᾶλλον αὐτοῖς τὰ πρὸς Περδίκκαν ἐξεπεπολέμωτο.*

περαιοῦται δὴ Ἀντίπατρος καὶ Κρατερὸς ἀπὸ τῆς Χερρονήσου τὸν Ἑλλήσποντον, τοὺς τὸν πόρον φυλάσ-

---

1—6 cf. Diod. XVIII 23, 4; 25, 3. 4   7—18 cf. fr. *24 § 1; Diod. XVIII 3, 5; 28, 2—4; Justin. XIII 4, 6; Paus. I 6, 3; Strab. XVII 1, 8 p. 794; Marm. Par. B 12; Schub. p. 180 sqq. 18. 19 cf. Diod. XVIII 25, 3   21—p. 263, 10 cf. fr. *25; Diod. XVIII 29; Justin. XIII 8, 2—5; Plut. Eum. 4. 5. 6 in.; Nep. Eum. 3, 1—3

---

7 Ἀρριδαῖος] Ἀρραβαῖος Droys. II[2] 1, p. 13 adn. 2 ex inscr. (Dittenb., Or. gr. inscr. sel. 4, 25), sed cf. Marm. Par. B 12; Beloch[2] IV 1, p. 98 adn. 3; Berve II n. 145   12 εἰς ἔργον M ἔργῳ A   15 εἰς M   16 μὲν om. M   18 ἐμήνυεν A   19 δημοσιωθέντος A[1] ex ω fecit ευ A[2]   ἔτι scripsi ἐπὶ AM; cf. fr. *24 § 1   20 ἐξεπολέμωτο AM, corr. Bekk.   21 δή A δὲ M

σοντας διὰ πρεσβείας ὑπαγόμενοι. πρεσβεύονται δὲ καὶ πρὸς Εὐμένη καὶ πρὸς Νεοπτόλεμον, τοὺς ὑπὸ Περδίκκᾳ· καὶ Νεοπτόλεμος μὲν πείθεται, Εὐμένης δὲ οὐκ ἀνέχεται.

27 *ὑποπτεύεται Εὐμένει Νεοπτόλεμος, καὶ συγκροτεῖται πρὸς ἀλλήλους πόλεμος, καὶ νικᾷ κατὰ κράτος Εὐμένης. φεύγει δὲ Νεοπτόλεμος παρὰ Ἀντίπατρον καὶ Κρατερὸν σὺν ὀλίγοις, καὶ πείθει τούτους ἐπὶ συμμαχίαν κατὰ Εὐμένους ἐλθεῖν αὐτῷ Κρατερόν· καὶ πολεμοῦσιν ἄμφω Εὐμένει. καὶ πάντα ποιήσας Εὐμένης ὥστε λαθεῖν τοὺς σὺν αὐτῷ Κρατερὸν αὐτῷ πολεμεῖν, ἵνα μὴ τῇ περὶ αὐτὸν ἁλόντες φήμῃ ἢ προσχωρήσωσιν αὐτῷ ἢ καὶ μένοντες ἀτολμότεροι εἶεν, καὶ κρατήσας τοῖς τεχνάσμασι, κρατεῖ καὶ τῷ πολέμῳ· καὶ πίπτει μὲν Νεοπτόλεμος τῇ αὐτοῦ Εὐμένους τοῦ γραμματέως δεξιᾷ, ἀνὴρ στρατιωτικὸς καὶ πολέμοις ἠριστευκώς, Κρατερὸς δὲ ὑπό τινων Παφλαγόνων, ἀφειδῶς πρὸς πάντα μαχόμενος καὶ χωρῶν ὥστε γνωσθῆναι· ἀλλ' ἔφθη πεσὼν μὴ γνωσθείς, καίτοι καὶ τὴν καυσίαν τῆς κεφαλῆς ἀφελών. ἡ μέντοι πεζὴ στρατιὰ σῶα πρὸς Ἀντίπατρον ἐκ τοῦ πολέμου παρεγένετο, ὃ καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούφισε.*

28 *παραγίνεται ἀπὸ Δαμασκοῦ Περδίκκας ἐπ' Αἴγυπτον σὺν τοῖς βασιλεῦσι καὶ τῇ δυνάμει Πτολεμαίῳ πολεμῆσαι. κατηγορήσας δὲ Πτολεμαίου κἀκείνου ἐπὶ τοῦ πλήθους ἀπολυομένου τὰς αἰτίας, καὶ δόξας μὴ δίκαια ἐπικαλεῖν, ὅμως καὶ τοῦ πλήθους οὐχ ἑκόντος πολεμεῖ. καὶ*

10—21 cf. fr. *26; Diod. XVIII 30—32; Just. XIII 8, 6—9; Plut. Eum. 6. 7; Nep. Eum. 3, 4—4, 4 22—p. 264, 5 cf. fr. *27; Diod. XVIII 33, 1—36, 5; Justin. XIII 6, 16; 8, 1. 10; Nep. Eum. 5, 1; Strab. XVII 1, 8 p. 794; Paus. I 6, 3; Polyaen. IV 19; Frontin. IV 7, 20; Epit. Heid. 1, l. 12—14; Schub. p. 190 sqq.

---

2. 3 *περδίκκαν* M 9 *ἐλθεῖν* — 10 *Εὐμένης* om. M 10 *Εὐμένει* scripsi *εὐμένη* A 12 *αὐτὸν*] *αὐτῶν* M 22 *ἐπ' Αἴγυπτον* om. M 23. 24 an *πολεμήσων*? 24. 25 *τὸ πλῆθος* M

δὶς ἡττηθεὶς καὶ τραχὺς πρὸς τοὺς παρὰ Πτολεμαῖον ἐθέλοντας χωρῆσαι λίαν καταστὰς καὶ τἆλλα τῇ στρατιᾷ ὑπερογκότερον ἢ κατὰ στρατηγὸν προσφερόμενος, ὑπὸ τοῦ οἰκείου πλήθους τῶν ἱππέων ἀναιρεῖται, μαχόμενος καὶ αὐτός.

29 *Πτολεμαῖος δὲ μετὰ τὴν ἀναίρεσιν Περδίκκου πρός τε τοὺς βασιλεῖς ἐπεραιώθη τὸν Νεῖλον καὶ δώροις φιλοφρονησάμενος καὶ τῇ ἄλλῃ θεραπείᾳ — οὐ μόνον δὲ ⟨ἐκείνους⟩ ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τέλει Μακεδόνων — ὁ δὲ καὶ τοῖς Περδίκκου φίλοις συναχθόμενός τε δῆλος ἐγένετο καὶ ὅσοις τι κινδύνου ἔτι ἐκ Μακεδόνων ὑπελείπετο, καὶ τούτους ἀπαλλάξαι τοῦ δέους παντὶ τρόπῳ διεσπούδασεν· ἐφ' οἷς παραυτίκα τε καὶ ἐς τὸ ἔπειτα εὐδοκιμῶν ἐγινώσκετο.*

30 *συνεδρίου δὲ κροτηθέντος ἄρχοντες μὲν τῆς πάσης δυνάμεως ἀντὶ Περδίκκου Πείθων καὶ Ἀρριδαῖος ἐν τῷ τέως ἀνερρήθησαν, τῶν δὲ περὶ Εὐμένη τε καὶ Ἀλκέταν ἐς πεντήκοντα κατεγνώσθησαν, μάλιστα ἐπὶ τῇ τοῦ Κρατεροῦ ἀναιρέσει τῶν Μακεδόνων πρὸς αὐτοὺς ἐκπολεμωθέντων. μετεκαλεῖτο δὲ καὶ Ἀντίγονος ἐκ Κύπρου, καὶ Ἀντίπατρος δέ, ἐπιταχῦναι πρὸς τοὺς βασιλέας.*

31 *οὔπω δὲ καταλαβόντος ἡ Εὐρυδίκη Πείθωνα καὶ Ἀρριδαῖον μηδὲν ἄνευ αὐτῆς ἠξίου πράττειν. οἱ δὲ τὰ πρῶτα μὲν οὐκ ἀντεῖπον, ἔπειτα δὲ μηδὲν αὐτὴν ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν· αὐτοῖς*

6—22 cf. fr. *28, *29; Diod. XVIII 36, 6—37, 2; Justin. XIII 8, 10; Plut. Eum. 8 in.; Nep. Eum. 5, 1   16 *Πείθων*] Crateuae filius, v. ad p. 256, 13ª   20. 21 *ἐκ Κύπρου*] cf. I. G. II² 1, 682 (= Dittenb., Syll.³ 409), l. 5 sqq.; I. G. XII 2, 645 (= Dittenb., Or. gr. inscr. sel. 4), l. 14 sq.; Beloch² IV 1, p. 89 adn. 3   22—p. 265, 22 cf Diod. XVIII 39, 1–4

---

1. 2 *πρὸς — ἐθέλοντας* A   *τοῖς — θελήσασι* M   2 *τὰ ἄλλα* M   6 *περδίκκου* AM² *περδίκκα* M¹   9 ⟨*ἐκείνους*⟩ addidi   11 *ἔτι* A *αἴτιον* M   16. 22 *Πείθ.*] v. ad p. 254, 9ª   18. 19 *ἐπὶ τῇ τοῦ* scripsi *ἐπὶ τῇ* A *ἐπὶ τοῦ* M   20 *ἐκπολεμηθέντων* M   22 *καταλαβόντων* Hoeschel   25 *αὐτοῖς* AM

γάρ, ἕως Ἀντίγονος καὶ Ἀντίπατρος παραγένωνται, μελήσειν περὶ πάντων. ὧν παραγεγονότων εἰς Ἀντίπατρον ἡ δυναστεία περιίσταται. □

32 *καὶ ὁ στρατὸς αἰτεῖ τὰ παρὰ Ἀλεξάνδρου ὑποσχεθέντα αὐτοῖς ἐπὶ τῇ συστρατείᾳ χρήματα, καὶ Ἀντίπατρος παραυτίκα μὲν μηδὲν ἔχειν ἀποκρίνεται φράζειν ἀκριβές, ἐξετάσας δὲ τούς τε βασιλείους θησαυροὺς καὶ τοὺς ὅσοι ἀλλαχόθι που κείμενοι ὦσι, τηνικαῦτα τὸν δυνατὸν τρόπον μὴ ἂν αὐτοῖς ἐπίμεμπτος νομισθῆναι· ἐφ' ᾧ οὐχ ἡδέως ἡ στρατιὰ ἤκουσεν.* 33 *Εὐρυδίκης δὲ συλλαμβανούσης ταῖς κατὰ Ἀντιπάτρου διαβολαῖς τῷ ἀπὸ τοῦ πλήθους ἄχθει στάσις γίνεται. καὶ δημηγορεῖ Εὐρυδίκη κατ' αὐτοῦ, τοῦ γραμματέως Ἀσκληπιοδώρου ὑπηρετησαμένου τῷ λόγῳ, καὶ Ἄτταλος δέ. καὶ ῥύεται μόλις Ἀντίπατρος τῆς σφαγῆς, Ἀντιγόνου καὶ Σελεύκου τῇ παρακλήσει Ἀντιπάτρου ἀντιδημηγορησάντων ἐν τῷ πλήθει· οἳ καὶ αὐτοὶ διὰ τοῦτο ἐγγὺς ἐγένοντο τοῦ κινδύνου. ῥυσθεὶς δὲ Ἀντίπατρος τοῦ θανάτου πρὸς τὸ οἰκεῖον ὑπεχώρησε στρατόπεδον. καὶ οἱ ἵππαρχοι Ἀντιπάτρου καλοῦντος πρὸς αὐτὸν ἧκον, καὶ μόλις τῆς στάσεως πεπαυμένης Ἀντίπατρον πάλιν, ὡς καὶ πρόσθεν, ἄρχειν εἵλοντο.*

34 *καὶ ποιεῖται νέμησιν καὶ αὐτὸς τῆς Ἀσίας, τὰ μὲν τῆς προτέρας νεμήσεως ἐπικυρῶν, τὰ δὲ τοῦ καιροῦ βιαζομένου νεωτερίζων. Αἴγυπτον μὲν γὰρ καὶ Λιβύην καὶ τὴν ἐπέκεινα ταύτης τὴν πολλὴν καὶ ὅ τι περ ἂν πρὸς τούτοις δορὶ ἐπικτήσηται πρὸς δυομένου ἡλίου, Πτολε-*

---

2 *παραγεγονότων*] Triparadisum sc., cf. Diod. XVIII 39, 3 13 *Ἀσκληπιοδώρου*] cf. Kaerst R. E. II p. 1636 n. 8; Berve II n. 170 14 *Ἄτταλος*] cf. Kaerst R. E. II p. 2158 n. 7; Berve II n. 184 15 sq. cf. Polyaen. IV 6, 4 23—p. 267, 19 cf. Diod. XVIII 39, 5—7; Epit. Heid. 1, l. 14—20; Beloch IV² 2, p. 314 sqq.

---

6 *ἔχων* M 10 *ἐφ' ὧν* Hoeschel 19 *ἵππαρχοι* A¹M *ὕπαρχοι* A² 27 *δορὶ* Bekk. *δόριον* A *δόρειον* M

μαῖον εἶναι· Λαομέδοντι δὲ τῷ Μιτυληναίῳ Συρίαν ἐπιτετράφθαι. Φιλόξενον δὲ ἐπὶ Κιλικίας ἔταξεν, ἣν καὶ
□ 35 *πρότερον εἶχεν. τῶν δὲ ἄνω ξατραπειῶν τὴν μὲν μέσην τῶν ποταμῶν γῆν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχῳ τῷ τοῦ βασιλέως ἀδελφῷ ἔνειμε, Σελεύκῳ δὲ τὴν Βαβυλωνίαν προσέθηκεν· Ἀντιγένει δὲ τῷ πρώτῳ μὲν ἐπιθεμένῳ Περδίκκᾳ, τῶν δὲ ἀργυρασπίδων Μακεδόνων ἡγουμένῳ, τῆς Σουσιανῆς συμπάσης ἄρχειν. Πευκέστᾳ δὲ ἐβεβαίου τὴν Περσίδα. Καρμανίαν δὲ Τληπολέμῳ ἔνειμε, καὶ Μηδίαν Πείθωνι ἔστ' ἐπὶ πύλας τὰς Κασπίους, Φι-*
36 *λίππῳ δὲ τὴν Παρθυαίων γῆν. Ἀρείων δὲ καὶ τῆς Δραγγηνῶν χώρας Στάσανδρον καθίστη ἡγεμόνα, τῆς δὲ Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον, Ἀραχωτῶν δὲ Σιβύρτιον· καὶ Παραπαμισάδας Ὀξυάρτῃ τῷ Ῥωξάνης πατρί· τῆς δὲ Ἰνδῶν γῆς τὰ μὲν ξύνορα Παραπαμισάδαις Πείθωνι τῷ Ἀγήνορος, τὰς δὲ ἐχομένας ξατραπείας τὴν μὲν παρὰ τὸν Ἰνδὸν ποταμὸν καὶ Πάταλα τῶν ἐκείνῃ Ἰνδῶν πόλεων τὴν μεγίστην Πώρῳ τῷ βασιλεῖ ἐπεχώρησε, τὴν δὲ παρὰ τὸν Ὑδάσπην ποταμὸν Ταξίλῃ, καὶ τούτῳ Ἰνδῷ, ἐπεὶ μηδὲ ῥᾴδιον μετακινῆσαι αὐτοὺς ἐξ Ἀλεξάνδρου τε ἐπιτετραμμένους τὴν ἀρχὴν καὶ*

---

2 *Φιλόξενον*] cf. fr. *24 § 2 4. 5 *τοῦ βασιλέως*] error Photii Arrhidaeum, qui Alexandri corpus Ptolemaeo dederat et tunc Phrygiae ad Hellespontum praefectus est (v. p. 267, 6), cum rege Philippo Arrhidaeo confundentis, cf. Beloch IV² 2, p. 316; aliter Berve II n. 66 6 *Ἀντιγένει*] cf. Berve II n. 83 7 *ἀργυρασπίδων*] cf. Berve I p. 128 10 *Πείθωνι*] cf. Diod. XIX 14, 1 10. 11 *Φιλίππῳ*] cf. p. 256, 23ᵇ. 24ᵇ; Berve II n. 785 12 *Στάσανδρον*, 13 *Στασάνορα*] cf. Beloch IV² 2, p. 315; Lehmann-Haupt R. E. ser. 2, II p. 158 15—p. 267, 1 cf. Beloch l. l. p. 316; Lehmann-Haupt l. l. p. 159

---

1 *μητυληναίῳ* A 2 *ἔτασσεν* M 3 *πρότερον* scripsi *πρῶτον* AM *σατραπειῶν* M 4 *ἀρβηλίτην* A 6. 7 *τῷ — Περδίκκᾳ* in marg. add. M² 10 *μηδίαν* A²M *μηδείαν* A¹ 10. 16 *Πείθ.*] v. ad p. 254, 9ᵃ 14 *παραπαμεισάδας* A¹, e quo fecit *παραμεισάδας* A² 15 *σύνορα* M 15. 16 *παραπαμεισάδαις* A¹, alterum *πα* induxit A² 17 *σατραπείας* M

δύναμιν ἱκανὴν ἔχοντας. τῶν δὲ ἀπὸ τοῦ Ταύρου ὄρους 37
ὡς ἐπὶ τὴν ἄρκτον φερόντων Καππαδόκας μὲν Νικάνορι
ἐπέτρεψεν, ἐπὶ δὲ Φρυγίας τῆς μεγάλης καὶ ἐπὶ Λυκάοσί
τε καὶ Παμφύλοις καὶ Λυκίοις, ὡς καὶ πρόσθεν, Ἀντί-
γονον· Καρίαν δὲ Ἀσάνδρῳ ἔνειμε, Λυδία δὲ Κλείτῳ
ἐδόθη, καὶ Ἀρριδαίῳ Φρυγία ἡ πρὸς Ἑλλησπόντῳ. τῇ 38
δὲ κατακομιδῇ τῶν ἐν Σούσοις χρημάτων Ἀντιγένην
ἔταξε, καὶ τούτῳ τῶν στασιασάντων Μακεδόνων τοὺς
μάλιστα τρισχιλίους παρέδωκε· σωματοφύλακας δὲ τοῦ
βασιλέως Αὐτόδικόν τε τὸν Ἀγαθοκλέους παῖδα καὶ
Ἀμύνταν τὸν Ἀλεξάνδρου παῖδα Πευκέστου δὲ ἀδελφὸν
καὶ Πτολεμαῖον τὸν Πτολεμαίου καὶ Ἀλέξανδρον τὸν
Πολυπέρχοντος, Κάσανδρον δὲ τὸν ἑαυτοῦ παῖδα χιλι-
άρχην τῆς ἵππου, τῆς δυνάμεως δὲ τῆς πρόσθεν ὑπὸ Περ-
δίκκᾳ τεταγμένης Ἀντίγονον ἡγεμόνα ἀπέφηνε, καὶ τού-
τῳ τοὺς βασιλέας φρουρεῖν τε καὶ θεραπεύειν προστάξας
τὸν πόλεμον ἅμα τὸν πρὸς Εὐμένη διαπολεμῆσαι αὐτῷ
αἱρουμένῳ ἐπέτρεπεν. Ἀντίπατρος δὲ αὐτὸς πολλὰ ὑπὸ
πάντων ἕνεκα πάντων ἐπαινούμενος ἐπ' οἴκου ἀνεχώρει.
Ἐν οἷς καὶ ὁ θ' λόγος.

ὁ δὲ δέκατος διαλαμβάνει ὡς Εὐμένης τὰ περὶ Περ- 39
δίκκαν μαθὼν καὶ ὅτι πολέμιος ἐψηφίσθη Μακεδόσιν,
ἐπὶ πόλεμον παρεσκευάζετο. καὶ ὡς Ἀλκέτας ὁ Περδίκ-
κου ἀδελφὸς διὰ ταῦτα ἔφυγε. καὶ Ἄτταλος ὁ τῆς κατὰ

---

2 *Νικάνορι*] cf. Diod. XVIII 39, 6; XIX 92; 100, 3; App. Syr. 55 in.; Droys. II[2] 1, p. 145 adn. 2 5 *Ἀσάνδρῳ*] v. ad p. 256, 24[a] *Κλείτῳ*] cf. Schoch R. E. XI p. 666 n. 10 11 *Ἀμύνταν*] cf. fr. *24 § 6; Berve II n. 56 12 *Πτολεμαῖον*] cf. Dittenb. Syll.[3] 332, 16 sqq.; Berve II n. 669 *Ἀλέξανδρον*] cf. Kaerst R. E. I p. 1435 n. 13 24 *Ἄτταλος*] v. ad p. 265, 14

---

10 *Αὐτόδικον* scripsi *αὐτόλυκον* **AM**, cf. Dittenb. Syll.[3] 373; Berve II n. 187 11 *τὸν ἀδελφὸν* **A** 13 *πολυσπέρχοντος* **AM**, correxi, nam *πολυπέρχων* semper Anabaseos codex **A**, recte, cf. Dittenb. Or. gr. inscr. sel. p. 12 adn. 14 22 *καὶ ὅτι* **A** *ὅτι καὶ* **M**

Ἀντιπάτρου στάσεως οὐδενὸς φέρων τὰ δεύτερα καὶ αὐτὸς φυγὼν συνέμιξε τοῖς ἄλλοις φυγάσι. καὶ συνήχθη Ἀττάλῳ στρατός, πεζοὶ μὲν μύριοι, ἱππεῖς δὲ ὀκτακόσιοι. καὶ ὡς Ἄτταλος καὶ οἱ σὺν αὐτῷ ἐπιθέσθαι Κνίδῳ καὶ Καύνῳ καὶ Ῥοδίοις ἐπιχειρήσαντες ὑπὸ Ῥοδίων καρτερῶς ἀπεκρούσθησαν, Δημαράτου ναυαρχοῦντος αὐτοῖς.

40 *διαλαμβάνει δὲ καὶ ὡς Εὐμένης Ἀντιπάτρου ἐς Σάρδεις ἰόντος ἐς χεῖρας ἐλθεῖν ἐγγὺς ἦν, Κλεοπάτρα δὲ ἡ τοῦ Ἀλεξάνδρου ἀδελφή, ἵνα μὴ ἐς τὸ τῶν Μακεδόνων πλῆθος ἐν διαβολῇ γένηται ὡς αὐτὴ τὸν πόλεμον αὐτοῖς ἐπάγουσα, παραινεῖ καὶ πείθει Εὐμένη ἀποχωρῆσαι τῶν Σάρδεων. ἀλλ' ὅμως οὐδὲν ἧττον ὁ Ἀντίπατρος παραγενόμενος αὐτὴν ἐπωνείδιζε τῆς ἐς Εὐμένη καὶ Περδίκκαν φιλίας. ἡ δὲ πρός τε ταῦτα κρεῖσσον ἢ κατὰ γυναῖκα ἀπελογεῖτο, καὶ πολλὰ ἄλλα ἀντεπεκάλει· τέλος δὲ εἰρηνικῶς ἀλλήλων ἀπηλλάγησαν.*

41 *ὅτι Εὐμένης ἐπελθὼν ἀπροσδοκήτως τοῖς οὐχ ὑπ' αὐτῷ προσχώροις καὶ λείαν πολλὴν καὶ χρήματα συλλαβὼν τὸν οἰκεῖον στρατὸν κατεπλούτει. διαπρεσβεύεται δὲ καὶ πρὸς Ἀλκέταν καὶ τοὺς σὺν αὐτῷ ἐς ταὐτὸν τὰς δυνάμεις συναγαγεῖν ἀξιῶν καὶ οὕτως τοῖς κοινοῖς ἐχθροῖς μάχεσθαι· οἱ δὲ ἄλλων ἄλλα συμβουλευσαμένων τέλος οὐ πείθονται.*

ὅτι Ἀντίπατρος Εὐμένει μὲν πολεμεῖν τέως οὐκ ἐθάρ-

---

3 *Ἀττάλῳ*] Photius duos Attalos confudit; Attalus Perdiccae classi praefectus et Atalantes sororis eius maritus exercitum comparavit, non is qui Triparadisi seditionis adversus Antipatrum particeps fuerat, cf. Diod. XVIII 37, 2—4; 41, 7 i. f.; Kaerst R. E. II p. 2158 n. 5; Berve II n. 181   6 *Δημαράτου*] cf. Berve II n. 254   8—13 cf. Justin. XIV 1, 6—8; Plut. Eum. 8 med.   15. 16 cf. fr. *30   18—24 cf. fr. 31; Plut. Eum. 8 med.   25 *Ἀντίπατρος* errorem esse Photii pro *Ἀντίγονος* putat Grimm. p. 103

---

13 *ὅμως*] litt. *μως* in ras. A²   21 *πρὸς* om. A   22 *οὕτω* M

ρει, κατὰ δὲ Ἀττάλου καὶ Ἀλκέτα πέμπει πολεμήσοντα
Ἄσανδρον· καὶ ἀγχωμάλου τῆς μάχης γεγενημένης ἡτ-
τᾶται Ἄσανδρος.

ὅτι διαφέρεται Κάσανδρος πρὸς Ἀντίγονον, καὶ παύ- 42
εται Κάσανδρος τῆς κατὰ Ἀντιγόνου ἀταξίας, Ἀντιπά-
τρου τοῦ πατρὸς διακωλύσαντος. ὅμως οὖν ὁ Κάσαν-
δρος περὶ Φρυγίαν συμβαλὼν τῷ πατρὶ ἀναπείθει μήτε
πόρρω τῶν βασιλέων ἀποχωρεῖν καὶ Ἀντίγονον δι' ὑπο- □
νοίας ἔχειν, ὃ δὲ τῇ τε μετριοφροσύνῃ καὶ τῇ ἄλλῃ
θεραπείᾳ καὶ ἀρετῇ τὸν δυνατὸν τρόπον διέλυε τὴν
ὑπόνοιαν. καὶ Ἀντίπατρος ἐπικλασθεὶς τῆς τε ξυνδια- 43
βάσης αὐτῷ ἐς τὴν Ἀσίαν δυνάμεως πεζοὺς μὲν ἐπιτρέ-
πει αὐτῷ Μακεδόνας ὀκτακισχιλίους καὶ πεντακοσίους
καὶ ἱππέας τῶν ἑταίρων ἴσους, ἐλέφαντας δὲ τῶν πάν-
των τοὺς ἡμίσεας ο', ὡς ῥᾷον διαπολεμήσειεν τὸν πρὸς
Εὐμένη πόλεμον. καὶ Ἀντίγονος μὲν τοῦ πολέμου ἥπτετο, 44
Ἀντίπατρος δὲ ἀναλαβὼν τοὺς βασιλεῖς καὶ τὴν ἄλλην
δύναμιν ᾔει ὡς περαιωσόμενος ἐπὶ Μακεδονίαν. καὶ
στασιάζει πάλιν· ὁ στρατὸς αἰτῶν τὰ χρήματα. Ἀντί-
πατρος δὲ ἐπειδὰν ἔλθῃ εἰς Ἄβυδον ὡμολόγησε ποριεῖν
αὐτά, καὶ δώσειν τυχὸν μὲν πάντα ὅση ἡ δωρεά, εἰ δὲ □
μή, τήν γε πλείστην. καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν 45
ἀναρτήσας ἀστασιάστως τὸ λοιπὸν καταλαμβάνει τὴν
Ἄβυδον. ἐκεῖ δὲ τέχνῃ τούτους παρακρουσάμενος, νυ-
κτὸς ἅμα τοῖς βασιλεῦσι περαιοῦται τὸν Ἑλλήσποντον
παρὰ Λυσίμαχον. τῇ δὲ ὑστεραίᾳ καὶ αὐτοὶ ἐπεραιώ-
θησαν, ὑπὲρ τῆς ἀπαιτήσεως τῶν χρημάτων παραυτίκα
ἡσυχάσαντες. ἐν οἷς καὶ τοῦ δεκάτου λόγου τὸ τέλος.

2 ἀγχωμάλου] cf. fragm. aut Hist. Parthicae aut Hist. Success. Alex. attribuenda, n. 5

2 ἄσσανδρον, 3 ἄσσανδρος A^1, sed alt. σ erasum 4. 5. 6 κάσσανδρος A^1, sed alt. σ erasum 8 τῶν βασιλέων] litt. ῶν et ν in ras. suprascripsit A^2 14 ἑτέρων M 18 ᾔει in ras. A^2 23 ἀστασίαστον A 28 sectionem 46 (Photii de Arriani sermone iudicium) habes inter testimonia, n. 26

E LIBRO PRIMO.

2 Anecd. Bekk. p. 179, 26 s. v. *ψευσθῆναι*· *Ἀρριανὸς πρώτῳ*· *εἰ δὲ ψευσθείημεν τῆς ἐπὶ τῷ παιδὶ τοῦ Ἀλεξάνδρου προσδοκωμένης ἐλπίδος.*

E LIBRO SECUNDO.

3 Anecd. Bekk. p. 173, 29 s. v. *Σισίνης, Σισίνου κλίνει τὸ ὄνομα Ἀρριανός. ἐχρήσατο αὐτῷ ἐν πάσῃ τῇ πραγματείᾳ τετραχῶς. Σισίνης δὲ ὁ Φραταφέρνου παῖς. ἐν μόνῳ δὲ τῷ δευτέρῳ λόγῳ εὑρέθη τὸ ὄνομα ⟨τῶν⟩ μετὰ Ἀλέξανδρον.*

4 Anecd. Bekk. p. 131, 19 s. v. *γνωσιμαχῶ*· *ἅπαξ ἐχρήσατο τῇ λέξει Ἀρριανὸς ἐν πάσῃ τῇ πράξει αὐτοῦ, ἐν δευτέρῳ τῶν μετ' Ἀλέξανδρον*· *οἱ δὲ γνωσιμαχήσαντες ὑπέδυσαν τὰ ἐπαγγελλόμενα.*

E LIBRO TERTIO.

5 Anecd. Bekk. p. 170, 16 s. v. *πολιτεύω*· *ἐνεργητικῶς, Ἀρριανὸς τρίτῳ*· *ὑμῖν δὲ τοὺς πατρίους νόμους ἀποδοὺς ἐν ἐλευθερίᾳ πολιτεύειν ἀπέδωκεν.*

E LIBRO QUARTO(?).

6 Anecd. Bekk. p. 154, 12 s. v. *καθηγοῦμαι*· *δοτικῇ. Ἀρριανὸς τετάρτῳ τῶν μετὰ Ἀλέξανδρον*· *καὶ ἐς τὸν λιμένα καθηγεῖσθαι.*

---

2 cf. fr. 1ª § 1; Köhl. p. 564   3 6 *Σισίνης*] cf. Anab. VII 6, 4 i. f. *Σισίνης καὶ Φραδασμένης* [*καὶ*] *οἱ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίας σατράπου παῖδες*; alius Sisines nominatur Anab. I 25, 3. 4 (ubi *ἀσισίνην*, *ἀσισίνης* A). Cf. Köhl. p. 570   4 9 *ἅπαξ*] sed cf. Ind. 13, 13; Parth. fr. 33   10. 11 *ἐν τῇ β' τῇ μετ'* cod., corr. Bekk.   11 *οἱ δὲ*] Graeci ab Alexandro in colonias in Bactria constitutas deducti, post eius mortem in patriam redire conati: Köhl. p. 570; cf. fr. *14. 15; Diod. XVIII 7   12 *τὰ ἐπαγγ.*] sc. a Pithone Mediae satrapa, cui Perdiccas bellum contra rebelles mandaverat   5 14 *ὑμῖν*]

Suid. s. v. *καθηγοῦμαι· δοτικῇ. καθηγοῦμαι ταύταις εἰς τὸν λιμένα.* □

E LIBRO QUINTO.

Anecd. Bekk. p. 154, 9 s. v. *κατακούω· γενικῇ. Ἀρριανὸς πέμπτῳ· οὐδ' ἐθέλει κατακούειν τοῦ σατράπου.* 7

Anecd. Bekk. p. 130, 26 s. v. *βουλεύω· ἐνεργητικῇ διαθέσει κέχρηται ὁ Ἀρριανὸς ἐν πᾶσιν. ἐν πέμπτῳ τῶν μετὰ Ἀλέξανδρον· σὲ δὲ εἶναι τὸν βουλεύοντά τε ὑπὲρ τῶν ὅλων τὰ ξυμφορώτατα καὶ ἐπαγγέλλοντα πᾶν ὅτι περ ἂν ξυλλογισμῷ τύχῃ ξυμβουλευθέν.* 8

FRAGMENTA SINE DESIGNATIONE LIBRI UNDE SUMPTA SUNT TRADITA, ET FRAGMENTA DUBIA.[1]

Suid. s. v. *σιγηλός· σιγὴ δὲ ἦν βαθυτέρα πάσης ἐρημίας.* *9 FGrH IId 558

Suid. s. v. *γνώμη* (gl. 3)· *ὅτῳ θεία μὲν ἡ γνώμη περιόντι, εἰς θεοὺς δὲ ἡ μεταχώρησις. Ἀρ'ριανός.* 10 □

Rhodios intellexit Köhl. p. 571, coll. Diod. XVIII 8, 1, quod prorsus incertum 6 agi de Thibrone Harpali interfectore, qui Cyrenarum portum occupavit viam monstrantibus exsulibus Cyrenensibus (cf. Diod. XVIII 19, 3. 4), et igitur e libro sexto hunc locum sumptum esse, suspicatus est Köhl. p. 574 coll. fr. 1 § 16, speciose

7 cf. Köhl. p. 573 8 ex oratione a Cratero ad Antipatrum habita: Köhl. p. 574 coll. Diod. XVIII 16, 5; cf. fr. 1 § 12; fr. *19

9 Arriano attribuit Köhl. p. 567 coll. Justin. XIII 1, 1; Curt. X 5, 7; fr. *9—13 e libro I sumpta sunt 10 *σιγὴ*] sc. Babylone, mortuo Alexandro 10 ex oratione a Perdicca habita in concilio principum Macedonum post Alexandri mortem Babylone in regia facto (quod praeteriit Photius in epitoma, sed cf. Diod. XVIII 2, 2; Justin. XIII 2; Curt. X 6): Köhl. p. 566; cf. Schub. p. 110 sq.; ex eadem oratione fortasse fr. anonymum

1) Fragmenta per coniecturam Arriano attributa asterisco notata sunt.

11 Suid. s. v. *ἀφηλικέστερος*· *Ἀρριανός*· παιδὸς γὰρ ἐκείνου ἀφήλικος ἐπιτροπεύσειν τε αὐτοὺς μέλλειν καὶ ὑπὸ τῷ ἐκείνου προσχήματι πᾶν ὅτιπερ καθ' ἡδονὴν σφισι πράξειν ἐς τοὺς ὑπηκόους.

*12 Suid. s. v. *Λεόννατος*, στρατηγὸς Μακεδόνων, κατὰ γένος προσήκων ⟨τῇ⟩ Φιλίππου μητρί, συντραφεὶς δὲ Ἀλεξάνδρῳ, κατὰ τὸ τῆς τροφῆς ἐπιτήδειον καὶ τοῦ γένους καὶ κατὰ μέγεθος μέντοι καὶ κάλλος τοῦ σώματος τιμῆς μετεῖχεν· ὅθεν αὐτῷ καὶ ζῶντος Ἀλεξάνδρου τό τε φρόνημα ὑπέρογκον ἦν καί τις ἁβρότης Περσικὴ κατά γε τὴν τῶν ὅπλων λαμπρότητα καὶ τὴν ἄλλην δίαιταν ἐς τὴν τῶν πολεμίων οὐκ ἀφανῶς ἐπετηδεύετο. τελευτήσαντος δὲ Ἀλεξάνδρου καὶ ζῆλον ἐποιεῖτο, εἰκάζων αὐτὸν πρὸς τὸν βασιλέα τῷ τε ἀφέτῳ καὶ ἀνειμένῳ τῆς κόμης καὶ τῇ ἄλλῃ κατασκευῇ, ᾗ οὐ πρόσω τοῦ Περσικοῦ τρόπου ἤσκητο αὐτῷ.

ἵπποι τε Νισαῖοι, οἱ δὲ Φάσιδος ἄπο, χρυσοχάλινοι

---

in Anecd. Bekk. p. 146, 31 s. v. *ἡττῶμαι*· καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, cf. Stud. p. 72   12 ὅτῳ] Alexandro, cf. Anab. VII 27, 3; Curt. X 6, 6   18 μεταχείρησις A

11 ex oratione (a Meleagro: Schub. p. 111 coll. Curt. X 6, 21) habita ad Macedonum peditatum quis Alexandro succederet: Köhl. p. 667   2 ἐκείνου] Alexandri; ἀφήλικος ⟨ὄντος⟩ Bernh.   αὐτοὺς μέλλειν Köhl.   αὐτοῖς μέλλον Suid.   αὐτοὶ ἔμελλον Bernh.   αὐτοὺς] tutores filii ex Roxane nascituri: Köhl.; cf. Justin. XIII 2, 14; Curt. X 7, 8; minus recte Schub. p. 111 i. f.   3 τῷ Bernh. τῶν Suid.   12 Arriano attribuit Gaisford, Dexippo Köhl. p. 560 sq., Arriano vindicat sermo, cf. Stud. p. 69 sq.; e narratione dissensionum equites inter et pedites ortarum de Alexandri successore, cf. fr. 1[a] § 2; Curt. X 7 20; Köhl. p. 568 sq.; Schub. p. 86   5 Μακεδόνων scripsi μακ^δς A Μακεδονίας vulg.   6 ⟨τῇ⟩ add. Köhl.   μητρί] Eurydicae, cf. Beloch III[2] 2, p. 78   11 κατά γε scripsi ex V κατά τε A   14 τὸν βασιλέα scripsi τὰ β̄ς A τὰ βασιλικά vulg.   17 — p 273, 4 cf. Stud. p. 71   17 sq. Schub. p. 86 cfrt. Herod. IX 20 Μασίστιος ἵππον ἔχων Νησαῖον χρυσοχάλινόν τε καὶ ἄλλως κεκοσμημένον καλῶς

σύμπαντες, προστετάχατο τῆς τάξεως, ἐκπρέποντες τοῖς □
καλλωπίσμασιν. ἐπήγνυντο δὲ αὐτῷ καὶ σκηναὶ μεγα-
λοπρεπεῖς, καὶ ὅπλα κάλλει ὑπερφέροντα, εἵπετο καὶ τὸ □
τῶν ἑταίρων ἄγημα.

Suid. s. v. *χρηματισαμένων· Ἀρριανός· χρημα-* 13
τισαμένων δὲ καὶ αὐτῶν τρίτη παρεγένετο πρεσβεία. □

Suid. s. v. *ἀνελεύθερος· οἱ δὲ ἐς ἀταξίαν ἰόντες* *14 FGrH IId 559
καὶ ἀνάστατοι γενόμενοι ἀγεννῆ καὶ ἀνελευθέραν ἐποιή-
σαντο τὴν ἀναχώρησιν, οἴκαδε ἀπονοστήσοντες.

Anecd. Bekk. p. 170, 13 s. v. *παρεγγυῶ· δοτικῇ.* 15
Ἀρριανός· ταὐτὸ δὲ τοῦτο παρηγγύησε καὶ τοῖς ἀπο-
σπασθεῖσιν ἀπὸ τῆς σὺν αὐτῷ στρατιᾶς.

Anecd. Bekk. p. 145, 18 s. v. *ἐκπολεμῶ· αὐτὸς δὲ* *16
ἐς Ἀθήνας ἐλθὼν ὡς ἐκπολεμώσων τοὺς Ἀθηναίους
πρὸς Ἀλέξανδρον.

Suid. s. v. *Λεωσθένης· στρατηγὸς τῶν Ἀθηναίων.* *17
οὗτος ἐν τῷ πρὸς τοὺς Μακεδόνας πολέμῳ προθυμίᾳ
χρησάμενος τοῦ καιροῦ προθυμοτέρᾳ καὶ τῇ παραπε-
σούσῃ εὐπραγίᾳ κατὰ τῶν πολεμίων ἐπεξιὼν τήν τε ἐμ-

---

3 *ὅπλα* <*ἠμπείχετο*> Bernh., utique locus truncatus est 13 cf. fr. 1[a] § 3 *εἶτα διαπρεσβεύονται* (equites et pedites) *πρὸς ἀλλήλους πολλάκις* *14 Arriano attribui Stud. p. 73; agi videtur de colonis Graecis e Bactria in patriam redire conatis, cf. fr. 4 (e libro II) et 15; Diod. XVIII 7 7 *ἰόντες* scripsi *ἰδόντες* Suid., cf. Anab. IV 19, 5. 6; 21, 7 9 *ἀπονοστήσαντες* Suid., corr. Bernh. 15 agi suspicor de Pithone rebellibus impunitatem pollicito, cf. fr. 4; Stud. p. 73 11. 12 *τοῖς ἀποσπασθεῖσιν*] cf. Diod. XVIII 7, 6 12 *αὐτῷ*] Philonem rebellium ducem intellige *16 Arriano attribuit Köhl. p. 572, suspicatus agi de Harpalo et hunc locum aut e libro III *τῶν μετὰ Ἀλέξανδρον* aut ex Anabaseos libri VII ea parte quae propter lacunam codicis A (cf. Vol. I p. 359) nobis periit sumptum esse
*17 Arriano attribuit Köhl. p. 572; cf. fr. 1 § 9 17 *προθυμίᾳ*] cf. Anab. II 18, 4; IV 26, 6; 29, 7 i. f.; VII 22, 4 18 *προθυμοτέρᾳ*] cf. Anab. V 27, 8 18. 19 *περιπεσούσῃ* A 19 *εὐπραγίᾳ*] cf. fr. *27; Anab. II 10, 6 *ἐπεξιὼν*] cf. Thuc. IV 14, 3 i. f.

βολὴν ἀφειδῆ ποιεῖται καὶ λίθῳ πληγεὶς πρὸς τὴν κεφαλὴν ἀφυλάκτως ἐπὶ τῆς παρατάξεως πίπτει.

FGrH IId 559 *18 Suid. s. v. *ἀνεδέχετο· ὁ δὲ τούτοις πιστεύων ἀνεδέχετο τὸν πρὸς Ἀριαράθην πόλεμον.*

*19 Suid. s. v. *Κρατερὸς ὁ Μακεδών· ὃς ἦν μέγιστός τε ὀφθῆναι καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ τῆς τε σκευῆς τῇ λαμπρότητι διαφέρων, καὶ παντὶ τῷ κόσμῳ κατὰ τὸν Ἀλέξανδρον ἔσταλτο πλὴν τοῦ διαδήματος· καὶ τοῖς συγγινομένοις οἷος σὺν ἐπιεικείᾳ, καὶ τοῦ σεμνοῦ προσόντος, φιλοφρονέστατος δόξαι καὶ πιθανώτατος τῷ ἐπαγωγῷ τῶν λόγων, ὡς συμβαλεῖν τῇ τε σμικρότητι τοῦ Ἀντιπάτρου σώματος καὶ τῇ φαυλότητι, ἐπὶ τούτοις τῷ ἀπροσμίκτῳ καὶ ἀνημέρῳ εἰς τοὺς ὑπηκόους· ⟨ὥστε⟩ θεραπεύειν τὸν Κρατερὸν κατὰ βασιλέα, καὶ ἐν ἐπαίνοις ἄγοντας κατὰ τὸ εἰκός, οἷα δὴ στρατηγῶν τὸν εὐτολμότατον καὶ τῶν πολεμικῶν ἔργων συνετώτατον, δεύτερον τῇ προτιμήσει μετὰ Ἀλέξανδρον ἀναμφιλόγως ἄγειν.*

κίνησίς τε δὴ οὖν ἦν ἐπὶ τούτῳ τῆς στρατιᾶς συμπάσης, Κρατερὸν μὲν οἷα βασιλέα ἐς τὸ ἐπιφανὲς θεραπευούσης, καὶ ἑκάστων ἀπαξιούντων ἐν ἴσῃ μοίρᾳ ἄμφω τετάχθαι, Ἀντιπάτρῳ δὲ κατ' οὐδὲν ἐθελόντων πείθεσθαι.

20 Anecd. Bekk. p. 139, 10 s. v. *ἓν οὐδέν· Ἀρριανός·*

---

1 *λίθῳ πληγεὶς*] cf. Diod. XVIII 13, 5, aliter Justin. XIII 5, 12: cf. Schub. p. 239 *18 Arriano attribuit Köhl. p. 573; cf. fr. 1 § 11 3 *ὁ δὲ*] Perdiccam intellegit Köhl. 3. 4 *ἀνεδέχετο*] cf. Anab. VI 14, 2 *19 Arriano attribuit Gaisford, Dexippo Köhl. p. 560, Arrianum auctorem indicat sermonis genus, cf. Stud. p. 67 sq.; e libro V, cf. fr. 1 § 12 et fr. 8; v. praeterea Köhl. p. 581 sqq.; Schub. p. 145 sqq. (alterum de Cratero locum a Suida servatum habes fr. *26) 11 *συμβαλεῖν* scripsi *συμβάλλουσι* Suid., cf. Anab. VII 9, 6; Ind. 21, 13 13 *τῷ ἀπροσμ.*] Köhl. cfrt. Plutarch. Phoc. 29 ⟨*ὥστε*⟩ add. Bernh. 18 *δὴ οὖν* A *οὖν δὴ* ceteri 20 agi suspicor de terrore quo Athenienses tenebantur Antipatro Atticam invasuro, cf. fr. 21; aliter Köhl. p. 567

ἕν τε οὐδὲν ἐδόκει ἀπεῖναι τῶν ἑαλωκυίᾳ ἤδη πόλει ξυμφερομένων.

Suid. s. v. *ἀνεβάλλετο· Ἀρριανός· ἀνεβάλλετο τὴν* 21
τῆς ἄλλης χώρας δῄωσιν οἰόμενος ἐνδώσειν Ἀθηναίους.

Suid. s. v. *Ἀντίπατρος* (gl. 2)· *ὅτι τῶν Ἀθηναίων* *22
τὰς Ἀθήνας Ἀντιπάτρῳ τῷ Μακεδόνι παραδόντων, ἐν δέει ὄντες οἱ δημαγωγοὶ ⟨οἳ⟩ πρὸς τὴν ἐπανάστασιν τοὺς Ἀθηναίους ἐπάραντες μὴ τὴν αἰτίαν ἐπ' αὐτοὺς ἐνέγκωσιν, ἔφυγον. οἱ δὲ Ἀθηναῖοι θανάτῳ ἐρήμην τούτους κατεδίκασαν· ὧν ἦν Δημοσθένης ὁ ῥήτωρ καὶ Ὑπερείδης καὶ Ἱμεραῖος, τὴν τοῦ θανάτου εἰσήγησιν εἰσενεγκόντος ⟨Δημάδου⟩.

Suid. s. v. *Δημοσθένης* (gl. 2), *ὁ ῥήτωρ, ἀνὴρ ἦν* *23

---

21 agi de Antipatro intellexit Köhl. p. 5:5, cf. fr. 20; Diod. XVIII 18, 1; paulo aliter Plutarch. Phoc. 26, cf. Kärst R. E. I p. 2506 *22 eadem tradit Arr. libro VI, cf. fr. 1 § 13, ad quem hic locus redire videtur, fortasse intercedente Dexippo, cf. Köhl. p. 576 sq. 7 ⟨οἳ⟩ add. Bernh. 8. 9 cf. Anab. I 10, 1 *θάνατον κατεψηφίσαντο τῶν ἐπαράντων σφᾶς ἐς τὴν βοήθειαν* 11. 12 *εἰσει εγκόντος ⟨Δημάδου⟩* Schaefer, Demosth. u. s. Zeit III² p. 391 adn. 1 *εἰσενεγκόντες* Suid; cf. fr. 1 § 13; Plutarch. Dem. 28, 2 Post ea quae exscripsi sequuntur apud Suid. haec: *ἐγεγόνει γὰρ εἰς οὐδὲν μετριώτερος τῇ γνώμῃ, διότι μηδέ ἐστι φύσεως μεταβολὴ κακίᾳ συνελθούσης, ἡττᾶται δὲ αὐτῆς καὶ νόμου ἐπίταξις μὴ παντελῶς κολάζουσα, καὶ ἰσχὺς αὐτῇ ἀναντ-αγώνιστος ἐφ' ὅπερ ἂν ῥέψῃ, καὶ οὔτε φόβῳ ἀποτρέπεται τὸ θρασύνεσθαι οὔτε αἰδὼς ἐξείργουσα παραπεῖσαι ἱκανή ἐστιν ἐς τὸ τῷ νόμῳ ὑπήκοον.* Quae de Demosthene a Demade in accusando eo dicta esse suspicatur Schaefer, Demadem esse quo de agitur putat Köhl. (de Demadis supplicio narrationem narrationi de morte Demosthenis subiunxerat Arr., cf. fr. 1 § 14). Quae de oratoribus ab Atheniensibus deditis sequuntur apud Suid. s. v. *Ἀντίπατρος* gl. 3, huc non faciunt, cf. Schaefer III² p. 138 adn.; errat Grimm. p. 39 *23 Arriano, qui tales illustrium virorum descriptiones (cf. Anab. III 22, 2—6; VII 28; Parth. fr. *19; fr. 89; H. S. A. fr. *12; fr. *19; fr. *27) amat, hunc locum, ab eius sermone non abhorrentem, attribuere velim; fortasse tamen Dexippi est, cf. p 276, 8 *τυράννοις* 18 sq. cf. Anab. IV 16, 7 *οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος*; Parth.

γνῶναί τε καὶ εἰπεῖν ὅσα ἐνθυμηθείη δυνατώτατος γενόμενος· ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν, οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι. καὶ ἐν οἷς ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε, καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγούντων, πλεῖστα δὲ εἷς ἀνὴρ οὗτος τῶν καθ' αὑτὸν Ἀθηναίων τοῖς Μακεδόνων τυράννοις σὺν παρρησίᾳ ἀντειπὼν παρὰ τοῖσδε ἀδωρότατος ἔδοξεν εἶναι. ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον [ἐκ] τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσει τὸ κατὰ σφᾶς ὡς ἐδόκουν ἐν τῷ παραυτίκα ⟨λυσιτελές⟩, κέρδους τοῦ σφετέρου εἵνεκα, πρὸ τοῦ ἐς τὰ κοινὰ συμφέροντος τίθεσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ᾐτιάθη συγγνόντες οἱ Ἀθηναῖοι κατεδέξαντό τε αὖθις καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη μάλιστα ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς οὐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον ἢ ἐξαγγελθῆναι τεθνηκότα Δημοσθένην, μετεγίνω-

---

fr. *19 *ἀνὴρ γενόμενος τό τε σῶμα κάλλιστος*; H. S. A. fr. *27 *ἄνδρα τά τε πολέμια κράτιστον γενόμενον*; imitatus est Thuc. VIII 68, 1 *ἀνὴρ . . . κράτιστος ἐνθυμηθῆναί ⟨τε⟩ γενόμενος καὶ ἃ γνοίη εἰπεῖν*; 68, 4 *ἀνὴρ οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατος*

1 *ἐνθυμηθείη*] cf. Anab. II 15, 4; IV 11, 8; VII 29, 1 *δυνατ.* c. infin. aor] cf. Anab. II 10, 5; III 14, 4; V 23, 3 i f. 2 *ὅθεν καὶ*] cf. fr. *27 i. f. 3. 10 *οἷα δὴ*] cf. Grundm. p. 60, Boehn. p. 51 *ἱκαν.* c. infin. aor.] cf. Anab. V 6, 5 i. f.; VI 28, 2; VII 13, 3 i. f. *τὸ ἀφανὲς εἰκάσαι*] cf. Anab VII 28, 2 *ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος*; Thuc. I 138, 3 5 *ἐπιτηδείῳ . . . ἐς*] cf. Anab. V 26, 6 i. f.; VI 15, 7 i. f. 6. 7 *πλεῖστα δὲ εἷς ἀνήρ*] cf. Anab. I 12, 4; Thuc. VIII 68, 1 10 *ἐκ* libri, om. vulg. 12 *σφᾶς*] cf. Grundm. p. 52 sq.; 87 *ἐν τῷ παραυτίκα*] cf. Anab. I 9, 8; 13, 7; II 6, 6; IV 12, 6; 15, 6; VI 13, 5; VII 11, 2 12. 13 *⟨λυσιτελές⟩* addidi 16 cf. Anab. I 28, 1 *πιστοῖς ἐς ἅπαντα ἐχρήσατο* 17 *ἐπιγινομένη* A 19—p 277, 2 *μετεγίνωσκον ἐφ' οἷς — ἔκριναν*] cf. Anab. VII 29, 1 *μεταγνῶναί γε ἐφ' οἷς ἐπλημμέλησε*

σκον ἐφ' οἷς δέει τῶν Μακεδόνων μᾶλλον ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν, καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ γένους τοῦ Δημοσθένους ψηφίζονται καὶ χαλκοῦν στῆσαι αὐτὸν ἐν ἀγορᾷ καὶ ἐλεγεῖον τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν·

εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Cod. Vatic. graec. 495, fol. 230r. .... [Ἀρ- *24[1]) ριδαίου δὲ]

1 τὴν παρὰ Πτολεμαῖον αὐτομόλησιν καὶ τοῦ σώμ[α-τος] τοῦ Ἀ-
2 λεξάνδρου τὴν ἐς Αἴγυπτον κομιδὴν ἐπεὶ Πε[ρδίκκᾳ οἱ]
3 ἀμφὶ Ἄτταλόν τε καὶ Πολέμωνα οἱ ἐπὶ κωλύσει [τῆς αὐτοῦ]
4 ἀποχωρήσεως ἐσταλμένοι ἄπρακτοι [ἐπανελθόντες ἔφρα-]

---

1. 2 δέει — δικαιοτάτῃ] cf. fr. *27 i. f. σὺν ὀργῇ τῆς πρόσθεν ὑπεροψίας μᾶλλον ἢ κρίσεως ἀληθεστάτης δικαιώσει; Grundm. p. 56 2 sqq. cf. Plut. Dem. 30, 5; Pausan. I 8, 2. 4; archonte Gorgia (anno 280/279). rogante Demochare Lachetis ex Demosthenis sorore filio, cf. Vit. X orat. p. 847 D, p. 850 3 χαλκοῦν] Polyeucti opus, cf. Vit. X orat. p. 847 A; Michaelis apud Schaefer Dem. u. s. Z. III² p. 424 στῆσαι scripsi στῆναι Suid. *24 fr. *24 et *25 in codice rescripto Vaticano 495 detexit et Arriani esse intellexit Reitz., qui ea libro VII τῶν μετὰ Ἀλέξανδρον attribuit 8. 9 [Ἀρριδαίου] suppl. Reitz.; cf. fr. 1 § 25; Diod. XVIII 28, 2. 3; Strab. XVII 1, 8, p. 794; Pausan. I 6, 3 12 supplevi 13 sq. ἐπὶ κωλύσει vix dispexi, [τῆς αὐτοῦ] supplevi; cf. fr. 1 § 25 (Ἀρριδαῖος) πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσοικειουμένου Περδίκκᾳ κωλυθεὶς 15 ἄπρακτοι dispexi, ὡς Περδί[κκαν] legit Reitz. 15—16 [ἐπανελθόντες ἔφρα]σαν supplevi [ἐπανῄε]σαν Reitz.

---

1) In fr. *24 et *25 singulis punctis indicavi spatia litterarum quas legere non potui, praeterea puncta singula sub iis litteris posui quae incertae mihi videntur, incertissimis bina puncta subieci. Uncis quadratis ea inclusi quae in codice scripta esse suspicor sed quae discernere non potui.

5 σαν, ὁ δὲ ἔτι μᾶλλον ἠ̣[θέλησεν ἐπὶ τὴν Αἴγυ]πτον στρα[τεύ-]

6 ειν, ὡς Πτολεμαῖον μὲν ἀφελόμενος τὴν ἀρχὴν τῶν ἑαυτῷ τι-

7 να ἐπιτηδείων καταστῆσαι Αἰγύπτου ὕπαρχον, τοῦ σώμα-

8 τος δὲ τοῦ Ἀλεξάνδρου κρατῆσαι. (§ 2) ταῦτα δὲ ἐννοῶν ἐπει-

9 δὴ ἐς Κιλικίαν [ξ]ὺν τῇ δυνάμει ἀφίκετο, Φιλώταν μὲν τὸν

10 ξατράπην τῆς χώρας ἐπιτήδειον τοῖς ἀμφὶ Κρατερὸν γι-

11 γνώσκων παρέλυσεν τῆς ἀρχῆς, Φιλόξενον δὲ ἀντ' αὐτοῦ

12 ἄρχειν κατέστησεν, ἕνα τῶν ἀφανῶν Μακεδόνων, οἷα δὴ

13 ἐ̣ν̣ ἡμιολίῳ μ̣ισθοφορᾷ ὑπ' Ἀλεξάνδρῳ ἐστρατευμένον. (§ 3) πέμ̣-

14 ψας δὲ ἐς Βαβυλῶνα [ξὺ]ν δυνάμει [ἀπο]χρ[ώσ]η̣ ἄνδρα

15 Μακεδόνα Δόκιμον τὸ ὄνομα τῶν ἐς τὰ μάλιστα ἑαυτῷ

16 πιστῶν δοκούντων, τὸν μὲν ξατραπεύειν ἔταξεν τῆς Βαβυ-

---

1 ὁ δὲ ἔτι μᾶλλον] Perdiccas sc., qui iam quum etiamtum in Pisidia esset, expeditionem in Aegyptum facere constituerat, cf. Diod. XVIII 25, 6; Justin. XIII 6, 10—13 1—8 ἠ̣[θέλησεν ἐπὶ τὴν Αἴγυ]πτον στρα[τεύ]ειν ego [ὡρμήθη ἐς Αἴγυπτον στρατεία]ν π[οι]εῖν Reitz. 9 ἀφίκετο] e Pisidia sc., exeunte anno 322 vel 321 ineunte, cf. Diod. XVIII 25, 6; 29, 1; Beloch[2] IV 2, p. 237 Φιλώταν] cf. Berve II n. 804 12 Φιλόξενον] cf. Justin. XIII 6, 16 *Cilicia Philotae adempta Philoxeno datur*; is Philoxenus propter l. 14—16 distinguendus videtur a ceteris eodem nomine viris (quos vide apud Berve II n. 793—796) 14 ἐπιφανῶν vel ⟨οὐκ⟩ ἀφανῶν Köhl. p 578 adn. 1, non recte 16 ἐν — ἐστρατευμένον] cf. Arr. Tact. 42, 1; Ps.-Aristot., Oeconom. II 34, p. 1352 b 26 (ubi ἡμιόλιος pro ἡμιόδιος restituendum videtur) 18 [ξὺ]ν δυνάμει [ἀπο]χρ[ώσ]η ego [φρο]υρὰν [καὶ ἐπ' αὐτ]ῇ Reitz.; cf. Anab. VI 17, 1 21 ἔταξεν, quod coni. Köhl. p. 578 adn. 2, habet V εἶ[π]εν Reitz.

17 λωνίας, Ἄρχωνα δὲ τὸν πρόσθεν ξατράπην ἐπὶ τῆς [συντάξ-]

18 εως τῶν προσόδων εἶναι ἔταξεν· ἐντεταλμένον δὲ ἦν κρύ-

19 φα τῷ Δοκίμῳ, εἰ ἀφίκοιτο εἰς Βαβυλῶνα καὶ τῆς ξα-

20 τραπείας ἐγκρατὴς γένοιτο, Ἄρχωνα μὲν ἀπαλλάξαι

21—28 legi nequeunt.

fol. 230ᵛ, 1 (§ 4) ἐν ἀξιώσει ξυναγαγὼν καὶ φράσας τὴν Περδίκκου διάνοιαν

2 ....

3 ....

4 πρ ...... συναγαγεῖν ὡς μὴ δ[εξ]ομένους ἐπὶ τὴν ἀρχὴν τὸν [Δόκ]ι-

5 μον. (§ 5) καὶ οἱ μὲν πρὸς τούτοις ἦσαν, Δόκιμος δὲ ἐς Βαβυλῶ-

6 να ἀφικόμενος [κ]αὶ τῶν ἐκ τῆς χώρας τινὰς Βαβυλωνί-

7 ων πρὸς οὓς ἐγένετο μάχη ἐπεὶ στρατιῶται........ ἐς πό-

8 λεμον κατέστη πρὸς Ἄρχωνα. καὶ τὰ μὲν πλήθη τῶν ἀπο-

2. 3 [συντάξ]εως suppl. Reitz. coll. Anab. I 17, 7 3 προσωδων V, corr. Reitz. 7 f. 230ʳ in parte inferiore (l. 21—28) nunc prae medicaminibus chimicis anno 1886 adhibitis nihil omnino dispici potest; litterarum vestigia incerta legit Reitz., nisi quod l. 28 ἐπιλεξάμενος εἰσήγαγεν dispexit; l. 26 fortasse exaratum erat τὴν ἄκραν τῆς Βαβυλῶνος (ita coni. Köhl. τηνικ .. υτησ .... λωνοσ legit Reitz.) 8 ἐν ἀξιώσει] cf. Anab. III 26, 4; supplendum videtur [Μακεδόνας τοὺς] vel [Βαβυλωνίους τοὺς] ἐν ἀξιώσει ξυναγαγὼν] Archon sc. 9 διάνοιαν V (Köhl. de coni.) μ[ετ]άνοιαν Reitz. 10. 11 litterarum vestigia incerta tantum dispeximus Reitz. et ego 12. 13 πρ — [Δόκ]ι legit Reitz., supplevit Studemund, nunc prae medicaminibus chimicis legi nequeunt praeter voces intactas ὡς μὴ 17 πρὸς — ἐπεὶ] lectio incertissima, προσανέχων ἀμελὴσ ἐπεὶ legit Reitz. ⟨οἱ⟩ post ἐπεὶ add. Reitz. post στρατιῶται incertos litterarum ductus tantum dispexi, προσε ... ιον legit Reitz., [ἀπέκτειναν] vel tale quid desiderari videtur 18 sq. ἐς πόλεμον V (Köhl. de coni.) ἐπέδραμον Reitz.

9 *μαχομένων κατ' ἴσχυν τῶν χωρίων ἐκρατεῖτο· ὡς δ' ἐν ἀκρο-*
10 *βολισμῷ τινι τραυματίᾳ γενομένῳ τῷ Ἄρχωνι οὐ πολλῷ*
11 *ὕστερον ξυνέβη τελευτῆσαι ἐκ τῶν τραυμάτων, τηνικαῦ-*
12 *τα δὲ οὐ χαλεπ[ῶς] Δόκιμος ἐδέχθη τε ἐπὶ τὴν ξατρα-πείαν*
13 *πρὸς τῶν Βα[βυλωνίων] καὶ τὰ ὑπὸ Περδίκκου προσ-τεταγμέ-*
14 *να ξὺν πίστει τῇ ἐς αὐτὸν ἔπρασσεν.* (§ 6) *ἐν δὲ τούτῳ Περδίκ-*
15 *κας μαθὼν τῶν ἐν Κύπρῳ βασιλέων Νικοκρέοντά τε*
16 *τὸν Σαλαμίνιον καὶ τοὺς αὐτῷ ξυγγενομένους Πασι-κρά-*
17 *την τὸν Σόλιον καὶ Νικοκλέα τὸν Πάφιον, τοῦτον καὶ Ἀν-*
18 *δροκλέα τὸν Ἀμαθούσιον πρὸς μὲν Πτολεμαῖον ξυμ-μαχί-*
19 *αν πεποιημένους, ναῦς δὲ οὐ πολὺ ἀποδεούσας δια-κοσίων*
20 *ξυμπληροῦντας, τὴν δὲ Μαριέων πόλιν καὶ τὸν ἄρχοντα*
21 *ἐπιπολιορκοῦντας, ὁ δὲ [τριήρεις ἤθρ]οισεν ἐκ Φοι-νίκης*
22 *[πρ]ὸς τὴν εἰς Μάριον αὐτόθεν ἐκ Κιλικίας ⟨στρα-τείαν⟩ κα[ὶ] πλο[ῖα π]ολλὰ*
23 *στρογγύλα παρασκευάσας [ξ]ένους μὲν ἐς ὀ[κ]τακο-σίους*

---

1 *κατ' ἴσχυν τῶν* Köhl. de coni. *καὶ ἴσχυν τῶν* V *καὶ ἰσχ[όν]-των* Reitz. 6 *οὐ χαλεπῶς* Köhl. de coni. *οὐ χαλεπ* ... V *αν . χαλεν* ... legit Reitz. 8 suppl. Reitz 18 *αὐτῷ* an *τούτῳ* incertum 15 *σονιον* V, corr. Reitz 21 *κασιέων* V, corr. Reitz. 22 — p. 281, 8 dedi e Reitzensteinii lectione cum eiusdem supplementis, nam inferior pars f. 230ᵛ (l. 21—28) prae medicaminibus adhibitis nunc legi nequit 24 *Μάριον* restituit Reitz., qui *καριαν* vel *ιαρεαν* vel *ιαριων* in V legit ⟨*στρατείαν*⟩ add. Reitz.

24 ἐπ[έβη]σεν τῶν νεῶν, ἱππέας δὲ ἐς πεντακοσίους, Σωσι-
25 γένην τὸν Ῥόδιον ἐπιτάξας ναύαρχον καὶ ξεναγὸν ἐπὶ τῶν
26 ξένων Μήδιον τὸν [Θ]εσσαλόν, ἱππάρχην δὲ τῶν ἱππέων Ἀ-
27 μύνταν, τῆς δὲ ξυμπάσης δυνάμεως στ[ρ]ατη[γ]ὸν [ἀ]πο-
28 φήνας Ἀρι[στόν]ουν τὸν Ἀλεξάνδρου σωματοφύλακα

Cod. Vatic. graec. 495, fol. 235r, 1 . . . . *25

2 ἀ̣ν̣α̣γ̣α̣γ̣ὼ̣ν̣ σ̣τ̣ρ̣α̣τ̣ι̣ώτας ἐς τρισχιλίους, παρὰ δὲ Ἀθη-ναίων δέ-
3 κ̣α̣ ν̣α̣[ῦς λαβὼν] . . . . καὶ
4 δέχ̣ε̣τ̣α̣ι̣ α̣ὐ̣τ̣ὸ̣ν Ἄσανδρος ὁ Καρίας ξ̣α̣τ̣ρ̣ά̣π̣η̣ς . . . . κ̣α̣-
5 τὰ γένος ἐπιτήδειος ὤν. (§ 2) καὶ Μένανδρος [ὁ Λυ]-δίας ξα-
6 τράπης τήν τε ἄφιξιν τὴν Ἀντιγόνου μαθὼν καὶ ⟨τὴν⟩ Ἀσάν-
7 δρου παρ' αὐτὸν μεταχώρησιν, Περδίκκα[ν] . . . . . μ̣ε̣ν̣ω̣σ̣ . .
8 . . . . ἀ̣μ̣φ̣ὶ̣ Κ̣ρ̣α̣τ̣ε̣ρ̣ὸ̣ν̣ . . . . κ̣α̣ὶ̣ δ̣ι̣' ὀ̣ρ̣-
9 γ̣ῆ̣ς̣ ἔχων Περδίκκαν ὅτι τὴν μὲν ξ̣α̣τ̣ρ̣α̣π̣είαν ἣν εἶχεν

---

1. 2 Σωσιγένην] cf. Polyaen. IV 6, 9 2—4 ἐπὶ τῶν ξένων scripsi ἐπὶ τῶ ξενῶ V ἐπὶ τῷ ξενικῷ Reitz.; cf. Anab. III 5, 5; 26, 3 i. f; VI 27, 3 i. f. 5. 6 Ἀμύνταν] cf. Berve II n. 56 *25 cf. ad fr. *24, p. 277, 8 9 nihil dispexi γ̣υ̣ν̣α̣ῖ̣κ̣α̣ in initio lineae legit Reitz. 10 ἀ̣ν̣α̣γ̣α̣γ̣ὼ̣ν̣ σ̣τ̣ρ̣α̣τ̣ι̣ώτας incertum ἀναμάχ̣ε̣σ̣θ̣α̣ι̣ legit Reitz. ἀναγαγὼν] Antigonus sc., vere anni 321 12 να[ῦς λαβὼν] vel να[ῦς δεξάμενος] supplevi, cf. Dittenberger Syll.[3] 409, 4 sqq.; porro suppleas e. g. ἔπλευσεν ἐς Ἁλικαρνασσὸν 13 post ξατράπης supplendum videtur Κρατερῷ vel Ἀντιπάτρῳ vel Ἀντιγόνῳ 17 ⟨τὴν⟩ addidi 19 sq. quod ad sensum attinet, supplere possis Περδίκκα[ν τε οἰόμενος μεῖον ἕξειν τῶν] ἀμφὶ Κρατερὸν [καὶ Ἀντίγονον] vel tale quid 20 κ̣α̣[ὶ τ]ῶν ἀμφὶ Κρατερὸν legit Reitz.

10 *αὐτὸς Κλεοπάτρᾳ ἐπιτετρόφει, αὐτῷ δὲ τὴν στρατιὰν μό-*
11 *νην ὑπακούειν καὶ αὐτὸν ὑπὸ Κλεοπάτρᾳ εἶναι ἔταξεν,*
12 *ὁρῶν καὶ τὴν Εὐμένους ἐσ . . . . . παρὰ Κλεόπατραν ἀμφὶ*
13 . . . .
14 . . . . (§ 3) *γράφει δὲ* . .
15 . . . . *στρατιὰν* . . . .
16 *τῶν ἐπιχωρίων ὅσους πλείστους δυνατὸ[ς] γένοιτο κατα-*
17 *σχεῖν τὰς ἀπὸ Σάρδεων εἰς Φρυγίαν τὴν μεγάλην φερούσας*
18 *ὁδοὺς ὡς ἔνι ἀφανέστατα καὶ αὐτὰς* . . . .
19—22 legi nequeunt.
23 *μ[ή πῃ] προαγγέλλ[ηται] Εὐμένει τὰ ἐπ' αὐτῷ βεβου-λευμέ-*
24 *να·* (§ 4) *αὐτὸς δὲ ἀναλαβὼν τῶν μὲν πεζῶν μάλιστα ἐς δισ-*
25 *χιλίους, ἱππέας [δ' ὀλίγους] ἔχων ἀφίκετο κατὰ τὸν τόπον τῆς*
26 *ἐνέδρα[ς]* . . . . *πεντακοσίους ψιλοὺς* . . . .
27 . . . .
28 . . . . (§ 5) *τὰς ἐν Ἰωνίᾳ πόλεις ξυμπά[σας]* . . . .

---

1 *Κλεοπάτρᾳ* — 4 *Εὐμένους*] Cleopatra et Eumenes tum Sardibus erant, cf. fr. 1 § 26 *αὐτὸς* an *οὗτος* V habeat incertum 4 *ὁρῶν* valde incertum 5 *ἀμφὶ* [*τὰ πράγματα*]? 6sqq. Arrianus videtur narrasse Menandrum Antigonum per litteras certiorem fecisse se ab eius partibus stare et eius iussa facere velle, tum Antigonum Menandrum per litteras iussisse Eumeni insidias struere; paulo aliter Reitz. p. 21 7 *γράφει*] Antigonus ad Menandrum, ni fallor 8 *στρατιὰν* [*συναγείραντα*] vel [*συναγαγόντα*]? 15 supplevi 17 *αὐτὸς*] Menander sc. 19 supplevi 19—21 *κατὰ* — *ἐνέδρας* incerta *και του . . με . . . . τησδ . . . σ* legit Reitz.

fol. 235v, 1 .... [Ἔφεσός τε] καὶ αἱ ἐν κύ-
2 κλῳ τῆς Ἐφέσου πόλεις φιλίως κατεδέξαντο αὐτόν· ὁ
3 δὲ παρεσκευάζετο ὡς ἐπὶ Σάρδεις ἐλάσων ἐκ[εῖθ]εν. (§ 6) ἐν τούτῳ
4 δὲ Κλεοπάτρα μαθοῦσα τοῦ τε Ἀντιγόνου τὴν ὁρμὴν καὶ
5 τὴν ἐνέδραν τὴν ἐπὶ Εὐμένει παρεσκευασμένην, ἡ μὲν
6 φράζει πρὸς Εὐμένη τὰ ἐξηγγελμένα, ὁ δὲ ἀμφὶ δείλην ξυ-
7 ναγαγὼν τοὺς ξυνηκολουθηκότας αὐτῷ ψιλοὺς καὶ ἱπ-
8 πέας παραγγέλλει μήτε σάλπιγγα μήτε ἄλλο τι τῶν
9 περιφανῶν σημείων προσμείναντας ὡς τάχιστα πρὸς πο-
10 ρείαν ἐσκευασμένους παρεῖναι. (§ 7) καὶ ἣν μὲν αὐτῷ ἡ φανε-
11 ρὰ ὁδὸς ὡς ἐπ' ἀνίσχοντα ἥλιον ἐπὶ Κολο[σσάς] ... . φέ-
12 ρουσα, ὁ δὲ ταύτην μὲν ἄγειν εὐλαβήθη τῷ κατειλῆφθαι
13 εἰκάζειν, ἦγε δὲ ἐπὶ δύνοντα τὴν ἐναντιωτάτην τῇ εὐθείᾳ
14 καὶ ἐπὶ τῶδε ἥκιστα προσδοκωμένην· προελθὼν δὲ
15 ἀμφὶ τοὺς εἴκοσιν σταδίους εἰς δεξιὰν μάλιστα ἐπιστρέφει
16 καὶ ὡς προσωτάτω τῆς ἐνέδρας ἀ................
17 ὁ δὲ α.μεν .... διὰ τῶν πεδίων .... δ' ἤπειγεν, ἔπειτα
18 ἤλαυνεν τῆς ἐπὶ Φρυγίαν τὴν μεγάλην φερούσης ὁδοῦ ὅσα

---

1 supplevi 2 αὐτὸν] Antigonum sc. 3 ἐκ[εῖθ]εν suppl. Reitz. 7 ἐπὶ bis habet V 16 Κολο[σσάς] supplevi 17 fortasse [ἐν τάχει] φέρουσα 19 ἦγε — 21 καὶ] ita V, quod partim iam coniecerat Köhl. p. 580 adn. 1 e manca lectione Reitzensteinii 25 ὁ δὲ [Εὐ]μέν[ης] Reitz. 28 sq. ὅσα καὶ valde incertum

19 καὶ ἀναπαύειν τοὺς ἱππέας, πρὸς δια ....

20 ὅπου δὴ ἀφηγεῖτο. (§ 8) τῆς δὲ αὐτῆς νυκτὸς Ἀντίγονος ὑπερ-

21 βεβηκὼς ἐκ τοῦ Καΰστρου πεδίου περᾶ τὸν Τμῶλον καὶ

22 ....ὀλίγον ὕστερον τῆς Εὐμένους ἀποχωρήσε-

23 ως· μαθὼν δὲ τὴν φυγὴν τὴν Εὐμένους καὶ ὅτι ....

24 .....τοὺς ἐνεδρεύοντας εἰκάσας, ὁ δὲ ἐπελαύνει εἰς τὰς Σάρ-

25 δεις ....καταλαβὼν τὴν ....

26 τὴν Κλεοπάτραν ....Περδίκκαν μὲν ....ἐπὶ

27 ....τῶν ὅλων, σφίσιν δὲ οὐδὲν καλῶν πεπον-

28 ....Περδίκκαν ἔφη ἐκ τῆς ἐπω-

*26 Suid. s. v. Κρατερός· Εὐμένης δὲ κατὰ τὸν πόλεμον εὑρὼν τὸ Κρατεροῦ σῶμα κείμενον ἔτι ἔμπνουν, καταπηδῆσαί τε ἀπὸ τοῦ ἵππου λέγεται καὶ κατολοφύρασθαι αὐτόν, ἐπιμαρτυρόμενος ἀνδρείαν τε τὴν Κρατεροῦ καὶ σύνεσιν καὶ τὸ ἄγαν ἵλεων τοῦ τρόπου καὶ ἐς φιλίαν τὴν πρὸς αὐτὸν ἀνεπίπλαστον, ὅσον τε πλούτου ἀνέραστον καὶ ὀρθῇ δικαιοσύνῃ σύντροφον· κράτιστος δὲ ἄρα οὗτος ὅτου τὰ τῆς ἀρετῆς ἔργα καὶ παρὰ τοῖς ἐναντίοις τῶν ἐπαίνων ξυμφώνησιν ἔχει. ἐντίμως δὲ καὶ μεγαλοπρεπῶς

---

6 ὅτι κατα .... Reitz.; quod ad sensum, suppleas e. g. ἠπατήκει 8 sq. τὰς Σάρδεις valde incertum 9—12 dedi quae dispicere potui 12 an ἐκ τῆς ἐπω[νυμίας]? cf. fr. 1ᵃ § 3 i. f.

*26 Arriano attribuit Gaisford, Dexippo Köhl. p. 560, Arr. auctorem arguit sermonis genus, cf. Stud. p. 68; e libro VII vel VIII, cf. Köhl. p. 581, Grimm. p. 92 sqq. (alterum de Cratero locum a Suida s. v. Κρατερός servatum habes fr. *19); cf. fr. 1 § 27; Diod. XVIII 30, 5; XIX 59, 3; Plutarch. Eum. 7; Nepos, Eum. 4, 4; Köhl. p. 583 sq.; Schub. p. 142 15 16 αὐτὸν καὶ κατολοφ. Suid., transposuit Köhl. 15 κατολοφύρεσθαι A α superscripsit A[1] 16 ἐπιμαρτυρόμενος scripsi ἐπιμαρτυρόμενον A ἀπομαρτυρούμενος Köhl. 20 τῆς om. A 20. 21 τῷ ἐπαίνῳ ξυμφωνούσης Suid., corr. Bernh.

τὸ σῶμα αὐτοῦ ἐκήδευσεν. ἔχει μὲν οὖν καὶ ταῦτα Κρατερῷ ἀγαθὴν δόξαν, πεπίστευται δὲ σωφρονέστατος γενέσθαι καὶ πρᾳότατος καὶ φιλίας κοινωνῆσαι βεβαιότατος, οἷα δὴ τὸ φιλέταιρον φύσει κτησάμενος καὶ ἐπιτηδεύσας.

Suid. s. v. Περδίκκας, ὁ Μακεδών. ὃν ἔκτειναν ἐξ *27 ἐπιβουλῆς οἱ Μακεδόνες, ἄνδρα τά τε πολέμια κράτιστον γενόμενον καὶ μεγαλονοίᾳ χρησάμενον διαφερόντως· ἐξ οὗ δὴ καὶ τὸ ὑπέρογκον αὐτῷ τοῦ φρονήματος εὐθαρσὲς πρὸς πάντα κίνδυνον ἦν, τό τε ἄγαν μεγαλήγορον, σὺν ᾧ πάντας Μακεδόνας ὑπερφρονεῖν ἔδοξε, τάς [τε] εὐπραγίας αὐτῷ φθόνου ἐπαξίας ἐποίει· ἐπὶ δὲ τῷ φθόνῳ μῖσος ἐπεγίνετο, καὶ τὸ μὴ φέρειν ὑπὲρ σφᾶς ὄντα τε καὶ ὀνομαζόμενον. ὅθεν καὶ τὴν ἐν τοῖς πταίσμασι μεταβολὴν σὺν ὀργῇ τῆς πρόσθεν ὑπεροψίας μᾶλλον ἢ κρίσεως ἀληθεστάτης δικαιώσει ἐς τὸ κατ' αὐτοῦ ἐπιβούλευμα ἐποιοῦντο.

Suid. s. v. χρῆσθαι· τά τε ἐπιτήδεια παρεσκευακέναι *28 FGrH IId 568
ἄφθονα καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι.

Suid. s. v. ἐπαινέσας· οὓς ἐπαινέσας τῆς προθυμίας *29 FGrH IId 568
ἀρκεῖσθαι ἔφη τοῖς παροῦσι.

Anecd. Bekk. p. 153, 12 s. v. κρίνω· τὴν νῦν ἀτιμα- *30 FGrH IId 568
ζομένην καὶ κρινομένην ὑμῖν.

---

*27 Arriano attribuit Hemsterhusius, Dexippo Köhl. p. 560, Arriano vindicat sermo, cf. Stud. p. 69; e libro VIII, cf. Köhl. p. 581, Grimm. p. 93; cf. fr. 1 § 28; Diod. XVIII 33, 3; 36, 2—4; Nepos, Eum. 5, 1; Strab. XVII 1, 8, p. 794; Justin. XIII 8, 2. 10; Pausan. I 6, 3 i. f.; Köhl. p. 585; Schub. p. 45. 190 sqq 11 [τε] delevi 15 ὑποψίας Suid., corr. Küster *28 Arriano attribui Stud. p. 74, cf. Anab. IV 15, 4; VI 28, 7; ex oratione a Ptolemaeo post Perdiccae necem ad Macedones habita, cf. fr. 1 § 29; Diod XVIII 36, 6 *29 Arriano attribui Stud. p. 74, cf. Anab. VII 23, 3 21 ἔφη] Ptolemaeus, recusans regum tutelam ei a militibus oblatam, cf. Diod. XVIII 36, 6 *30 Arriano

81 Suid. s. v. *ἀλώσιμα* (= s. v. *ἦγε καὶ ἔφερεν*)· *Ἀρριανός· ἀπὸ τῶν φρουρίων ὁρμώμενος ἦγε καὶ ἔφερεν τῆς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν αὐτῷ ἁλώσιμος.*

□

---

attribui Stud. p. 75; ex oratione qua Cleopatra Sardibus se contra Antipatri accusationes defendit, cf. fr. 1 § 40; e libro X
28 *ὑμῶν* cod., corr. Bekk.

81 de Eumene sermonem esse suspicatus est Hemsterhusius, cf. fr. 1 § 41; Plutarch. Eum. 8; e libro X   1. 2 *Ἀρριανός* om. Suid. s. v. *ἦγε καὶ ἔφερεν*   2 *ἀπὸ τῶν φρουρίων* Suid. s. v. *ἀλώσ.*, *ὁ δὲ ἐκεῖθεν* Suid. s. v. *ἦγε κ. ἔ.*   3 *ἐκείνῳ*] Clitum Lydiae satrapam intellige

FRAGMENTUM

EX HISTORIA ALANICA(?)

Procopius, De bello Goth. IV 14, 47 sqq.: *ταύτην παραρρεῖ τὴν χώραν* (sc. *τὴν Λαζικὴν*) *ποταμός, Ῥέων ὄνομα, οὗ δὴ καὶ φρούριον ᾠκοδομήσαντο ἐκ παλαιοῦ Κόλχοι, οὕπερ ὕστερον αὐτοὶ τὸ πλεῖστον ἐς ἔδαφος καθεῖλον, ἐπεὶ ἐν πεδίῳ κείμενον ἐσάγαν ὑπτίῳ εὐέφοδον σφίσιν ἔδοξεν εἶναι. Κοτιάϊον δὲ τότε τὸ φρούριον ὠνομάζετο τῇ Ἑλλήνων φωνῇ, νῦν μέντοι Κόταϊς αὐτὸ καλοῦσι Λαζοὶ τῇ τῆς φωνῆς ἀγνοίᾳ τὴν τοῦ ὀνόματος διαφθείροντες ἁρμονίαν. ταῦτα μὲν Ἀριανὸς* (sic) *οὕτως ἱστόρησεν.*

cf. Praef. p. XVI sq.; XXIX; Mnemos. 54, 1926, p. 116

FRAGMENTA

QUAE UTRUM E PARTHICIS AN EX HISTORIA SUCCESSORUM ALEXANDRI DESUMPTA SINT INCERTUM EST.

Suid. s. v. *αἰσχρά*· ταῦτα αἰσχρὰ μὲν οἱ ἀμφ' αὐτὸν ἐγίνωσκον καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα. *1 FGrH IId 574 □

Suid. s. v. *ἀμαυρά*· Ἀρριανός· ἐξ ὧν καὶ τὰ ὑπόλοιπα δι' ἐλπίδος ἔχω οὐκ ἀμαυρᾶς ὅτι καλῶς μοι ἕξει. 2

Suid. s. v. *ἀνέδην*· Ἀρριανός· οἱ δὲ τοῖς φρέασι φύλακας ἐπέστησαν, ὡς μὴ ἀνέδην ὅπως τις ἐθέλοι ὑδρεύεσθαι, ἀλλ' εἰς τὸ κοινὸν ξυλλέγεσθαι πᾶν ὅσονπερ ἀνιμῷτο τοῦ ὕδατος, ἐκεῖθεν δὲ διανομὴν γίνεσθαι τὴν ἴσην ἑκάστοις. 3 □

Suid. s. v. *αὐτόθεν* et partim s. v. *παραυτόθεν*· Ἀρριανός· ἀλλὰ χρῆναι γὰρ αὐτόθεν ὡς ἔχουσιν ἀντεπεξελθόντας ἐν χερσὶ στήσασθαι τὸ τέλος τοῦ πολέμου. 4

Suid. s. v. *βουλυτός*· Ἀρριανός· γίνεται μάχη καρτερὰ ἔστε ἐπὶ βουλυτὸν ἀγχώμαλος. 5

*1 Arriano attribui Stud. p. 28, cf. Anab. II 16, 7; V 27, 3; quo de agatur incertum 2 *ἐν τῷ παραυτίκα*] cf. ad H. S. A. fr. *23, p. 276, 12 2 de Traiano sermonem esse putat Hartm. p. 85 3 cf. Stud. p. 57; aliter Hartm. p. 81, qui cfrt. Tac. Ann. XV 3 8 *ἀλλ' εἰς*] *ἀλλὰ* A 4 cf. Stud. p. 27 12 *Ἀρριανός* Suid. s. v. *παραυτ.*, om. s. v. *αὐτ.* *ἀλλὰ χρῆναι* om. Suid. s. v. *παραυτ.* *γὰρ αὐτόθεν* Schweighaeuser *παρ' αὐτόθεν* Suid. s. v. *αὐτ.*, *παραυτόθεν* Suid. s. h. v.; cf. Anab III 18, 7 *ἀλλ' αὐτόθεν ὡς εἶχον* (*ἔφυγον*) 12. 13 *ὡς ἔχομεν ἐπεξελθόντες* Suid. s. v. *παραυτ.* 13 *τῆς μάχης* Suid. s. v. *παραυτ.* 5 cf. Hist. Success. Alex. fr. 1 § 41; Stud. p. 28 sq. 15 *βουλ.*] cf. Anab. II 3, 3; Ind. 41, 6

6 Suid. s. v. *γλίσχρον*· Ἀρριανός· τὰ ἐπιτήδεια γλίσχρως τῇ στρατιᾷ ἐπορίζοντο.

7 Suid. s. v. *δεῖμα*· Ἀρριανός· τοσόνδε αὐτοὺς δεῖμα ὡς προσαγόντων δεινῶν κατέσχεν ὥστε μὴ δύνασθαι ἀποστῆναι τῆς ἐκπλήξεως.

8 Suid. s. v. *διάλειμμα*· Ἀρριανός· φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο.

9 Suid. s. v. *ἕδρα* (gl. 1)· Ἀρριανός· ὅτι με καὶ ὄμμασι καὶ φωνῇ καὶ ἕδρᾳ ἐτίμησας.

10 Suid. s. v. *ἐλινύοντας*· Ἀρριανός· αἱ δὲ κατασκοπαὶ οὐδέν τι ἐλινύουσαι ἐγίνοντο. καὶ αὖθις· ὁ δὲ ἀπῆγε τὴν στρατιὰν μηδέν τι ἐλινύσας.

11 Suid. s. v. *Ἐνυάλιος*· Ἀρριανός· οἱ δὲ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες ἐναντίοι ἐφέροντο.

12 Suid. s. v. *ἐπαινέτης*· Ἀρριανός· τοῦ τε ξὺν κόσμῳ δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῷ παραυτίκα ἐπιτιμητὴς καὶ τοῦ ἐσύστερον κολαστήρ.

*13 Suid. s. v. *ἐπάρας* (et partim s. v. *ἀποχρᾶν* et s. v. *ξυμβαινούσης*)· μειζόνως ἐπαινέσας τοῖς τε ἄλλοις ἐπάρας καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς.

FGrH IId 579

14 Suid. s. v. *ἐπελήφθη*· Ἀρριανός· ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.

15 Suid. s. v. *ἐπεχώρησεν*· ἀντὶ τοῦ συνεχώρησεν· οὕτως Ἀρριανός.

---

6 cf. Stud. p. 15 7 cf. Köhl. 571 4 δεινῶς Köhl. 5 ἀποστῆναι scripsi ἀποστῆσαι Suid. 8 cf. Köhl. p. 573 9 ὄμμασι corruptum, an ὀνόμασι? 11 14 ἀλαλάζοντες Ell. p. 10 coll. Anab. I 14, 7; Ind. 24, 7 ἐναντίοι ἐφέροντο om. A 12 de Traiano? cf. Parth. fr. *41; Stud. p. 39; de Corbulone agi putat Hartm. p. 82 coll. Tac. Ann. XIII 35 *13 Arriano attribuit Burnes, cf. Stud. p. 75 adn. 266 et fr. 16; fortasse iungendum cum fr. 18 15 idem legitur in Bachmanni Anec-

Suid. s. v. *ἐπιτήδεια*· Ἀρριανός· οὐδὲν ἄλλο εἰ μὴ 16
τὰ ἐπιτήδεια τῆς δικαίας τιμῆς λαμβάνοντας.

Suid. s. v. *εὔψυχος*· Ἀρριανός· τῶν μάλιστα εὐψυ- 17
χίαν τινὰ ἐν τοῖς δεινοῖς ἐπιδεικνυμένων.

Suid. s. v. *κατεδημαγώγησε*· Ἀρριανός· τῷ τε στρα- 18
τηγήματι τῷδε μάλιστα φιλανθρώπῳ φανέντι κατεδη-
μαγώγησεν οὐκ ἀπιστεῖν αὐτῷ καὶ πολεμοῦντι τοὺς περι-
οίκους.

Suid. s. v. *κολωνός* (et partim s. v. *ἄλιθον*)· Ἀρρι- 19
ανός· καθεώρων κολωνοὺς λίθων πολλαχοῦ τοῦ ὄρους
νενεμημένους, τοὺς μὲν μείζους τοὺς δὲ ἐλάττους· οὓς
εἴκαζον ἐκ τοῦ πεδίου συνενηνέχθαι. ἦν γὰρ οὐ φύσει
ἄλιθον οὐδὲ εὔγειον τὸ πεδίον, ἀλλ' οἷον εἰκασθῆναι
ἐκκεκαθαρμένον.

